ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

ANALECTA HYMNICA GRAECA

E CODICIBUS ERUTA ITALIAE INFERIORIS

IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

IV

CANONES DECEMBRIS

ATHANASIUS KOMINIS
COLLEGIT ET INSTRUXIT



ROMA 1976

Tipografia S. Pio X - Via degli Etruschi, 7-9 — 00185 ROMA

PREFAZIONE

Che il presente ponderoso volume degli AHG si apra, a differenza degli altri, con una prefazione non deve sorprendere. Sarebbe una grave mancanza da parte mia se tacessi i miei debiti di riconoscenza verso altri che mi hanno aiutato alla preparazione del presente e del precedente tomo III.

I miei ringraziamenti vanno per primo al nostro Maestro, che ha concepito e realizzato l'idea degli AHG, che ha scorso e valutato con la sua rara sensibilità tutto il materiale e che mi ha assistito nei difficili momenti attraverso cui è passato il presente lavoro.

Voglio poi esprimere i miei sinceri infiniti ringraziamenti alla mia assistente dott.ssa Eleni Papailiopoulou, senza il cui sollecito aiuto la pubblicazione dei due volumi si sarebbe di molto protratta. Con uguale sollecitudine mi hanno aiutato i miei assistenti, dott.ssa Litsa Maniati e dottor Fotios Dimitrakopoulos, ai quali esprimo anche qui altrettanta gratitudine.

Infine ringrazio caldamente i collaboratori degli AHG e quanti hanno risposto con preziose informazioni alle mie richieste, siano essi biblioteche o centri di ricerca, che sono stati prodighi di chiarimenti per la migliore soluzione di tanti problemi apparsi durante la elaborazione del materiale innografico, nonché la dott.ssa Vera Cerenzia che ha controllato il testo italiano dei miei manoscritti e le relative bozze.

ATHANASIUS KOMINIS

MANU SCRIPTA E QUIBUS CARMINA SUMPTA SUNT

Ak *Athon. Stavronikita 41 (906)*, s. XIV, membran., ff. 193: Menaeum novembris et decembris. — Cfr. S. LAMBROS, *Κατάλογος τῶν ἐν ταῖς Βιβλιοθήκαις τοῦ Ἁγίου Ὄρους Ἑλληνικῶν κωδίκων* I, Cambridge 1895, 77.

Al *Athon. Konstamonitou 31 (467)*, s. XV, chartac., ff. 214: Menaeum decembris a die 1 ad 19. — Cfr. S. LAMBROS, *op. cit.*, 39.

Ao *Athon. Konstamonitou 32 (468)*, s. XVI, chartac., ff. 232: Menaeum decembris a die 20 ad 31 continens cod. 31 sup. dictum. — Cfr. S. LAMBROS, *op. cit.*, 39.

Ap *Athon. Stavronikita 108 (973)*, s. XVI, chartac., fine mutilus: Menaeum decembris a die 1 ad 17. Officia in sanctos progenitores. — Cfr. S. LAMBROS, *op. cit.*, 86.

Ar *Athon. Panteleimonos 704 (6211)*, s. XIV, chartac., mm. 300×210, ff. 575: Menaeum septembris-februarii, initio mutilum. — Cfr. S. LAMBROS, *op. cit.* II, Cambridge 1900, 418.

Az *Athon. Lavrae* Θ 32, s. XVI, chartac., mm. 210×130, ff. 397: Anthologium excipiens officia anni duodecim mensium. — Cfr. SPYRIDON MONACHUS et SOPHRONIOS EUSTRATIADES, *Κατάλογος τῶν κωδίκων τῆς Μεγίστης Λαύρας (τῆς ἐν Ἁγίῳ Ὄρει)*... Cambridge 1925, 138.

Ba *Barber. gr. 457 (olim. IV. 39)*, s. XII-XIII: Menaeum a die 7 octobris ad Christi Nativitatem. — Cfr. J. RAASTED, *A primitive Palaeobyzantine musical notation*, in « Classica et Medievalia » 23 (1962), 310. — *BMGV*, p. 153.

Ce *Crypt. Δ.α. IV*, s. XIII, membran., mm. 230×190, ff. 246: Menaeum decembris. — Cfr. A. ROCCHI, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae*, Tusculani 1883, 295-297. — M. G. MALATESTA ZILEMBO, *Gli amanuensi di Grottafer-*

rata, in « Bolletino della Badia Greca di Grottaferrata » 19 (1965), 152.

Cf *Crypt. Δ.α. XIV*, s. XI, membran., mm. 230×170, ff. 292: Menaeum decembris, fine parum mutilum, ad usum olim Monasterii S. Heliae Carbonensis in Calabria. — C fr A. ROCCHI, *op. cit.*, 314-315. — DIMITRIJE STEFANOVIČ, *The daily menaia from Carbone*, in « Bolletino della Badia Greca di Grottaferrata » 21 (1967), 41-46.

Ct *Crypt. Δ.α. XXXII*, s. XII, membran., mm. 320×230, ff. 120, initio et fine mutilus: Menologium excipiens officia multa in festa mensium octobris-ianuarii. — Cfr. A. ROCCHI, *op. cit.*, 331-332.

Cu *Crypt Δ.α. XIX*, s. XII, membran., mm. 270×190, ff. 137: Menaeum novembris et decembris. Codex mutilus. — Cfr. A. ROCCHI, *op. cit.*, 320-321.

Cv *Crypt. Δ.α. XXVII*, s. XII, membran., mm. 230×170, ff. 97. Codex mutilus: Menologium excipiens aliquot sanctorum memorias in mensium novembris-augusti dies. — Cfr. A. ROCCHI, *op. cit.*, 328.

Cw *Crypt. B.β. IV*, s. XIV, membran., mm. 150×130, ff. 158. Codex palimpsestus ex cod. Menaeo s. fortasse XI, fine et passim mediis foliis mutilus: Varia sacra de S. Nicolao episcopo Myrensi. — Cfr. A. ROCCHI, *op. cit.*, 143-145. — M. G. MALATESTA ZILEMBO, *op. cit.*, XXIX (1975), 40.

Cy *Crypt. Δ.α. XXIV*, s. XIII vel XIV, membran., mm. 240×190, ff. 181. Codex fere totus palimpsestus, initio parum mutilus: Menaeum decembris-ianuarii. — Cfr. A. ROCCHI, *op. cit.*, 325-326.

De *Crypt. Δ.δ. II*, s. XI vel XII ineuntis, membran., mm. 190×150, ff. 113. Codex initio, fine et passim medii foliis mutilus: Anthologium excipiens officia aliquot per annum decurrentium festorum. — Cf. A. ROCCHI, *op. cit.*, 389-390.

Ea *Vallic. gr. E 54*, s. XII, membran., mm. 246×200, ff. 235: Menaeum decembris, martii et aprilis. — Cfr. E. MARTINI, *Catalogo di manoscritti Greci esistenti nelle biblioteche italiane* II, Milano 1902, 118.

Eb *Vallic. gr. 167* (*LXIV* = *W 60*), s. XI exeuntis vel XII, membran., mm. 231×187, ff. 50, initio et fine mutilus: Menaeum a die 5 ad 8 et a die 12 ad 18 decembris. — Cfr. E. MARTINI, *op. cit.*, 211. — M. G. MALATESTA ZILEMBO, *op. cit.*, 19 (1965), 144.

I *Ottob. gr. 392*, s. XIII ca., membran., mm. 270×192, ff. 163: Officia sanctorum mensium septembris, novembris et decembris. — Cfr. E. FERON – F. BATTAGLINI, *Codices manuscripti graeci Ottoboniani*, Romae 1893, 205. — *BMGV*, p. 217.

Jk *Sabait. 207*, s. XI vel XII cum additamentis s. XIII, membran. et in initio chartac. et bombyc., mm. 325×230, ff. 142: Officium in S. Demetrium. Menaeum decembris-februarii. Stichera et officia selecta. — Cfr. A. PAPADOPOULOS-KERAMEUS, *Ἱεροσολυμιτικὴ Βιβλιοθήκη* II, Ἐν Πετρουπόλει 1894, 316-320.

L *Palat. gr. 138*, s. XIII cum additamentis s. XIV, bombyc., ff. 353: Varia sacra, troparia et canones in varios sanctos. — Cfr. H. STEVENSON SR., *Codices manuscripti Palatini Graeci Bibliothecae Vaticanae*, Romae 1885, 67-70. — *BMGV*, p. 248.

M *Mess. gr. 52* (*οε′, olim ρκη′*), s. XI, membran., mm. 312×214, ff. 128, initio et fine mutilus: Menaeum septembris-ianuarii, musicis notis instructum. Lectiones Veteris et Novi Testamenti. Epistulae et Evangelia in festis maioribus. — Cfr. A. MANCINI, *Codices Graeci monasterii Messanensis S. Salvatoris*, Messanae 1907, 101.

Ma *Mess. gr. 139* (*πβ′*), s. XII, membran., mm. 255×195, ff. 245: Anthologium mutilum. — Cfr. A. MANCINI, *op. cit.*, 200.

Mb *Mess. gr. 138* (*ρδ′*), s. XII, membran., mm. 260×200, ff. 9-243 (ff. 128, 234-243 palimpsesta sunt): Menaeum novembris et decembris, initio mutilum. — Cfr. A. MANCINI, *op. cit.*, 199-200.

N *Mess. gr. 135* (*ρκη′*), s. XIII cum additamentis s. XIV-XV, membran., mm. 228×152, ff. 316: Fragmentum homiliae de iudicio finali. Stichera et officia selecta. — Cfr. A. MANCINI, *op. cit.*, 196-198.

Ph *Paris. gr. 1621* (*Reg. 2487*), s. XIII, membran., mm. 235×173, ff. 117, initio et fine mutilus: Menaeum a die 13 novembris ad 24 decembris. — Cfr. H. OMONT, *Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale* II, Paris 1888, 108.

Pi *Paris. gr. 1623* (*Colbert. 4176*), s. XIV, membran. mm. 245×195 ff. 181: Menaeum decembris, 6-31, initio mutilum. Prophetiae et preces variae. — Cfr. H. OMONT, *op. cit.*, 108.

Q *Paris. gr. 13* (*Colbert. 121*), s. XIII, membran., mm. 390×290, ff. 478: Psalmi, Paracletica, Menaea septembris-augusti. Officia in aquae benedictionem. Triodium, Epistulae Pauli. — Cfr. H. OMONT, *op. cit.* I, Paris 1886, 3.

S *Paris. Suppl. gr. 33*, s. XIII, membran., mm. 290×210, ff. 111; nonnulla folia scripturam hydruntinam produnt: Menaeum septembris-ianuarii, initio et fine mutilum. Paracleticae fragmenta. — Cfr. H. OMONT, *op. cit.* III, Paris 1888, 207. — M. L. CONCASTY, *Manuscrits grecs originaires de l'Italie Méridionale conservés à Paris*, in « Atti dell' VIII Congresso Internazionale di Studi Bizantini, Palermo 1951 » I, Roma 1953, 29.

Sa *Paris. Suppl. gr. 32*, s. XIII, membran., mm. 300×210, ff. 212; scriptura hydruntina patet: Menaeum septembris-februarii, initio et fine mutilum. — Cfr. H. OMONT, *op. cit.*, 207. — M. L. CONCASTY, *op. cit.*

T *Paris. gr. 928*, s. XIII, membran., mm. 280×210, pp. 479: Menaeum septembris-februarii. — Cfr. H. OMONT, *op. cit.* I, 178.

Vb *Vat. gr. 2069* (*Basil. 108*), s. XVII, chartac., mm. 290×200: Calendarium liturgicum. Index sanctorum Calabriae italica lingua. Menaeum septembris-augusti. — Cfr. *Inventarium manu scriptum codicum Basilianorum* a J. C. SCARFÒ redactum (colloc. Sala Cons. Mss. n. 44). — *BMGV*, p. 680.

Vc *Vat. gr. 2110* (*Basil. 149*), s. XI-XV, ff. 39. Codex miscellaneus e fragmentis diversis, chartaceis sive membranaceis, constitutus: Fragmenta Menaeorum atque officiorum e libris liturgicis. — Cfr. *Inventarium manu scriptum codicum Basilianorum* supra cit. — E. FOLLIERI, *Una miscellanea innografica del Fondo Basiliano: il Codice Vatic. gr. 2110*, in « Bolletino della Badia Greca di Grottaferrata » 15 (1961), 3-14. — *BMGV*, p. 684.

Ve *Vat. gr. 1850*, s. XIII, membran., mm. 220×160, f. 120: Menaeum septembris-ianuarii. — Cfr. P. CANART, *Codices Vaticani Graeci* (*cdd. 1745-1962*). In Bibliotheca Vaticana, 1970, 322-324. — *BMGV*, p. 650.

Vi *Vat. gr. 1531*, s. XV-XVI, chartac., mm. 190×136, ff. IV+288: Menaeum decembris absque synaxariis. — Cfr. C. GIANNELLI, *Codices Vaticani Graeci* (*cdd. 1485-1683*). In Bybliotheca Vaticana, 1950, 91-92. — *BMGV*, p. 604.

Vk *Vat. gr. 2309*, s. XIV, chartac., ff. 144: Menaeum initio et fine mutilum, a die 24 septembris ad 29 decembris. — Cfr. *Inventarium manu scriptum codicum Graecorum Bibliothecae Vaticanae* a J. COZZA LUZI confectum (colloc. Sala Cons. Mss. n. 324). — *BMGV*, p. 701.

Vo *Vat. gr. 1070*, s. XIII, membran., mm. 203×150, ff. V+204: Varia sacra in primis et ultimis foliis. Psalterium graece et latine. — Cfr. A. TURYN, *Codices Graeci Vaticani saeculis XIII et XIV scripti annorumque notis instructi*..., In Civitate Vaticana, 1964, 76-78. — *BMGV*, pp. 531-532.

Vn *Vat. gr. 2012* (Basil. 51), chartac., mm. 250×170, ff. 211: Codex miscellaneus liturgicus. Post f. 171 acolouthias varias continet. — Cfr. J. C. SCARFÒ, *op. cit.* — *BMGV*, p. 671.

Wo *Vat. gr. 1072*, s. XII, membran., mm. 160×110, ff. 263: Menaeum decembris variis manibus exaratum. — Cfr. *Inventarium manu scriptum* a L. ALLATIO redactum (colloc. Sala Cons. mss. n. 323). — *BMGV*, p. 532.

Πc *Patm. 197*, s. XIV, membran., mm. 215×150, ff. 205 (ff. 184 et 189 chartacea sunt): Menaeum decembris. — Cfr. J. SAKKELION, *Πατμιακὴ Βιβλιοθήκη* ..., Ἀθήνησιν 1890, 113.

Πp *Patm. 905 A*, s. XIV-XV, chartac., ff. 131. Codex a nullo descriptus: Anthologium liturgicum septembris-ianuarii. — Cfr. « Ἐπετηρὶς τοῦ Βασιλικοῦ Ἱδρύματος Ἐρευνῶν » 6 (1964), Ἀθῆναι 1965, 76-77.

Πr *Patm. 860*, s. XVI, chartac., mm. 208×165, pp. 476: Menaeum decembris. Officium S. Pauli Latrensis. — Cfr. D. KALLIMACHOS, *Πατμιακῆς Βιβλιοθήκης συμπλήρωμα. Ἄγνωστοι κώδικες*, in « Ἐκκλησιαστικὸς Φάρος » 17, Ἐν Ἀλεξανδρείᾳ 1918, 124-125.

Σι *Sinait. gr. 638*, s. XIII, membran., mm. 277×205, ff. 383, fine mutilus: Menaeum septembris-februarii. — Cfr. V. GARDTHAUSEN, *Catalogus codicum graecorum sinaiticorum*, Oxonii 1886, 147. — M. KAMIL, *Catalogue of all manuscripts in the Monastery of St. Catharine on Mount Sinai*, Wiesbaden 1970, 97.

Σκ *Sinait. gr. 581*, s. XI, membran., mm. 242×175, ff. 105: Menaeum a domenica prima ante Christi Nativitatem usque ad 31 decembris. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, 138. — M. KAMIL, *op. cit.*, 94.

Σω *Sinait. gr. 583*, s. XI, membran., mm. 270×215, ff. 255: Menaeum decembris duabus manibus scriptum. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, 138. — M. KAMIL, *op. cit.*, 95.

Σc *Sinait. gr. 578*, s. X vel XI, membran., mm. 260×200, ff. 104: Menaeum initio mutilum a die 11 usque ad 31 decembris. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, 137. — M. KAMIL, *op. cit.*, 94.

Σd *Sinait. gr. 592*, s. XIII, membran., mm. 310×255, ff. 158; Menaeum decembris et ianuarii. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, 140. — M. KAMIL, *op. cit.*, 95.

Σe *Sinait. gr. 582*, s. XI, membran., cum additamentum in fine fasciculi bombycini, mm. 246×177, ff. 132: Menaeum decembris. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, 138. — M. KAMIL, *op. cit.*, 94.

Φa *Met. Metamorfosis 234*, s. XVIII, chartac., mm. 155×212, ff. 127: Officia aliquot sanctorum novembris et decembris. — Cfr. N. A. BEES, *Les manuscrits des Météores...* I, Athènes 1967, 254.

Φb *Met. Metamorfosis 473*, s. XV, chartac., mm. 100×145, ff. 38: Officium Akathistum. Canon paracleticus in S. Nicolaum. — Cfr. N. A. BEES, *op. cit.*, 476-477.

Z *Marc. gr. II, 166*, (*Nan. 307*), s. XIII, membran., mm. 265×210: Menaeum septembris-februarii. — Cfr. J. A. MINGARELLI, *Graeci codices manu scripti apud Nanios patricios asservati*, Bononiae 1784, 518-520.

SIGLA

acr.	=	acrostichis, acrostichidis, acrostichidem, acrostichide
add.	=	addidit, addiderunt
adj.	=	adjectivum
app. crit.	=	apparatus criticus
bombyc.	=	bombycinus
ca	=	circa
canon.	=	canonis, canonem, canone
cd.	=	codex, codicis, codice
cdd.	=	codices, codicum, codicibus
cett.	=	ceteri, cetera, ceterorum
cfr.	=	confer
chartac.	=	chartaceus
corr.	=	correctio, correctione, correxit
ed.	=	editus, editum, edita
etc.	=	et cetera
f.	=	folium
ff.	=	folia
fort.	=	fortasse
gr.	=	graecus
heirm.	=	heirmus, heirmi, heirmum, heirmos
id.	=	idem
inc.	=	incipit, incipiens
inter lin.	=	inter lineas
marg.	=	margine
membran.	=	membranaceus
mm.	=	millimetra
n.	=	numerus

nomin. absol. = nominativus absolutus
om. = omittit, omittunt, omisit
op. cit. = opera citata
orat. = oratio, orationem
p. = pagina
pp. = paginae
s. = saeculi
S. = Sanctus, Sancta etc.
SS. = Sancti, Sanctae etc.
scil. = scilicet
sqq. = sequentia
sup. = supra
sup. lin. = supra lineam
tit. = titulus, tituli
trop. = troparium, troparia, troparii, tropariorum, tropario
v. = versus, versum, versu
vv. = versus, versuum, versibus
vol. = volumen, volumine
ἦχ. = ἦχος, ἦχον
θεοτ. = θεοτοκίον, θεοτοκία, θεοτοκίων
κάθ., καθ. = κάθισμα, καθίσματος, καθίσματα, καθισμάτων
κοντ. = κοντάκιον, κοντακίου, κοντάκια, κοντακίων
οἶκ., οἴκ. = οἶκος, οἶκον, οἶκοι, οἴκου, οἴκων
πλ. = πλάγιος, πλαγίου, πλάγιον
τριαδ. = τριαδικόν, τριαδικοῦ, τριαδικὰ
AA.SS. = *Acta Sanctorum*, Antverpiae / Bruxellis / Tongerloae Parisiis 1643-1940.
AHG = *Analecta Hymnica Graeca e codicibus eruta Italiae Inferioris*, IOSEPH SCHIRÒ *consilio et ductu edita*. I *Canones Septembris*, ADA DEBIASI GONZATO *collegit et instruxit*, Roma 1966; III *Canones Novembris*, ATHANASIUS KOMINIS *collegit et instruxit*, Roma 1972; V *Canones Januarii*, ALKESTIS PROIOU *collegit et instruxit*, Roma 1971; VI *Canones Februarii*, EUTYCHIUS TOMADAKIS *collegit et instruxit*, Roma 1974; VII *Canones Martii*, EUTYCHIUS TOMADAKIS *collegit et instruxit*, Roma 1971; VIII *Canones Aprilis*, CONSTANTINUS NICAS *collegit et instruxit*, Roma 1970; IX *Canones Maii*, CONSTANTINUS NICAS *collegit et instruxit*, Roma 1973; X *Canones Iunii*, AUGUSTA ACCONCIA LONGO *collegit et instruxit*, Roma 1972.

AK = AMFILOKHIJ (SERGIEVSKIJ), arkhimandr., *Kondakarij v grečeskom podlinnikě* XII-XIII *v. po rukopisi Moskovskoj synodal'noj biblioteki* N. 437..., Moskva 1879.
AB = *Analecta Bollandiana*, Bruxelles.
Anal. Boll. = *Analecta Bollandiana*, Bruxelles (in commentario).
An = *'Ακολουθίαι τῶν 'Ανωνύμων...*, *'Ακολουθία τῆς ἁγίας Μεταλήψεως καὶ αἱ θεῖαι Λειτουργίαι τῶν ἐν ἁγίοις πατέρων ἡμῶν 'Ιωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ μεγάλου...*, [Romae, curante Ph. Vitali] 1738.
ANRICH, *Hagios Nikolaos* = G. ANRICH, *Hagios Nikolaos. Der heilige Nikolaos in der griechischen Kirche* I-II, Leipsig-Berlin 1913-1917.
Anth = *'Ανθολόγιον* ... I-III (Sept.-Dec., Ian.-Apr., Mai-Aug.), [Romae, curante Ph. Vitali] 1738
AP = *'Αρχεῖον Πόντου*. Σύγγραμμα περιοδικὸν ἐκδιδόμενον ὑπὸ τῆς 'Επιτροπῆς Ποντιακῶν Μελετῶν, ἐν 'Αθήναις.
Ath = *'Αθηνᾶ*. Σύγγραμμα περιοδικὸν τῆς ἐν 'Αθήναις 'Επιστημονικῆς 'Εταιρείας, 'Αθήνησιν.
BECK H.-G., *Kirche* = H.-G. BECK, *Kirche und theologische Literatur im byzantinischen Reich*, München 1959.
B.H.G.[3] = *Bibliotheca Hagiographica Graeca*, III[e] édition... par F. HALKIN, Bruxelles 1957 (Subsidia Hagiographica 8a).

B.H.G.[3]*A.* = *Auctarium Bibliothecae Hagiographicae Graecae* par F. HALKIN, Bruxelles 1969 (Subsidia Hagiographica 47).

BMC = S. BINON, *Documents grecs inédits relatifs à S. Mercure de Césarée*, Louvain 1937 (Université de Louvain, Recueil de travaux publiés par les membres des Conférences d'Histoire et de Philologie, 2e Série, 41e Fascicule).

BMGV = P. CANART – V. PERI, *Sussidi bibliografici per i manoscritti greci della Biblioteca Vaticana*, Città del Vaticano 1970 (Studi e Testi 261).

Boll. Grott. = *Bolletino della Badia greca di Grottaferrata*, Grottaferrata.

B.SS. = *Bibliotheca Sanctorum*, I-XII, Romae 1961-1969.

CPC = W. CHRIST – M. PARANIKAS, *Anthologia graeca carminum christianorum*, Lipsiae 1871.

EA = *'Εκκλησιαστικὴ 'Αλήθεια.* Σύγγραμμα περιοδικόν, ἐν Κωνσταντινουπόλει.

EE = Σ. Εὐστρατιάδου, *Εἱρμολόγιον*, Chennevières-sur-Marne 1932 ('Αγιορειτικὴ Βιβλιοθήκη 9)

EEBS = *'Επετηρὶς 'Εταιρείας Βυζαντινῶν Σπουδῶν*, ἐν 'Αθήναις.

EO = *Échos d'Orient.* Constantinople-Paris/Bucarest.

EPh = *'Εκκλησιαστικὸς Φάρος*, ἐν 'Αλεξανδρείᾳ.

ETh = Σ. Εὐστρατιάδου, *Θεοτοκάριον* I, Chennevières-sur-Marne 1931 ('Αγιορειτικὴ Βιβλιοθήκη 7-8).

EUSTRATIADIS, *'Αγιολόγιον* = Σ. Εὐστρατιάδου, *'Αγιολόγιον τῆς 'Ορθοδόξου 'Εκκλησίας*, 'Αθῆναι 1961.

EUSTRATIADIS, *Ταμεῖον* = Σ. Εὐστρατιάδου, *Ταμεῖον 'Εκκλησιαστικῆς ποιήσεως*, «'Εκκλησιαστικὸς Φάρος», ἐν 'Αλεξανδρείᾳ.

FOLLIERI, *Initia* = H. FOLLIERI, *Initia Hymnorum Ecclesiae Graecae* I-V, Città del Vaticano 1960-1966 (Studi e Testi 211-215bis).

GIB = G. GIOVANELLI, *Gli inni sacri di S. Bartolomeo Juniore*, Badia greca di Gorttaferrata 1955 (Innografi Italo-greci 3).

HAGIORITIS = Νικοδήμου 'Αγιορείτου, *Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ* I-II, 'Αθήνησι 1868.

HATZIDAKIS = G. N. HATZIDAKIS, *Einleitung in die neugriechische Grammatik*, Leipzig, 1892.

HC = *'Ωρολόγιον... κατὰ τὴν ἔκπαλαι τάξιν οὐ μὴν ἀλλὰ καὶ τυπικὸν τοῦ τῆς Κρυπτοφέρρης μοναστηρίου...* ἐν 'Ρώμῃ 1677.

HR = *'Ωρολόγιον τὸ μέγα*, ἐν 'Ρώμῃ 1876.

JANIN R., *La Géographie ecclésiastique* = R. JANIN, *La Géographie ecclésiastique de l'Empire Byzantin...*, tom. III, *Les Églises et les Monastères*, Paris 1953.

Mart. Rom. = H. DELEHAYE et socii, *Martyrologium Romanum* (Propylaeum ad Acta Sanctorum Decembris), Bruxellis 1940.

MR = *Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ* I-VI, ἐν 'Ρώμῃ 1888-1901.

MV = *Μηναῖα... διορθωθέντα ὑπὸ Βαρθολομαίου Κουτλουμουσιανοῦ τοῦ 'Ιμβρίου* I-XII (Sept.-Aug.), Βενετία, Φοῖνιξ, 1895.

NS = *Νέα Σιών.* 'Εκκλησιαστικὸν περιοδικὸν σύγγραμμα, ἐν 'Ιεροσολύμοις.

NTh = Νικοδήμου 'Αγιορείτου, *Θεοτοκάριον... περιέχον ἑξηκονταδύω κανόνας πρὸς τὴν ὑπεραγίαν Θεοτόκον... ἐκδοθὲν τὸ πρῶτον...*, Βενετία, Φοῖνιξ, 1883.

PaR = *Παρακλητικὴ ἤτοι 'Οκτώηχος ἡ μεγάλη*, ἐν 'Ρώμῃ 1885.

PAS = J. B. PITRA, *Analecta Sacra spicilegio Solesmensi parata* I-IV, Parisiis-Tusculi-Venetiis 1876-1884

Pent = *Πεντηκοστάριον... ἐν ᾧ καὶ προσετέθη ἡ παλαιὰ 'Ακολουθία τῆς ἑβδομάδος τῆς Διακαινησίμου,*

σὺν τοῖς Τριῳδίοις μετὰ τὸ 'Αντιπάσχα, [Romae, curante Ph. Vitali] 1738.

PSALTES = S. PSALTES, *Grammatik der byzantinischen Chroniken*, Göttingen, 1913.

PeR = *Πεντηκοστάριον χαρμόσυνον*..., ἐν 'Ρώμῃ 1883.

PG = J. P. MIGNE, *Patrologiae cursus completus, Series Graeca*, Lutetiae Parisiorum 1857-1866.

PID = *Παρακλητικὸν σὺν Θεῷ ἁγίῳ τῆς ὑπεραγίας Θεοτόκου. Ποίημα τοῦ ὁσίου Πατρὸς ἡμῶν 'Ιωάννου τοῦ Δαμασκηνοῦ*..., [Romae, curante Ph. Vitali] 1738.

ROCCHI A., *Codices Cryptenses* = A. ROCCHI, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae*, Tusculani 1883.

SCHIRÒ G., *Caratteristiche* = G. SCHIRÒ, *Caratteristiche dei canoni di Andrea Cretese. Studio su alcune composizioni inedite del melode*, « Κρητικὰ Χρονικὰ » 15-16 (1961-1962), τεῦχος II, 113-139.

Synax. CP. = H. DELEHAYE, *Synaxarium Ecclesiae Constantinopolitanae* (Propylaeum ad Acta Sanctorum Novembris), Bruxellis 1902.

Synaxarium = id. id.

Theot. Marc. = E. FOLLIERI, *Un Theotocarion Marciano del sec. XIV (cod. Marciano cl. I,6)* ..., Roma 1961.

TR = *Τριῴδιον κατανυκτικόν, περιέχον ἅπασαν τὴν ἀνήκουσαν αὐτῷ ἀκολουθίαν τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς*, ἐν 'Ρώμῃ 1879.

TRM = N.B. Τωμαδάκη, *'Ρωμανοῦ τοῦ Μελῳδοῦ Ὕμνοι* I-III, 'Αθῆναι 1952-1957.

ANALECTA HYMNICA

2 DEC. *CANON* I

IN SANCTOS ANDRONICUM ET ATHANASIAM CONIUGES

Synaxarium, 501: (Τῇ αὐτῇ ἡμέρᾳ) κοίμησις τῶν ἁγίων Ἀνδρονίκου καὶ Ἀθανασίας.

Crypt. Δ.α. XIX = Cu, ff. (84v-86v)

Ὁ κανὼν φέρων ἀκροστ(ιχίδα) κατ' ἀλφάβητον·
ἐν τοῖς θ(εοτοκίοις)· Νικολάου.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος*

f. 85 ‖ Ἀγγέλων συγχορευτὴς γεγένησαι
ὄντως, Ἀνδρόνικε,
καὶ ἐν ὑψίστοις τῷ παμβασιλεῖ
σὺν αὐτοῖς παριστάμενος
ἁγιασμὸν δωρήσασθαι
ἡμῖν δυσώπει τοῦτον πάντοτε.

Βιώσας ἐπὶ τῆς γῆς ὡς ἄγγελος
σαφῶς, Ἀνδρόνικε,
βίου πολλαῖς παθῶν ἐν προσβολαῖς
κυματούμενον πάντοτε
τῇ ἀγαθῇ πρεσβείᾳ σου
σῶσον καὶ ῥῦσαί με, ἀοίδιμε.

---

tit. Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τοῦ ὁσίου Ἀνδρονίκου et in marg. manu posteriore φέρων ἀκροστ(ιχίδα) ...
heirm. α' EE 94, n. 133, Joannis

Γηθόμενος τὴν ἰσχὺν κατέβαλας,
πάτερ 'Ανδρόνικε,
τοῦ ἐν κακίᾳ ὄντως δυνατοῦ
δι' ἀσκήσεως· ὅθεν σοι
ἡ ἐν ὑψίστοις εὔκλεια
μετὰ ἀγγέλων κατεσκήνωσεν.

θεοτ. Νοός σε καθαρωτάτῳ ὄμματι
πάλαι προέβλεπεν
ὁ Δανιὴλ σε πύλην τηλαυγῶς
κεκλεισμένην, πανάχραντε,
δι' ἧς διῆλθε Κύριος
πάλαι φυλάξας κεκλεισμένην αὐτήν.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Διέσεισας πονηρὰ
τείχη τῆς πλάνης τοῦ ἐχθροῦ, τεῖχος δὲ
τῶν εὐσεβῶν γέγονας,
'Ανδρόνικε πάτερ, τοῖς ἔργοις σου.

'Εκ πόθου εἰλικρινοῦς
σὺ ἀγαπήσας τὸν Χριστόν, ὅσιε,
νέος 'Ιὼβ γέγονας
τὰς θύρας ἀνοίγων τοῖς πένησιν.

Ζωὴν τὴν ἀληθινὴν
ἐπιποθοῦσα ἐκ ψυχῆς, πάνσεμνε
'Αθανασία, Κύριον
εὐχαῖς καὶ ᾠδαῖς ἐθεράπευσας.

---

21 ὁ Δανιὴλ fort. scribendum 'Ιεζεκιὴλ
heirm. γ' EE 94, n. 133, Joannis

---

32 AA.SS. Oct. IV (1780), 998 F: ... διεῖλον ἀεὶ τὸν βίον αὐτῶν. Καὶ τὸ μὲν ἓν μέρος τοῖς πτωχοῖς ἀφθόνως παρεῖχον...

21-24 Ez. 44,2

θεοτ. 'Ιάσατο ἀληθῶς
τὴν πεπτωκυῖαν τῶν βροτῶν, ἄχραντε,
φύσιν ἐκ σοῦ Κύριος
ἀτρέπτως γενόμενος ἄνθρωπος.

ᾠδὴ δ'. *'Επαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

'Η θεόφρων καὶ πανέντιμος τῶν ὁσίων
ξυνωρὶς μελῳδήμασι
παρ' ἡμῶν τιμάσθω
νυνί τε καὶ ᾄσμασιν,
ὁ κλεινὸς 'Ανδρόνικος
σὺν 'Αθανασίᾳ συζύγῳ αὐτοῦ.

Θέλων, σῶτερ, τοὺς σοὺς δούλους παρακληθῆναι
ἐκ τῶν πολλῶν δακρύων
διὰ τὴν τῶν παίδων
στέρησιν 'Ιουλιανὸν
τὸν μάρτυρα ἔπεμψας
τούτοις τὴν χαρὰν προμηνύοντα.

'Ιαμάτων εἰληφότες τὴν θείαν χάριν
ἐκ τοῦ Θεοῦ, ἀοίδιμε
ξυνωρὶς ὁσίων,
ἰάσασθαι σπεύσατε
κἀμὲ νυνί, ἅγιοι,
νοσοῦντα παθῶν ἐπιτάσεσιν.

f. 85v θεοτ. ‖ Κεκακωμένον με βάρει τῷ τῶν παθῶν μου,
παρθενομῆτορ ἄχραντε,
ἰάτρευσον ὄντως

---

heirm. δ' EE 94, n. 133, Joannis 40 ἄτρεπτος 59 τῷ] τὸ cd.

47-52 AA.SS. Oct. IV (1780), 999 A: ... ὤφθη αὐτῇ ὁ μάρτυς 'Ιουλιανός... λέγει αὐτῇ· μὴ κλαῖε περὶ αὐτῶν· ... καὶ τὰ νήπια ἀπαιτοῦσιν τὸν Χριστὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὰ μέλλοντα ἀγαθά· ... 'Η δὲ ἀκούσασα, κατενύγη, καὶ μετέβαλε τὸ πένθος εἰς χαράν·

καὶ πρὸς μετανοίας ὁδοὺς
ἀνάγαγε, δέομαι,
ἐν σοὶ τὰς ἐλπίδας τιθέμενον.

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*

Κόσμον καταλιπὼν
καὶ πλούτου περιφάνειαν
τρυφήν τε τὴν φθειρομένην
τὴν ἀγείρω τρυφᾶς νῦν,
'Ανδρόνικε, λαμπρότητα.

Λαμπτὴρ ὁλοφαής,
'Ανδρόνικε, γενόμενος
λαμπρότησιν ἰαμάτων
τοὺς νυκτὶ νοσημάτων
φωταγωγεῖς ἑκάστοτε.

Μανίᾳ συσχεθεὶς
ὁ ἀναιδὴς ἐζήτησεν
ὡς ἄλλον 'Ιὼβ σε, πάτερ,
πειράσαι ὁ ἀλάστωρ,
ἀλλ' ἥττηται, 'Ανδρόνικε.

θεοτ. Ὅλην ταῖς ἀρεταῖς
ὡραίαν ἐφευρών σε Χριστός,
πανάμωμε, ὡς ὡραῖος
ἐν τῇ σῇ ἐχωρήθη
γαστρὶ ὁ ὑπερούσιος.

---

heirm. ε' EE 94, n. 133, Joannis   65 καταλειπὼν   70 ὁλοφαεῖς
79 ἀλλήττητε   83 ἐχωρέθη

65-69 AA.SS. Oct. IV (1780), 999 B: Ὁ δὲ ... δέδωκε πλεῖστον μέρος τῆς οὐσίας αὐτοῦ τοῖς πτωχοῖς, καὶ τοὺς ὠνητοὺς τῶν δούλων ἠλευθέρωσεν· τὰ δὲ λοιπὰ τῶν ὑπαρχόντων αὐτοῦ ἀνέθετο τῷ πενθερῷ αὐτοῦ, παραγγείλας αὐτῷ, ποιῆσαι νοσοκομεῖα καὶ ξενοδοχεῖα μοναχῶν· αὐτὸς δὲ μικρὰ ἐφόδια λαβών, ἐξῆλθεν νυκτὸς ἐκ τῆς πόλεως, αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ μόνοι.
75-79 AA.SS. Oct. IV (1780), 998 F: Μετὰ δὲ δώδεκα ἔτη τῆς αὐτῶν συνοικήσεως, ὄντων τῶν τέκνων αὐτῶν ἐν ἐκείνῃ τῇ ἡλικίᾳ, ᾗ ἀγάλλειν τοὺς γονεῖς εἶχον, ἐν μιᾷ τῶν ἡμερῶν τεθνήκασιν ἀμφότερα·

ᾠδὴ ϛ'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Νόσους τε
καὶ μαλακίας, πάτερ 'Ανδρόνικε,
παρὰ τῆς θείας ἐδέξω
τὸ ἰᾶσθαι χάριτος· ὅθεν πίστει
δυσωπῶ σε
τῆς ψυχῆς μου τὰ πάθη θεράπευσον.

Ξένα σου
τὰ παλαίσματα, πάτερ 'Ανδρόνικε·
τῇ γὰρ συζύγῳ ἐν πλείστοις
ἔτεσι συμμείνας ἀνδρὸς ἐν εἴδει,
εἰς αἰῶνας
νῦν σὺν αὐτῇ ἀγάλλῃ, θεσπέσιε.

Ὁ βίος
ἀγγελικός, ὁ τρόπος θαυμάσιος,
ὁ δὲ σὸς λόγος, παμμάκαρ,
ἅλατι τῷ θείῳ ὢν ἠρτυμένος
τὴν κακίαν
τῶν δαιμόνων ἐνθέως ἐμώρανεν.

θεοτ. Λύτρωσιν
μεθ' ἡμῶν ὁ φιλάνθρωπος Κύριος

---

heirm. ϛ' EE 94, n. 133, Joannis   88 τὸ] τοῦ cd.   χάριτος] χάριτι
98 ἀγγελικῆς   100 εἰρτυμένος

85-88 H. Delehaye, *Saints de Chypre*, AB 26 (1907), 179: ... Θαυμάτων γὰρ οὐκ ὀλίγων παρὰ τῶν θείων λειψάνων ἐκτελουμένων ... ἐκ τῶν αὐτῶν ἁγίων εἰκόνων ἱδρῶτος δίκην ἀπεστάλαζε μῦρον, ὃ ἦν ἰαματικὸν νοσημάτων παντοδαπῶν·
93-94 AA.SS. Oct. IV (1780), 1000 D: ... ἔμειναν ὁμοῦ, ὅ τε 'Αθανάσιος καὶ ἡ αὐτοῦ σύζυγος, ἄλλα δώδεκα ἔτη, καὶ οὐκ ἐγνώσθη αὐτῷ, ὅτι ἡ γυνὴ αὐτοῦ ἐστι·

---

88 I Cor. 12,9   99-100 Col. 4,6   103-105 Luc. 1,68

θέλων ποιῆσαι, παρθένε,
ἐκ σοῦ ἐνηνθρώπησεν εὐδοκίᾳ
τῇ τοῦ Πατρὸς
καὶ συνεργείᾳ τοῦ θείου Πνεύματος.

ᾠδὴ ζ'. *Ἀβραμιαῖοι ποτὲ*

Πολυειδεῖς πειρασμοὺς
ἐν τῇ ἀσκήσει ὄντως
καθυπομείνας, πάτερ ὅσιε,
παρὰ τοῦ ἀλάστορος,
ἐκ πειρασμῶν με βλάβης
διάσωσον εὐχαῖς σου.

Ῥανίσι σῶν πρεσβειῶν
τὸν τῶν παθῶν μου ῥύπον
f. 86 δια||σκεδάσας ἀποκάθαρον
πρεσβείαις σου, ὅσιε,
καὶ δεῖξόν με τῆς ἄνω
τρυφῆς συγκληρονόμον.

Στρατὸς ἀγγέλων σεπτῶς
τῇ ἱερᾷ ψυχῇ σου
ἀπεκδημούσῃ προηγήσατο
πρὸς Κύριον, ψάλλοντες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Ἀπὸ παθῶν με πολλῶν
καὶ πειρασμῶν, παρθένε,
ἐξαιρουμένη καινοποίησον
ἐν ὕμνοις κραυγάζοντα·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

---

heirm. ζ' EE 102, n. 144, Cosmae 116 τὸν] τὸ cd. 123 ἀπεκδημοῦσι 125, 131 post ἡμῶν orat. detruncat cd.

ᾠδὴ η'. *Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε,*

Τῆς Τριάδος σεπτὸν καταγώγιον
σὺν τῷ θείῳ συζύγῳ σου γέγονας,
Ἀθανασία, ψάλλουσα
καθ' ἑκάστην ἡμέραν·
« πάντα τὰ ἔργα
εὐλογεῖτε Κυρίου τὸν Κύριον ».

Ὑψηλοὺς τοὺς ἀγῶνας ἐνδείξασα
νῦν μεγάλα τὰ τρόπαια εὕρατο
ξυνωρὶς ἡ θεόκλητος
τῶν ὁσίων ἐν πίστει
ἀναβοῶσα·
« εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον ».

Φωτισμὸν τῇ ψυχῇ μου δωρήσασθαι
τὸν Χριστὸν ἐκδυσώπει, Ἀνδρόνικε,
ὅπως τὴν θείαν μνήμην σου
ἐν ᾠδαῖς ἀνυμνήσω·
« πάντα τὰ ἔργα
εὐλογεῖτε Κυρίου τὸν Κύριον ».

θεοτ. Οὐ δαιμόνων πληθὺν δειλιάσασα,
οὐ σαρκὸς ἡδοναῖς ὑποκύψασα,
τὸν ἐκ παρθένου Κύριον
ἀπειράνδρως τεχθέντα,
Ἀθανασία,
θεραπεύσασα ἔργοις δεδόξασαι.

ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Χάριτι Χριστοῦ δυναμωθεὶς
ὑπήνεγκας τῶν δαιμόνων τὰ παλαίσματα,

---

heirm. η' EE 96, n. 135, Joannis 143 ἀναβοῶσαι 144 post ἔργα orat. abrumpitur 148 ἀνυμνήσας 150 post εὐλογεῖτε orat. detruncatur
heirm. θ' EE 98, n. 139, Joannis et Stephani

πάτερ Ἀνδρόνικε, καὶ τούτων
τελείως τὴν ἰσχὺν ἐξενεύρωσας·
διό σε δυσωποῦμεν τοῦ ῥύσασθαι
τῆς αὐτῶν βλάβης τοὺς οἰκέτας σου.

Ψυχῶν καθαρτήριον, σοφοί,
γεγένηται ὁ τῇ θείᾳ κλεϊζόμενος
ὄντως ὑμῶν ἐπωνυμίᾳ
οἶκος, Ἀθανασία πανεύφημε
σὺν Ἀνδρονίκῳ τῷ θείῳ συζύγῳ σου,
ᾧ προσιόντες καθαιρόμεθα.

Ὡς ὄρθρος, ὡς ἥλιος ἡμῖν
ἀνέτειλεν ἡ φωσφόρος ὑμῶν σήμερον
μνήμη, ἣν πόθῳ ἐκτελοῦντας,
Ἀνδρόνικε, Χριστὸν καθικέτευε
παθῶν τε σὺν συζύγῳ καὶ θλίψεων
ἡμᾶς ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε.

f. 86v θεοτ. ‖ Υἱὸν ἐσωμάτωσας, ἁγνὴ
θεόνυμφε, ἀπορρήτως τὸν συνάναρχον
Λόγον Θεοῦ ἐκ σῶν αἱμάτων
καιροῖς ἐν τοῖς ἐσχάτοις, πανάχραντε,
ὡς οἶδε μόνος αὐτός, παρθενεύουσαν
πάλιν φυλάξας μετὰ τόκον σε.

---

160 ἐξενεύρισας 166 Ἀθανασίας 168 ὧ

IN SANCTOS INDEM, DOMNAM ET SOCIOS

Synaxarium, 357-358: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Δόμνας. Αὕτη ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ πόλεως Νικομηδείας, ἱέρεια τυγχάνουσα τοῦ δωδεκαθέου τοῦ ἐν τῷ παλατίῳ. Ἐντυχοῦσα δὲ ταῖς τῶν ἁγίων ἀποστόλων πράξεσιν καὶ ταῖς ἐπιστολαῖς τοῦ ἁγίου Παύλου, καὶ παρ᾽ αὐτῶν τὴν ψυχὴν φωτισθεῖσα καὶ τὴν ἀληθῆ πίστιν μαθοῦσα, πιστεύει τῷ Χριστῷ καὶ βαπτίζεται παρὰ Κυρίλλου ἐπισκόπου Νικομηδείας ἅμα Ἴνδῃ τῷ εὐνούχῳ καὶ πλείστοις ἑτέροις, οὖσα ἤδη δωδεκαέτης. Εἶτα μεθίσταται τοῦ βίου ὁ ἐπίσκοπος Κύριλλος καὶ ψήφῳ θείᾳ προβάλλεται Ἄνθιμος. Ἡ δὲ ἁγία Δόμνα εἰς τὴν ἐπιμέλειαν τῶν πτωχῶν καὶ τὴν τῶν πενήτων χορηγίαν καταστήσασα ἑαυτήν, πάντα τὰ ἐκ τῶν βασιλικῶν φιλοτιμιῶν διδόμενα αὐτῇ καὶ τῷ μακαρίῳ Ἴνδῃ ἐπεδίδου πτωχοῖς· ἐπεδαψιλεύσατο δὲ τὴν τοιαύτην ἐπίδοσιν, τοῦ βασιλέως ἐπὶ τὴν κατὰ τῶν Αἰθιόπων στρατείαν ὁρμήσαντος. Τότε γὰρ οὐ μόνον τὰ πρὸς τροφὴν αὐτοῖς διδόμενα ἀλλὰ καὶ τὰς πολυτιμήτους ἐσθῆτας καὶ τὸν περικείμενον αὐτοῖς χρυσὸν ἀπεμπολοῦντες διένεμον τοῖς πτωχοῖς. Διαβάλλονται οὖν τῷ ἀρχιευνούχῳ καὶ παρ᾽ αὐτοῦ ἐν φυλακῇ τίθενται, ἔνθα δι᾽ ἀγγέλου ἐπιστασίας ἐχορηγεῖτο αὐτοῖς ἡ τροφή. Συνετὴ δὲ οὖσα ἡ μακαρία Δόμνα καὶ τὸν τρόπον τῆς ἀλλοιώσεως ἐννοήσασα τοῦ Δαβίδ, καθ᾽ ὃν ἀφείθη ἐν μέσῳ τῶν πολεμίων ἀποληφθείς, δαιμονᾶν προσποιεῖται καὶ μαίνεσθαι· διά τοι τοῦτο αὐτή τε καὶ ὁ Ἴνδης παρὰ τοῦ ἀρχιευνούχου τῷ τῶν χριστιανῶν πέμπονται ἐπισκόπῳ, ὡς δυναμένῳ τῆς μανίας ἀπαλλάξαι αὐτήν. Καὶ ἦν λοιπὸν ἡ μακαρία ἐν πνευματικῇ ἡδονῇ μετὰ τῶν χριστιανῶν συνδιάγουσα. Τοῦ δὲ Μαξιμιανοῦ τροπωσαμένου τὸν πόλεμον καὶ τὰ βασίλεια καταλαβόντος καὶ ἐπινίκια θύειν τοῖς θεοῖς βουλομένου, ἐζητεῖτο ἡ παρθένος Δόμνα καὶ οὐχ εὑρίσκετο. Πυθόμενος δὲ τὰ περὶ αὐτὴν ὁ βασιλεύς, αὐτόν τε τὸν εὐνοῦχον ἀναιρεῖ καὶ κατὰ τῶν ἀσκητηρίων, ἐν οἷς παρθένοι σεμναὶ διῆγον τὸν Χριστὸν ὁμολογοῦσαι Θεόν, κινεῖ διωγμόν· ἔνθα πολλαὶ συλληφθεῖσαι τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσαντο. Καὶ Γλυκέριος ὁ πρῶτος πρεσβύτερος τῆς ἐκκλησίας διελέγξας τὸν βασιλέα, ὡς ἐπὶ ματαίοις ἐλπίζει τοῖς εἰδώλοις καὶ θεοὺς ἡγεῖται τὰ ἄψυχα, βουνεύροις καταξανθεὶς καὶ ξύλῳ προσηλωθεὶς διὰ πυρὸς τελειοῦται. Καὶ πολλοὶ τῶν τῆς συγκλήτου διαβληθέντες, τὸν διὰ Χριστὸν ὑπέστησαν θάνατον. Τῆς δὲ ἐκκλησίας πληθούσης κατὰ τὴν γενέθλιον ἡμέραν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ λαοῦ τῆς καθ᾽ ἡμᾶς οἰκονομίας τὴν ὑπέρλογον σάρκωσιν ἑορτάζοντος, πῦρ ἀνήφθη κύκλῳ αὐτῆς, τοῦ βασιλέως προστάξαντος, ἐπεὶ οὐκ ἐπείσθησαν ἐξελθόντες τοῖς εἰδώλοις προσενέγκαι θυσίας· καὶ τελειοῦνται διὰ πυρὸς πλῆθος πολύ, ὡς εἶναι τὸν ἀριθμὸν δισμυρίους. Οἱ δὲ ἀπὸ τῆς συγκλήτου, ὁ μὲν στρατιώτης Ζήνων, θλασθεὶς τὴν ὄψιν καὶ τοὺς ὀδόντας λίθοις, ξίφει τὴν κεφαλὴν ἀποτέμνεται· Δωρόθεος δὲ ὁ πραιπόσιτος

τὴν κεφαλὴν ἀφαιρεῖται, Μαρδόνιος πυρὶ φλέγεται, Μυγδόνιος ἐμβάλλεται βόθρῳ, Γοργόνιος καὶ Ἴνδης καὶ Πέτρος λίθοις προσδεθέντες τῷ βυθῷ τῆς θαλάσσης ἀκοντίζονται καὶ Θεόφιλος ὁ διάκονος τὴν γλῶτταν ἐκτέμνεται καὶ ἐν τῷ πεδίῳ λιθοβολεῖται. Ἡ δὲ μακαρία Δόμνα ἀνδρικὴν ὑποδῦσα στολὴν καὶ ἀπὸ τοῦ σπηλαίου, ἐν ᾧ ἐκέκρυπτο, κατελθοῦσα, τῶν ἀθλησάντων ἀναλαβομένη τὰ σώματα καὶ πλοίῳ ἐνθεῖσα, ἐν ἐπιτηδείῳ τόπῳ ταῦτα ἐκόμισεν ἔξω τῆς πόλεως. Διαβληθεῖσα δὲ προστάξει τοῦ βασιλέως τὴν κεφαλὴν ἀποτέμνεται καὶ πυρὶ τεφροῦται τὸ σῶμα· ἔνθα καὶ ὁ ἅγιος Ἄνθιμος ὁ ἐπίσκοπος συλληφθεὶς τύπτεται σφοδρῶς καὶ σούβλαις πεπυρωμέναις διαπερονᾶται τοὺς ἀστραγάλους, καὶ ἐπὶ ὀστράκου ἁπλοῦται καὶ ῥάβδοις συντρίβεται καὶ κρηπῖδας χαλκᾶς πεπυρωμένας ὑποδύεται καὶ ἐπὶ τροχοῦ κατατείνεται καὶ λαμπάσι πυρὸς ὑποκαίεται. Ἐξ ὧν τῇ τοῦ Θεοῦ χάριτι ῥυσθεὶς ἐτμήθη τὴν κεφαλήν, καὶ τὸν τοῦ μαρτυρίου ἀνεδήσατο στέφανον.

Crypt. Δ.α. XIV	= Cf,	ff. 10v-14v
Crypt. Δ.α. IV	= Ce,	ff. 8v-13
Vat. gr. 2069	= Vb,	ff. 73v-75v
Crypt. Δ.α. XIX	= Cu,	ff. (88v-91)
Paris. Suppl. gr. 33	= S,	ff. 159v-161

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Φάλαγγα τερπνὴν μαρτύρων ἐπαινέσω· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Φωτοειδεῖς τῇ μετοχῇ τῆς χάριτος
τοῦ θείου πνεύματος
ὡς ἀληθῶς, θεῖοι
μάρτυρες, γενόμενοι
τὸ σκότος τὸ βαθύτατον
τῆς εἰδωλομανίας
ἀνδρείως ἐναπεκρούσασθε·
ὅθεν εὐσεβῶς μακαρίζεσθε.

---

tit. Ἕτερος κανὼν τῶν μαρτύρων φέρων ... Cf Τῇ ἑσπέρᾳ κανὼν τῶν ἁγίων μαρτύρων φέρων ... et in marg. Ἰωσὴφ ... Ce Μηνὶ Δεκεμβρίῳ γ' εἰς τὸ μεσονυκτ(ικὸν) ψάλλο(μεν) τὸν κανόνα τῶν ἁγίων μαρτύρων ... Vb Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τῶν ἁγίων μαρτύρων Ἴνδη καὶ Δόμνας φέρων ... Cu Ὁ κανὼν S
heirm. α' EE 219, n. 314, Joannis 1 Φωτοειδῆ τῆς μετοχῆς τῆς χ: S 7 ἐναπεκρούσασθαι Cu S 8 μακαρίζεσθαι S

Ἀκτινοβόλοις ἀστραπαῖς τοῦ πνεύματος
καταυγασθέντες τὸν νοῦν
τὰ ἐπὶ γῆς πάντα,
μάρτυρες, ἠρνήσασθε
καὶ τὸν σταυρὸν ἀράμενοι
τοῦ σταυρὸν ἑκουσίως
καὶ θάνατον ὑπομείναντος
κατηκολουθήσατε χαίροντες.

Λελαμπρυσμένῃ διανοίᾳ, πάνσοφοι,
Χριστὸν τὸν Κύριον
τὸν δι' ἡμᾶς σάρκα
καθ' ἡμᾶς φορέσαντα
Θεὸν ὡμολογήσατε
ἐναντίον ἀνόμων
καὶ θάνατον ζωῆς πρόξενον
διαιωνιζούσης ὑπέστητε.

Ἁγνὴ παρθένος τῷ Χριστῷ μεμνήστευσαι,
Δόμνα πανεύφημε,
καὶ τῷ αὐτοῦ πόθῳ
τὴν ψυχὴν συνέδησας,
ἐπίκηρον παλάτιον
καὶ ἐπίγειον πλοῦτον
καὶ δόξαν μὴ διαμένουσαν
ἀπαρνησαμένη, θεόπνευστε.

---

10 καταυγαζέσθω S 12 ἠρνήσασθαι Cf S 14 τοῦ] τῷ Ce τοῦ σταυρὸν ἑκουσίως] ἐπὶ ὦμον ἀνδρείως S τοῦ σταυρὸν] τῷ Χριστῷ Cu 15 ὑπομείναντος] -ντι Ce Cu -ντες S 16 χαίροντες] ἅγιοι S 17 Λελαμπρυσμένῃ Ce: -μένοι Cf Cu S 21 ὁμολογήσατε Cf S ὁμολογήσαντες Cu 22 ἐναντίον Cu, ἐναντίων cett. cdd. 25 παρθένε S 28 συνέδυσας S

11-16 PG 116, 1072: ... καὶ καταφρονῆσαι μὲν προσκαίρου ζωῆς ὑπὲρ τοῦ πεποιηκότος ἡμᾶς Θεοῦ καὶ τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ ἡμῶν εἰς θάνατον δεδωκότος ...
18-21 PG 116, 1072: ... Χριστιανοί ἐσμεν, ἐβόων, Χριστιανοί...
29-31 PG 116, 1040: ... παρθένος σφόδρα καλὴ τὴν κλῆσιν Δόμνα, τὴν δόξαν ἐπιφανής, ἐν θαλάμῳ τεθραμμένη βασιλικῷ ... πρώτη τε τῶν ἱερειῶν καταστᾶσα καὶ θυσίας πάσης καὶ τελετῆς τῶν ματαίων θεῶν κατάρχουσα.

θεοτ. Γένος ἀνθρώπων διὰ σοῦ κεκλήρωται
τὴν ἀπολύτρωσιν·
τὸν λυτρωτὴν πάντων
μόνη γὰρ ἐκύησας·
διό σε μακαρίζομεν,
θεοτόκε παρθένε,
ἁμαρτωλῶν ἱλαστήριον
καὶ καταπιπτόντων ἀνόρθωσις.

f. 11 ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Γεγυμνασμένῳ λογισμῷ
νηφούσῃ τε διανοίᾳ
τῷ βαπτίσματι τῷ θείῳ προσῆλθες
μυηθεῖσα τὴν αὐτοῦ
θεοποιὸν ἀνάπλασιν
διὰ σεμνῆς παρθένου,
Δόμνα παρθένε θεόνυμφε.

Ἀνακαθάρασα τὸν νοῦν
σὺ τῇ θεογενεσίᾳ
διεσκόρπισας πεινῶσι τὸν πλοῦτον
τὸν οὐράνιον, σεμνή,
καὶ μένοντα ποθήσασα,
ὃν νῦν ἀπολαβοῦσα,
πάντων ἡμῶν, μάρτυς, μέμνησο.

---

33 καὶ κλήρωται S 37 μακαρίζωμεν S 39 ἱλαστήριον] ἡ βοήθεια Ce Vb
heirm. γ' EE 219, n. 314, Joannis 42 νιφούσῃ Cf Cu νηφούσι S
45 θεοποιὸν] θεοτικὴν S 46-47 διὸ σεμνὴ παρθένον / Δόμναν θεόνυμφον ᾄδωμεν S
53 ὃ νῦν Cf Cu S 54 μάρτυς] Δόμνα S

43-47 PG 116, 1041: ... μεταστέλλεταί τινα κρυφίως ἑνὸς τῶν τῆς βουλῆς θυγατέρα, τὴν μὲν δόξαν Χριστιανήν, παρθένον δὲ καὶ αὐτὴν εἰς ἀκρίβειαν τὰ τῆς ἀληθοῦς λατρείας ἐρῶσα μαθεῖν... ἐπὶ τὸ βάπτισμα σπεύδει·
50-51 PG 116, 1040: ... χρυσὸν καὶ πλοῦτον ἀφέντας... χερσὶν αὐτῶν πενήτων ἐγκαταθεῖναι, καὶ ὅλους Χριστοῦ καὶ τῆς αὐτοῦ μερίδος γενέσθαι.

Τὴν πρὸς τὸ θεῖον ἀληθῆ
ἐπίγνωσιν κεκτημένοι,
ὁμονοίᾳ εὐσεβεῖ συνημμένοι,
διελύσατε ἐχθροῦ
τὰς μηχανὰς καὶ ἔνεδρα,
Ἴνδη καὶ Δόμνα, θεῖοι
μάρτυρες τοῦ παντοκράτορος.

θεοτ. Ἐθεωρήθησαν ἐν σοὶ
πορεῖαι τοῦ παντεπόπτου·
ὁ καθήμενος γὰρ κόλποις πατρῴοις
ἐν τοῖς κόλποις σου, ἁγνή,
βρεφοπρεπῶς καθέζεται
καὶ γαλουχεῖται θέλων
ὁ διατρέφων τὰ σύμπαντα.

f. 11v ᾠδὴ δ'. *Σύ μου, Χριστέ,*
Κύριος, σύ μου καὶ δύναμις

Ῥῆμα Θεοῦ
ζῶν ἐν καρδίᾳ κατέχοντες
τὸ τῆς πλάνης
ὕδωρ ἀπεστράφητε
καὶ πρὸς τὸ ὕδωρ τὸ τῆς ζωῆς
νῦν κατασκηνῶσαι
κατηξιώθητε, μάρτυρες,
μεγάλους ὑποστάντες
καὶ κινδύνους καὶ πόνους
ὑπὲρ τῆς ἀληθείας, πανεύφημοι.

Πόθῳ πολλῷ
ἐπιζητοῦντες τὸν Κύριον

---

55 τὸ] τὰ S 57 εὐσεβῆ Cf S συνημμένη S
post oden γ' κάθ., quod inc. Στρατὸς ἐν ἀριθμῷ ..., MR II, 711, profert S
heirm. δ' EE 219, n. 314, Joannis 76 μεγάλως S

72-73 PG 116, 1045: Τούτοις ... μόνος ὁ ζῶν ἄρτος τροφὴ ἦν, καὶ τὸ τῆς θείας χάριτος πόμα ποτόν.

62-63 Ps. 67,25 64 Joh. 1,18 73 Jer. 2,13; Apoc. 7,17

ὀπτασίας θείας ἠξιώθητε,
ἀγγελικῆς
τάξεως ὑμᾶς
εὐωδιασάσης
καὶ φωτισάσης, μακάριοι,
πεινῶντας καὶ διψῶντας
καὶ φρουρᾷ κεκλεισμένους
καὶ πολλαῖς ὁμιλοῦντας κολάσεσιν.

Νύμφη Χριστοῦ
ὡραιωθεῖσα τῇ χάριτι
ἐγνωρίσθης,
Δόμνα ἀειπάρθενε,
καὶ τῷ αὐτοῦ ἔρωτι ψυχὴν
ἀναφλεγομένη
ἐν προσποιήσει, πανεύφημε,
μωρίας ἐπιπλάστου
τὸν πολύμορφον ὄφιν
ἀπεμώρανας σθένει τοῦ πνεύματος.

Ἡ φωταυγὴς
τῶν ἀθλοφόρων πανήγυρις
τοῦ ἡλίου
πλέον ἐπιλάμψασα

---

84 ἐβωδίας πάσης S 86 πεινῶντες καὶ διψῶντες Cf 87 κεκλεισμένοι Cf 88 ὁμιλοῦντες Cf S -νταις Cu 89-98 trop. deest in Cu 89 Χριστοῦ] Θεοῦ S 92 ἀειπάρθενε] καλλιπάρθενε S 93 ψυχῆς S 94 ἀναφλεγομένην Ce Vb 98 σθένη Cf ἀπεμώρανας] ἀπημαύρωσας S 99 φωταυγεῖς S 102 ἀντιλάμψασα Cu S

81-89 PG 116, 1045: Τοσαύτη γοῦν ἡ τῆς ἀπηνείας ἐπίτασις ἦν, καὶ τὸ τῆς κακοπαθείας ἀφόρητον ... ἐπίστανται δὲ οὐρανίων δυνάμεις ἀγγέλων, οἳ πολλῷ τῷ φωτὶ τούτους περιαστράψαντες καὶ τὴν τράπεζαν ὑποπλήσαντες ἐδεσμάτων, αὖθις πρὸς οὐρανὸν ἀνεφοίτων.

84 PG 116, 1072: ... εὐωδία μὲν μᾶλλον ὑπέπνει σφόδρα ἡδεῖα ...

95-98 PG 116, 1048: ... τοιοῦτο δή τι καὶ αὐτὴ μηχανᾶται καὶ ὑποκρίνεται τοὺς ὀφθαλμοὺς διαστρέφουσα, καὶ τὰ σίελα παραπτύουσα χεῖράς τε κροτοῦσα, καὶ ἀτάκτους ἀφιεῖσα φωνάς, καὶ ποτὲ μὲν κλαίουσα, ποτὲ δὲ καὶ γελῶσα σὺν οὐδενὶ καιρῷ τε καὶ κόσμῳ. 1049: ... φρενῶν βάθος ὑπὸ πλάσματι τῆς μωρίας ἐκρύπτετο...

φωταγωγεῖ πάντων τὰς ψυχὰς
θείαις φρυκτωρίαις
τῶν καταχρέως ἐν πνεύματι
αὐτοὺς μακαριζόντων
ὡς γενναίους ὁπλίτας
καὶ τῶν ὅλων δεσπότου θεράποντας.

θεοτ. Νέον ἡμῖν
ὥσπερ παιδίον ἐκύησας
τῶν αἰώνων
f. 12 || πάντων παλαιότερον,
μόνη νεᾶνις περικλεής,
κύουσα ἀφράστως
τὸν πλαστουργὸν χρηματίσαντα,
παρθένε παναγία,
τῶν ἀγγέλων τὸ θαῦμα
καὶ ἀνθρώπων πιστῶν τὸ διάσωσμα.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Μεγαλόφρονι γνώμῃ
Ἴνδης ὁ μακάριος παραταξάμενος
πρὸς τὰς ἐξουσίας
καὶ δυνάμεις τοῦ σκότους κατέβαλε
κατὰ κράτος ταύτας
καὶ μιμητὰς αὐτοῦ τῶν τρόπων
ἐφελκύσατο πλείστους ἐν χάριτι.

---

103 φωταγωγοῖ S 106 μακαριζόντας S 108 τῶν ὅλων] τοῦ ὅλου S θεράποντες S 110 ἐκύησας] ἠγάπησας S 113 μόνη ναιάνω ποροικαλλὸς S περικλεὴς] περικαλλὴς Ce Vb Cu 114 κύουσαν S 115 χρηματίσασα Cf Cu

heirm. ε' EE 219, n. 314, Joannis 120 Ἴνδος S μακάριος] θαυμάσιος Ce 122 κατέβαλες S 123 ταύτας] πάντας Cu 124 τὸν τρόπον Cf τῷ τρόπῳ S 125 ἐφελκύσατος Cf ἐφελκύσατο Ce Vb Cu ἐφελκύσατε S

---

124 PG 116, 1053: ... διὰ τοῦτο (Ἴνδης) πολλοὺς τῷ Θεῷ προσῆγε ...

121-122 Eph. 6,12

Ἀντετάξω ἀνδρείως,
ἔνδοξε Γλυκέριε, γλυκέσι ῥήμασι
τῷ πικρῷ διώκτῃ
πειρωμένῳ λαὸν ἀριθμούμενον
πολλαῖς χιλιάσιν
εἰδωλικαῖς σπονδαῖς ὑπάξαι
καὶ μαρτύρων εὐκλείας ἐπέτυχες.

Ῥητορεύων τὰ θεῖα
ἔμπροσθεν, Γλυκέριε, τοῦ ματαιόφρονος
τῶν μαστίγων πόνους
καὶ πυρὸς τιμωρίαν ὑπήνεγκας,
προσδεθεὶς δὲ ξύλῳ
ὥσπερ κριὸς ὡλοκαυτώθης
εἰς ὀσμὴν εὐωδίας τῷ κτίσαντι.

Θεοτ. Τῆς ψυχῆς μου τὰ πάθη,
ἄχραντε, τὰ χρόνια ἴασαι, δέομαι,
τῶν πολλῶν πταισμάτων
τὸ χειρόγραφον λόγχῃ διάρρηξον
τοῦ ἐκ σοῦ τεχθέντος
f. 12v || καὶ μὴ ἐάσῃς ἀπολέσθαι
τὸν εἰς σὲ πεποιθότα, πανάμωμε.

---

126 Ὑπετάξω S 127 γλυκίοις S 129 πηρωμένω Cf πηρομένω S 131 ὑπεῖξαι Cu 132 εὐκλείαις Cf 134 ματαιόφρονος] παντοκράτορος S 135 πόνους] πήγη S 139 εὐωδίαν τοῦ κτήσαντος S 144 τεχθέντος primum scriptum, deinde cancellatum, ita ex novo scriptum in Cf 146 τῶν ... πεποιθότων Cu

---

126-131 PG 116, 1057: Ἤκουσε δὲ ταῦτα ὁ βασιλεύς, καὶ ... τοῦ ναοῦ ἔξεισιν. Ὁ μέντοι εὐσεβὴς ἐκεῖνος λαὸς τῷ μὲν Θεῷ δόξαν, Γλυκερίῳ δὲ ... ἐδίδοσαν τὰς φωνάς, Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου...

135-139 PG 116, 1057-1060: ... μηδὲν ἐρωτήσας τύπτεσθαι βουνεύροις ἐκέλευεν... μὴ ἐνεγκὼν ἐκεῖνος τὴν παῤῥησίαν λυθῆναι μὲν αὐτὸν τῶν δεσμῶν κελεύει, ἔξωδὲ τῆς πόλεως ἀπαχθέντα, τὸν διὰ πυρὸς ὑποστῆναι θάνατον... προσηλώθη τῷ ξύλῳ, ἱερὸν θῦμα κριὸς ἄμωμος τῷ δι' ἡμᾶς ξύλῳ προσηλωθέντι· καὶ τοῦ πυρὸς δὲ κάτωθεν ἀναφθέντος ὡλοκαυτώθη τῷ Ἰησοῦ θυσία εὐπρόσδεκτος...

138-139 Ex. 29,18 143 Col. 2,14

ᾠδὴ ϛ'. *Ἄβυσσος ἁμαρτιῶν*

Ὕψωσεν ὁ δυσσεβὴς
τῆς κακίας τὸν πυρσὸν καὶ παρθένων
κατεμπιπρᾷ χορείαν
τὴν παρθένον καὶ μάρτυρα
συλλαβέσθαι ἐκζητῶν,
Δόμναν τὴν ἔνδοξον κρυπτομένην,
τῷ ποιητῇ φανερουμένην δέ.

Ῥήματα τοῦ δυσμενοῦς
οἱ γενναῖοι ἐξεφαύλισαν παῖδες,
Πέτρος Δωρόθεός τε
ὁ κλεινός τε Μυγδόνιος
καὶ Μαρδόνιος ὁμοῦ
καὶ ὁ Γοργόνιος, καὶ μαστίγων
πεῖραν ὑπέμειναν στερρότατα.

Ὤφθης φίλος τοῦ Θεοῦ
σοῦ κατάλληλον τῇ κλήσει τὴν πρᾶξιν
φέρων, σοφὲ λευΐτα,
ἀθλοφόρε Θεόφιλε·

---

heirm. ϛ' EE 222, n. 318, Joannis 148 τὸν] τῶν S 149 κατεμπιπρᾷ κατενώη πυρὸς S χορείαν] χωρίον Ce Vb 154 Ῥῆμα Ce Vb 157 Μαγδόνιος S 158 Μαρδόνιος] Μαρδάριος Cu S 159 Γοργόνιος] Γλυκέριος S 162 σὺν κατάλληλον τὴν κλῦσιν S 163 φέρον S v. 164 deest in Cu

---

148-153 PG 116, 1061: ... τὴν δὲ παρθένον ἐν τοῖς ἀσκητηρίοις ἀναζητεῖσθαι ... Ταῦτα μαθοῦσα ἡ τοῦ ἀσκητηρίου προεστῶσα ... ἀνδρείᾳ καὶ κουρᾷ καὶ στολῇ κοσμήσασα ... ταύτην ἐκπέμπει λαθοῦσα.

150-151 PG 116, 1061: Ἀλλ' ὁ μιαρὸς ζητῶν οὐκ ἐπαύετο ...

155-160 PG 116, 1065-1068: Οἱ δὲ κυνὸς ὥσπερ ὑλακτοῦντος μηδὲ μετρίως ἐπιστρεφόμενοι μηδὲ μὴν ἀποκρίσεως εἶναι τὸν καιρὸν ἡγούμενοι, σιωπῶντες εἰστήκεσαν. ... ἐκέλευε Μαξιμιανὸς χεῖρας ὁμοῦ καὶ πόδας διαταθέντας βουνεύροις ὠμοῖς ἰσχυρῶς τύπτεσθαι ... Οἱ δὲ μάρτυρες ταῦτα μὲν ἔφερον γενναίως ...

---

161 Jac. ep. 2,23

τὴν γὰρ γλῶτταν ἐκτμηθείς,
λιθολευστούμενος θανατοῦσαι
καὶ ἀθλητῶν χοροῖς ἠρίθμησαι.

θεοτ. Νέκρωσόν μου τῆς σαρκὸς
τὰ θελήματα, ζωὴν ἡ τεκοῦσα,
καὶ εἰς ὁδὸν εἰρήνης
τὰς πορείας κατεύθυνον
τῆς ἀθλίας μου ψυχῆς
καθοδηγοῦσά με, θεοτόκε,
πρὸς τοῦ Θεοῦ τὸ θεῖον θέλημα.

f. 13 Κάθισμα.

Ἦχος πλ. δʹ. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

Ἐπιγνοῦσα τὸν ὄντως ὄντα Θεόν,
πανοαοίδιμε Δόμνα,
τούτῳ τὴν σὴν
καρδίαν συνέδησας
ὑπὲρ λόγον καὶ ἔννοιαν
καὶ τὸν θεῖον Ἴνδην
ἑτέρους τε πλείονας
ἐφελκύσω, μάρτυς,
πρὸς ζῆλον τὸν ἔνθεον·
ὅθεν ὁμοφρόνως
ἐναθλήσαντες πίστει
στεφάνων ἐτύχετε

165 ἐκμηθείς Ce Vb 167 ἀθλητῶν] ἀθλοφόρων S ἠρίθμησε Ce συνηρίθμησαι S 173 καθοδηγοῦσα] καὶ ὁδηγοῦσα S
heirm. καθ. MR I, 68; Κάθ. om. Cu S 4 συνέδυσας Cf 8 ἐφελκύσω sic cdd. cf. PSALTES 201

165-166 PG 116, 1076: ... εἶθ' οὕτω λίθοις αὐτὸν κελεύει καταλευσθῆναι. Καὶ ὁ μὲν οὕτω μετὰ τὴν τῆς ἱερᾶς γλώττης ἀφαίρεσιν, εἶτα καὶ τοῖς λίθοις βαλλόμενος ...

168-169 Eph. 2,3 170-171 Pr. 4,27; Luc. 1,79

καὶ χοροῖς συνευφραίνεσθε
ἀσωμάτων δυνάμεων·
πρεσβεύσατε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ τὴν μνήμην ὑμῶν.

ᾠδὴ ζʹ. *Θεοῦ συγκατάβασιν*

Ἐτμήθης τὴν κάραν σου
τῷ ξίφει χαίρων, μάρτυς Δωρόθεε,
καὶ Θεῷ θεῖον δῶρον
προσήχθης, μάκαρ, καὶ κατεφαίδρυνας
τῶν συμμαρτύρων
βοώντων τὰ πνεύματα·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Πυρὶ ζῶν ἐμβέβλησαι,
ἐν ᾧ τὸ θεῖον τέλος δεξάμενος
τοῖς χοροῖς προσετέθης
τῶν ἀθλοφόρων, μάρτυς Μαρδόνιε,
μεθ' ὧν κραυγάζεις
ἀεὶ εὐφραινόμενος·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ἁγίων λαμπρότησιν
ἐπέβης χαίρων, μάρτυς Μυγδόνιε·
ἐμβληθεὶς γὰρ ἐν βόθρῳ

13 συνευφραίνεσθαι Cf 14 post πρε(σβεύσατε) orat. detruncat Cf
heirm. ζʹ EE 219, n. 314, Joannis 175 κάραν] σάρκαν S 176 τὸ ξήφη S 179 συνμαρτύρων S 181, 189, 197, 205 post εὐλο(γητὸς) orat. varie intermittunt cdd. 185 χοροῖς] τροχοῖς S 186 Μαρδόνιε] Μαρδάριε S 187 μεθ' ἧς κραυγάζειν S 192 μάρτυς] μάκαρ S 193 εἰς βόθρον S

175-176 PG 116, 1076: ... Δωρόθεον μὲν ξίφει τὴν κεφαλὴν ἐκτμηθῆναι ...
183-186 PG 116, 1076: ... Μαρδόνιον δὲ ζῶντα καυθῆναι ...
192-193 PG 116, 1076: ... Μυγδόνιον εἰς βόθρον βληθέντα καταχωσθῆναι...

οὐ συνεχώσθης τῆς γῆς τοῖς βάθεσιν,
ἀλλὰ πρὸς ὕψος
κραυγάζων ἀνέδραμες·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἰδοὺ νῦν πεπλήρωται
ἡ προφητεία τοῦ θεοκήρυκος·
ἡ παρθένος γὰρ τίκτει
τὸν τοὺς αἰῶνας ἀπογεννήσαντα,
f. 13v ‖ ᾧ μελῳδοῦμεν
ἀπαύστως καὶ λέγομεν·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Νόμον Θεοῦ κρατύνοντες
Ἴνδης, Πέτρος, Γοργόνιος
λίθοις προσδεθέντες εἰς βυθὸν προδίδονται
ἐν τούτῳ τὸν δράκοντα
τὸν πονηρὸν συμπνίξαντες
καὶ πρὸς οὐρανοὺς ἀναδραμόντες σὺν πᾶσιν
ἁγίοις μελῳδοῦσιν·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

---

194 οὐσυνεχώσθης S βάθεσιν] πάθεσιν Cf Cu S 202 ἀπογεννήσαντα] λόγον κτισάμενον S 203 λέγωμεν Cu λέγοντες S
heirm. η' EE 219, n. 314, Joannis 207 Νόμων Ce Vb 208 Ἴνδος S Γορδόνιος Cu 209 λύθης S προσδεθὲν Cu 211 συμπνίγοντες Cu 212 οὐρανὸν Ce Vb συμπᾶσιν Cf Cu 214 post ἱερεῖς orat. varie detruncant cdd.

208-209 PG 116, 1076: ... Γοργόνιον δὲ καὶ Ἴνδην καὶ Πέτρον λίθοις μυλικοῖς τοὺς τραχήλους περιδεθέντας εἰς θάλασσαν ἐκριφῆναι.

---

200 Is. 7,14; Matth. 1,22

Ἐθελοντὶ χωρήσαντα
βασιλεὺς ὁ παράνομος
δῆμον ἱερὸν πανευκλεῆ πρὸς θάνατον
πυρὶ κατηνάλωσε·
τὸ τοῦ Θεοῦ γὰρ τέμενος
πλήθει κατιδὼν πεπυκνωμένον μαρτύρων
ὑφῆψε παραδόξως
καὶ κατέκαυσε πάντας
βοῶντας τῷ δεσπότῃ
αἶνον εἰς τοὺς αἰῶνας.

Σωματωθέντα λόγον σε
ἐπιγνόντες οἱ μάρτυρες
μέσον τοῦ πυρὸς ὥσπερ οἱ τρεῖς τὸ πρότερον
ἠγάλλοντο παῖδές σου
καὶ ὡς ἐν θείῳ ἅρματι
πάντες τῇ φλογὶ προσεποχούμενοι, σῶτερ,
πρὸς σὲ τὸν ἀθλοθέτην
μελῳδοῦντες ἀνῆλθον·
« λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

217 Ἐθέλοντη S 219 ἱερὸν πανευκλεῆ] ἱερέων εὐκλεῆ Ce Vb εὐσεβῆ πανευκλεῆ Cu ἐνκλεκτὸν ἱ. π. S πανευκλεεῖ Cf 221 τὸ] τῷ Cf 222 πλήθη Cu πλύθει S καθιδὼν Ce Vb 223 ὑψῆψε παρανόμων S 225 τὸν δεσπότην Cf Cu 226 εἰς πάντας (τοὺς αἰῶνας) Cf τὸν ὕμνον ἀσιγήτως S ἱερεῖς εὐ(λογεῖτε) Cu 227 σε] τε S 228 ἐπιγνῶντες Cf Cu S 229 μέσων Ce Vb 234-236 μελῳδοῦντες ἐβόων / οἱ παῖδες εὐλογεῖτε / ἱερεῖς ἀνυμνεῖτε / λαὸς ὑπερυψοῦτε S 235, 245 post λαὸς orat. varie detruncant cdd.

217-226 PG 116, 1069-1072: ... κηρύττειν ἐξιέναι τε πάντας καὶ προσέρχεσθαι τῷ βωμῷ θύσοντας. Εἰ δὲ καὶ ἀπειθῶς ἔχοιεν, αὐτίκα τὰς θύρας αὐτοῖς ἀσφαλῶς ἐπικλείσαντας καὶ ἀλλαχόθεν ὅθεν ἂν καὶ εἴη ἔξοδος ἐπιφραξαμένους ὑφάψαι τὸ πῦρ ... ὁμοῦ σὺν ἐκείνῳ τὴν μακαρίαν φωνήν, Χριστιανοί ἐσμεν, ἐβόων, Χριστιανοί, καὶ τοῖς θεοῖς σου, βασιλεῦ, οὐ λατρεύσομεν. Ταῦτα ἠγγέλλετο Μαξιμιανῷ· ὁ δὲ ... τὸ πῦρ ἐκέλευε κατ' αὐτῶν ἀνάψαι, καὶ σὺν τῷ ναῷ κατακαῦσαι πάντας ... τὸ πῦρ ἀνῆπτον·
229-234 PG 116, 1072: ... οἱ δὲ ἔνδον μέγα πρὸς Θεὸν ἀνέκραζον, καὶ τὴν τῶν παίδων ᾖδον φωνὴν πᾶσαν πρὸς χορείαν καλοῦντες τὴν κτίσιν· καὶ οὐ πρὶν δοξολογοῦντες ἐπαύσαντο ἢ τέλεον ὁλοκαρπωθῆναι δεκτὰ θύματα, ἱερεῖα ἁγνά, τῷ ὑπὲρ τοῦ κόσμου σφαγιασθέντι ἀμνῷ.

---

229 Dan. 3,51

θεοτ. Ὡς τοῦ Θεοῦ μητέρα σε
τοῦ τῶν ὅλων δεσπόζοντος
πᾶσαι γενεαὶ τῶν γενεῶν, πανάμωμε,
ἀεὶ μακαρίζουσι
καὶ ἱερῶς δοξάζουσι·
f. 14 πάντων γὰρ πιστῶν ‖ καταφυγὴ ἐγενήθης
τῶν πίστει μελῳδούντων·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ΄. *Ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανὸς*

Ἰδοῦσα τῶν μαρτύρων τὴν ἐν Χριστῷ,
παναοίδιμε Δόμνα, τελείωσιν
καὶ τῇ αὐτῶν
θήκῃ παραμένουσα εὐσεβῶς
τὸ διὰ ξίφους δέδεξαι
τέλος καὶ ἀνέπτης πρὸς οὐρανὸν
στεφάνοις ἀφθαρσίας
ὡραίως ἐστεμμένη
καὶ τῷ νυμφίῳ σου παρίστασαι.

Ὠράθητε ὡς θεία παρεμβολὴ
καὶ ὡς ἅγιον, μάρτυρες, στράτευμα
ὑπομονῆς
ξίφει διακόπτοντες τοὺς ἐχθροὺς
καὶ νικηταὶ γενάμενοι
καὶ τῶν ἀσωμάτων συλλειτουργοί·

---

v. 241 deest in S 243 τῶν] τὸν Vb 244 ἀνυμνεῖτε] εὐλογεῖτε Ce Vb Cu S
heirm. θ΄ EE 220, n. 314, Joannis 249 τῇ] τὴν Cu τῇ αὐτῶν] τοῦ Θεοῦ S 251 τὸ] τῷ Cf 252 οὐρανοὺς S 256 παραβολὴ Cu 259 ξίφη Cf τοὺς ἐχθροὺς] πυρασμοῦς S 260 γενόμενοι Ce δεικνύμενοι Cu S

247-252 PG 116,1080: ... ἐκείνην δὲ παραμένειν εἰποῦσα... ἀδιασπάστως εἴχετο τῶν λειψάνων ... παρ᾽ αὐτῷ δὴ τῷ τόπῳ καταλαβόντες, ξίφει τὴν κεφαλὴν ἀποτέμνουσι, καὶ τὸ σῶμα παραδιδοῦσι πυρί.

---

242 Ps. 89,1

μεθ᾽ ὧν περιπολεῖτε
τὰς ἄνω κατοικίας
δόξης ἀρρήτου ἀξιούμενοι.

Σὺν Ἴνδῃ τε καὶ Δόμνᾳ Πέτρον, πιστοί,
καὶ Δωρόθεον καὶ τὸν Μυγδόνιον,
Γορδιανόν,
Ζήνωνα, Γλυκέριον τὸν σοφὸν
καὶ σὺν αὐτοῖς Θεόφιλον
ἅμα Μαρδονίῳ τῷ εὐκλεεῖ,
Ἀγάπην, Θεοφίλαν
καὶ πλῆθος δισμυρίων
θείων μαρτύρων εὐφημήσωμεν.

f. 14ᵛ ‖ Ἡμέραν πλήρης δόξης καὶ φωτισμοῦ
τὴν σεπτὴν ὑμῶν ἄγει πανήγυριν
ἡ τοῦ Χριστοῦ
ὄντως ἐκκλησία περιχαρῶς,
τῆς εὐσεβείας μάρτυρες,
στῦλοι καὶ ἐρείσματα τῶν πιστῶν,
ἐν ᾗ παρακαλοῦμεν
ὑμῶν τῶν μεμνημένων
ἡμῶν μεμνῆσθαι πρὸς τὸν Κύριον.

θεοτ. Φιλάγαθε παρθένε, τὸν ἀγαθὸν
ἡ κυήσασα Λόγον καὶ Κύριον,
πρὸς τὰ κακὰ
νεύουσαν ἀπαύστως μου τὴν ψυχὴν
τῇ προσβολῇ τοῦ ὄφεως
σπεῦσον καὶ ἀγάθυνον, ἀγαθή,
ὡς μόνη προστασία
τῶν καταπονουμένων
καὶ σωτηρία τῶν ὑμνούντων σε.

---

265 Ἴνδην Cu Ἴνδο S Δόμναν Cu Δόμνᾳ Πέτρον] Πέτρῳ Δόμναν S 266 Μαγδόνιον S 270 Μαρδονίῳ] Μαρδαρίῳ S 271 Θεοφίλον S 272 δυσμυρίων cdd. 274 Ἡμέραν πλήρης pro Ἡ. πλήρη; cfr. τράπεζαν πλήρης infra in p. 452, v. 90, et cd. Athen. 2108, f. 92: θυσίαν πλήρης in p. 739, vv. 130-131; πλήρης ut adj. indeclinabile vide in E. SCHWYZER, *Griechische Grammatik I*, München 1968, 585 275 ἄγει] ἀεὶ S 278 μαρτύρων Ce 281 ὑμῶν] ἡμῶν Ce Vb ὑμᾶς Cu 282 ἡμῶν μεμνῆσθαι] ὑμῶν μέμνησθε Ce Vb μεμνεῖσθαι Cu 283 τῶν ἀγαθῶν S 287 τῇ] καὶ Cu ταῖς προσβολαῖς S 291 τῶν ὑμνούντων σε] τῶν ψυχῶν ὑμῶν S

IN SANCTAM BARBARAM

Synaxarium, 277-278: Ἄθλησις τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας. Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως τῶν ἀφ' ἡλίου ἀνατολῶν, θυγάτηρ Διοσκόρου τινὸς ἕλληνος, ἐν ὑψηλῷ τινι πύργῳ παρὰ τοῦ πατρὸς φυλαττομένη διὰ τὴν ἐπανθοῦσαν αὐτῇ σωματικὴν ὡραιότητα. Παρθένος δὲ οὖσα καὶ τὸν Χριστὸν σεβομένη, οὐ διέλαθε τὸν πατέρα. Γνοὺς δὲ τὰ κατ' αὐτὴν ἐξ ὧν ἐκεῖνος μὲν ἐπὶ τῷ ἀνοικοδομουμένῳ λουτρῷ παρ' αὐτοῦ δύο θυρίδας εἶπε γενέσθαι, ἡ δὲ προσέταξε τρεῖς· καὶ τὴν αἰτίαν ἐρωτηθεῖσα ἐπ' ὀνόματι εἶπε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, εὐθὺς μὲν ἠθέλησεν τῷ ἰδίῳ ξίφει αὐτὴν ἀνελεῖν. Ἐκφυγούσης δὲ αὐτῆς καὶ εἰς διαιρεθεῖσαν πέτραν ὑπεισελθούσης καὶ εἰς τὸ ὄρος διεξελθούσης, ἐπεὶ καταδιώκων ὁ πατήρ, τινῶν μηνυσάντων, εὗρεν αὐτήν, κατέστησε ταύτην τῷ τῆς χώρας ἡγεμόνι· οὗ κατενώπιον ὁμολογήσασα τὸν Χριστὸν καὶ τὰ εἴδωλα καθυβρίσασα, τύπτεται δεινῶς καὶ τὰς σάρκας ξέεται καὶ καταφλέγεται τὰς πλευρὰς καὶ σφαίραις κατὰ τῆς κεφαλῆς παίεται· εἶτα γυμνὴ τὴν πόλιν περιάγεται καὶ τύπτεται καὶ τὴν διὰ ξίφους δέχεται τελευτήν, αὐτοῦ τοῦ πατρὸς ταῖς ἰδίαις χερσὶν ἀνελόντος αὐτήν. Ὃς λέγεται μετὰ τὴν ταύτης σφαγὴν ἐκ τοῦ ὄρους κατερχόμενος κεραυνόβλητος γενέσθαι καὶ τὴν ψυχὴν ἀπορρῆξαι. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς Βασιλίσκου πλησίον τῆς ἁγίας Ζηναΐδος.

Crypt. Δ.α. XIV = Cf, ff. 18-25
Sinait. gr. 583 = Σω, ff. 14v-16v

f. 18 || Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Νέμοις νοσοῦσιν ἄκος, ἁγνὴ Βαρβάρα.

Ἦχος β'.

ᾠδὴ α'. *Ἄτριπτον ἀσυνήθη*

Νύμφης ἀγλαηφόρου
Χριστοῦ καὶ παναμώμου Βαρβάρας μνήμη

tit. Ὁ κανών, sed nomen hymnographi atque acrostichidem rubrica silet in Cf   Ἕτερος κανὼν εἰς τὴν μεγαλομάρτυρα Βαρβάραν φέρων ἀκροστιχίδα τήνδε· ποίημα Ἰωάννου· Νέμοις... Σω
heirm. α' EE 35, n. 47, Joannis   1 ἀγλαομόρφου Σω

ἡ εὐκλεὴς συνήθροισεν ἡμᾶς,
ἣν φαιδρῶς αἰνέσωμεν,
ὅτι δεδόξασται.

Ἔλαμπες, ἀθλοφόρε
Βαρβάρα, ταῖς ἀκτῖσι τοῦ σοῦ προσώπου
τῷ τῆς ψυχῆς δὲ κάλλει τὸν Χριστὸν
πολλῷ πλέον ἔτερπες,
ὅτι δεδόξασται.

Μύσασα τὰς αἰσθήσεις
τοῦ ῥέοντος, Βαρβάρα, ἠρνήσω πάντα,
παρθενομάρτυς, κόσμου τὰ τερπνὰ
καὶ Χριστὸν ἐπόθησας,
ὅτι δεδόξασται.

Ὅλην σου τὴν ἐλπίδα,
Βαρβάρα, τῷ Κυρίῳ ἀναθεμένη
γάμου περιεφρόνησας φθαρτοῦ
καὶ παρθένος ἄμεμπτος
Χριστοῦ τετήρησαι.

θεοτ. * Ὤδευσε διὰ πύλης
ἀβάτου κεκλεισμένης τῆς σῆς νηδύος

4 αἰνέσομεν Cf   6 ἔλαμψας Cf   8 δὲ om. Cf   9 πολὺ Cf   11 Μισήσασα Cf   12 πάντα] κόσμου Σω   13 κόσμου] σφόδρα Σω   14 ποθήσασα Cf   16 σου] μου Cf   18 περιφρονήσασα Cf   21-25 θεοτ., quod in PaR 108 ed. invenies, om. Σω   21 Ὤδευσας Cf

11-13 PG 116, 304: ... καὶ πρὸς αὐτὴν ἀφικόμενος, κοινολογεῖται περὶ τοῦ γάμου ... Ἡ δέ, μηδὲ ἄκροις ὠσὶ τὸ πρᾶγμα μή τί γε εἰς καρδίαν πεσεῖν βουλομένη, ἀλλ' ὥσπερ ἀπηχές τι καὶ ἄτοπον ἀποσεισαμένη, αὐτόν τε ἀπώσατο μετ' ὀργῆς τὸν πατέρα ...

14-18 (A. Mustoxidi), *Delle cose corciresi*, Corfù 1848, app. XXXI: Τοῦ δὲ καιροῦ τῆς μνηστείας λοιπὸν ἤδη φθάσαντος, καὶ πολλῶν αὐτὴν τῶν ἐν τέλει πρὸς γάμον ἐκκαλουμένων, αὕτη τὸν αὐτῇ συμβουλεύοντα, τοῦ τῷ θεῷ καθιερωθέντος σώματος, ἄνθρωπον φθαρτὸν κύριον γενέσθαι νηπιόφρονα γενέτην, οἰκοδομεῖν λουτῆρα μᾶλλον προείλετο.

17 Cfr. sup. vv. 11-13.

δικαιοσύνης ἥλιος, ἁγνή,
καὶ τῷ κόσμῳ ἔλαμψεν,
ὅτι δεδόξασται.

f. 18ᵛ ᾠδὴ γ′. *Τόξον συνετρίβη δυναστῶν τῷ κράτει σου, Χριστέ,*

Ἰσχύος ἐν πύργῳ πατρικῷ διάγουσα Χριστοῦ
καὶ χάριτος ἡ σεμνὴ
Βαρβάρα πεπλήρωται.

Συνήνθει τῷ κάλλει ἀρετῇ Βαρβάρας τῆς ἁγνῆς,
δι' ἧς πρὸς ἀθλητικοὺς
ἀγῶνας ἐχώρησεν.

Νεᾶνις ἀκήρατος αὐτῷ νυμφίῳ τῷ Χριστῷ
f. 19 πεφύλα‖κται καὶ φθορᾶς
Βαρβάρα ἀναίτιος.

θεοτ. Νύμφην ἐκλεχθεῖσαν τῷ Θεῷ ὑμνοῦμέν σε, δι' ἧς
Χριστὸς ἐν τοῖς ἐπὶ γῆς
βρέφος ἀναδέδεικται.

f. 20 ᾠδὴ δ′. *Ἀκήκοα, Κύριε,*
τὴν εὐσπλαγχνόν σου οἰκονομίαν

Οὐ φέρεις ἡ ἄμεμπτος
τὴν τοῦ πατρός σου τοῦ ἐπιγείου

---

heirm. γ′ EE 35, n. 47, Joannis; heirm. integrum praebet Cf heirm. 1 δυναστῶν] δυνατῶν EE 26 Ἰσχύωσεν Cf Χριστῷ Cf 28 πεπλήρωτο Σω 31 ἐχώρησας Cf 33 φθορᾶ Cf 34 ἀναίτιος] ἀνέπαφος Σω 35-37 θεοτ. om. Σω 37 ἀναδέδειξαι Cf

heirm. δ′ EE 35, n. 47, Joannis; heirm. integrum dat Cf heirm. 2 εὔσπλαγχνον] ἔνδοξον Σω

26-28 PG 116, 304: ... ἐν αὐτῷ (sc. τῷ πύργῳ) γὰρ ἡ τοῦ Παρακλήτου χάρις τῶν ἀφανῶν αὐτῆς ὀφθαλμῶν ἀφανῶς ἀψαμένη, φωτί τε θεογνωσίας ἐφώτισε καὶ τὸν ἀψευδῆ θεὸν γνώριμον αὐτῇ παραδόξως κατέστησεν.

38-41 (A. Mustoxidi), *op. cit.*, XXXII: ... ὁ δὲ Ζεὺς ὁ Θεός σου ὑπὸ τοῦ Κέκροπος ἐδημιουργήθη Θεός· ...Μὴ οὖν κατανάγκαζε, τοιούτους με σέβειν θεούς, ἃ κολάζουσιν οἱ νόμοι τελέσαντας.

δυσσέβειαν, ἐλέγχεις δὲ
σὺν παρρησίᾳ ταύτην, ἔνδοξε.

Σοφίᾳ συνέσεως
ἠγλαϊσμένη, μάρτυς Βαρβάρα,
τῆς Τριάδος τὸ μυστήριον
τρισὶ θυρίσιν ἐξεικόνισας.

Ὀλέθρου κατάλυσιν
τυποῖς δακτύλοις, δόξα μαρτύρων,
ἐν μαρμάροις τὴν σημείωσιν
τοῦ σταυρωθέντος καὶ νυμφίου σου.

Ὕψοῦ ἀνακείμενα
τῆς ἀσεβείας πυρπολουμένη
καταλέλυκας τὰ εἴδωλα
τῷ θείῳ ζήλῳ, μάρτυς ἔνδοξε.

f. 20ᵛ θεοτ. ‖ Νομίμων τῆς φύσεως
ἄτερ μόνη τεκοῦσα
τὸν δεσπόζοντα τῆς φύσεως,
κατηξιώθης θείας κλήσεως.

---

40 τὴν δυσσέβειαν Σω 42 Σοφίας Σω 45 θυρὶς Cf θυρῆσιν Σω 50-53 hoc trop. ut θεοτ. refert Σω 50 Ὑψοῖ Cf 51 πυρπολουμένης Cf 54-57 θεοτ. om. Σω

44-45 PG 96, 792: Ἡ δὲ τῆς Τριάδος δούλη καὶ νύμφη Βαρβάρα ... τρεῖς θυρίδας ἐφαρμόσαι τῷ οἰκοδομήματι τοὺς ἐργάτας ἠνάγκασεν. 808: Χαῖρε ἡ ... συμβολικῶς τὴν Τριάδα διὰ τῆς τῶν θυρίδων τριπλῆς φωταγωγίας ἐξεικονίσασα.

46-49 (A. Mustoxidi), *op. cit.*, XXXI: ... τοῦ δὲ σωτηρίου σταυροῦ ἐκτυπώματι, τὸ τῆς κολυμβήθρας κοσμήσασα δάπεδον, ἁγιαστικῆς ἐνεργείας πλῆρες ἐκεῖνο τὸ ἀντρῶδες ἀπέδειξεν οἰκοδόμημα. PG 116, 305: ... καὶ εἰς ἀνατολὰς βλέψασα, τοῖς ἐν αὐτῷ μαρμάροις τὸν θεῖον τοῦ σταυροῦ τύπον διεχάραξε τῷ δακτύλῳ.

50-53 PG 116, 305: ... ἡ μάρτυς ... τὸν ὀφθαλμόν τε τοῖς εἰδώλοις ἐπιβαλοῦσα, ἃ τῷ πατρὶ ταύτης ἐτιμῶντο, καὶ θεοὶ κακῶς ἐνομίζοντο, ἀηδῶς μὲν ἤνεγκε πρὸς τὴν ὄψιν, βαρὺ δὲ καὶ τῆς ἀναισθήτου καταστενάξασα τοῦ σεβομένου ταῦτα ψυχῆς, εἶτα καὶ εἰς τὰ ἐκείνων ἐμπτύει πρόσωπα, ἐπειποῦσα· Ὅμοιοι ὑμῖν γένοιντο οἱ προσκυνοῦντες ὑμᾶς, καὶ πάντες ὅσοι δὴ βοηθείας τῆς παρ' ὑμῶν δέονται.

f. 21 ᾠδὴ ε΄. *Ὁ ἄνθραξ τῷ Ἡσαΐᾳ προοφθεὶς ἥλιος*

Σκηνώσεις τὰς οὐρανίους κατὰ νοῦν φέρουσα
ἡ μακαριωτάτη Βαρβάρα ἐπείγετο
πρὸς ἐκείνας ἐξαναπτῆναι
καὶ τοῖς ἀγγέλοις εἶναι ὁμοδίαιτος.

Ἰλύος ἀπὸ πηλοῦ τῶν κοσμικῶν, ἄχραντε,
ματαιοτήτων σεαυτὴν χωρίσασα
τῆς ἀύλου πρὸς θεωρίαν
θεολογίας, μάρτυς, κατηξίωσαι.

Νομίσας ὁ ἀφιλόστοργος πατήρ, πάναγνε,
ὡς κατορθῶν σου τὸ ξίφος ὀλέσει σε·
ἀλλ' ἐσφάλη τῆς αὐθαδείας·
Χριστὸς ἡ πέτρα γάρ σε προσεδέξατο.

---

heirm. ε΄ EE 35, n. 47, Joannis heirm. 1 τῷ Ἡσαΐᾳ] ὁ Ἡσαΐας Cf 59 μακαρτάτη et supra lin. manus posterior in μακαριωτάτη corr. in Σω 60 ἀναπτῆναι Σω 63 σύαυτὴν Σω χωρήσασα cdd. 64 ἀύλῳ Cf 65 κατηξίωσαι] παρεσκεύασας Σω 66 πατήρ, πάναγνε] γονεύς, πάνσεμνε Σω 67 ὀλέσει σε] ὀλέσειεν Cf 68 αὐθαδίας Σω 69 προσεδέξατο] διεσώσατο Σω

62-63 PG 96, 792: Γελοῖον γὰρ καὶ πάσης ἀτοπίας ἀνάμεστον ἡ παρθένος ἡγήσατο, καθάπαξ ἑαυτὴν τῷ οὐρανίῳ καὶ ἀθανάτῳ νυμφίῳ ἀναθεῖσά τε καὶ συνάψασα, εἰ τοῖς σκωλήκων δίκην ἰλυώδεσι τέλμασιν ἰλυσπωμένων ἑλληνικῷ βορβόρῳ ὑπείξειεν.

64-65 PG 96,796: Βαβαὶ τῆς σεπτῆς, καὶ ἱερᾶς σου, ὦ καλλίνικε τοῦ Χριστοῦ μάρτυς Βαρβάρα, ὁμολογίας, ἣν διὰ Πνεύματος ἁγίου ἐπὶ πάντων ἀφόβως, καὶ ἀνυποστόλως ὡμολόγησας, καὶ ἐθεολόγησας εἰς ἐπήκοον ἀνθρώπων...

66-69 PG 116, 308: Καὶ ὁ πατὴρ, τοῦ εἶναι πατὴρ ἐκλαθόμενος ... αὐτοχειρίᾳ τὴν Βαρβάραν ἔσπευδεν ἀνελεῖν. Καὶ ... (ὁ Θεός) ... πέτρᾳ τῇ προστυχούσῃ διαῤῥαγῆναι, καὶ αὐτὴν ἐγκολπώσασθαι διακελευσάμενος· οὕτω καὶ τὴν ἀοίδιμον ταύτην ... τῷ θαύματι διασώζει. (A. MUSTOXIDI), *op. cit.*, XXXI: Καὶ θᾶττον φονικόν τε βλέμμα καὶ λεόντειος βρυχηθμός, ξίφος τε γυμνὸν καὶ χεὶρ ὀξεῖα πρὸς τὴν σφαγήν. καὶ ἡ παρθένος δρασμῷ τὴν σωτηρίαν πορίζεται. ἣ καὶ πέτρα παραδόξως εὐθὺς τὴν διάβασιν ...

---

69 I Cor. 10,4

θεοτ. * Τῷ βίῳ καὶ τῷ σαρκίῳ μου τὸ φῶς ἔλαμψε
καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν
ἐπ' ἐσχάτων ἐκ τῆς παρθένου
ἄνευ σπορᾶς σωματωθεὶς ὁ ὕψιστος.

f. 21v ᾠδὴ ϛ΄. *Ἦχον ῥημάτων δεήσεως*

Ἀγωνοθέτῃ τῶν ἄθλων σοι
καθεστηκότι, δέσποτα Χριστέ,
ἡ Βαρβάρα
ὡς ἀμνὰς παρείπετο
κράζουσα· « σὺ τῆς ἐμῆς
ἀρωγὸς ἀθλήσεως ».

Καταδιώκων τὴν μάρτυρα
ὁ ἀπηνὴς καὶ δόλιος πατὴρ
τοῦ ποιμένος
τοῖς δολίοις νεύμασι
δράττεται, οὐ μαλαχθεὶς
τοῖς θεσμοῖς τῆς φύσεως.

Ὅλῃ ψυχῇ σε καρδίᾳ τε
καὶ διανοίᾳ, δέσποτα Χριστέ,
ἡ Βαρβάρα
ἡ κλεινὴ ἠγάπησε
μύρου τέ σου εἰς ὀσμὴν
ἀνενδότως ἔδραμεν.

70-73 θεοτ., quod in PaR 110 invenies, om. Σω
heirm. ϛ΄ EE 35, n. 47, Joannis heirm. 1 Ἤχους Cf Σω 74 Ἀγωνοθέτης Cf σοι] σου Cf 75 καθεστηκῶσα Cf 77 παρήπτετο Cf παρείπτετο Σω 78 σοὶ Cf 81 ἀπειθὴς Cf δείλεος Σω 85 δεσμοῖς Σω 86 σε] καὶ Cf 90 μῦρον τε σοῦ Σω τε] ται Cf

---

76-77 PG 96, 808: Σὺ δέ μοι ἡ Χριστοῦ ἀμνάς, καὶ περιστερὰ καὶ νύμφη...

80-85 PG 116, 308-309: Ποιμέσι δὲ δύο περιτυχών, εἴ τι καὶ ἴσασι περὶ ταύτης ἀνεπυνθάνετο. Τούτων δὲ ἅτερος μὲν ... τὸ προδοῦναι τὴν διωκομένην οὐκ ἐπαινῶν ... τὴν ἄγνοιαν ὑπεκρίνετο ... Ὁ δὲ ἄλλος ... τὴν ὡς αὐτὴν ἀπάγουσαν ὑπεδείκνυ ... Τούτοις οὖν τοῖς ὑποδείγμασι τοῦ δολίου Διόσκορος ἀκολουθήσας ὁ παραπλήξ, καὶ τὴν ἁγίαν ἐπ' ὄρους καταλαβών, πρῶτα μὲν ... πληγαῖς κατακόπτει· ἔπειτα τῆς κόμης αὐτὴν λαβόμενος, καὶ πρὸς βίαν ἕλκων, τότε μὲν οἰκίσκῳ βραχεῖ κατακλείει ...

τοὺς ἐπιπόνους ἱδρῶτας
ἐπικροτεῖ καὶ θάρσος σοι δίδωσιν
ἐπακούει τε
μελῳδούσης σου πιστῶς·
« Θεὸς εὐλογητὸς εἶ ».

Γνησίᾳ
διαθέσει ὁρῶσα
καὶ συμπαθείᾳ λογισμῶν
Ἰουλιανή σε, Βαρβάρα,
ἐν τῷ σταδίῳ πίστει προσέδραμε
καὶ τῶν ἄθλων σου
κοινωνεῖ καὶ ἀνυμνεῖ·
« καὶ γὰρ εὐλογητὸς εἶ ».

Νέας τε
καὶ ἀνθούσας τὰς ὄψεις
ὡραϊσμῷ πανευκλεεῖ

---

110 ἐπικρατεῖ Cf 111 τε add. Σω 112 σου πιστῶς] ὁ Θεὸς Cf 113 Θεὸς] καὶ γὰρ Σω 116 λογισμὸν Cf σὲ] σοὶ Cf 118 πίστει] πόθῳ Σω 119 σοι Σω 120 κοινωνὴ Σω ἀνυμνεῖ] σὺν ὑμνεῖ Σω 121 Χριστὸν εἰς τοὺς αἰῶνας Σω 124 πανευκλεῆ Cf

---

114-119 PG 116, 312: . . . (τὰς βασάνους) ἡ θεοσεβὴς Ἰουλιανὴ καθορῶσα, καὶ τὴν ψυχὴν ἰσχυρῶς ἀλγοῦσα. . . τὸ φίλτρον ὡς εἶχεν ἐδείκνυ, μηδὲν τῶν παρόντων καὶ τοῦ ἄρχοντος ἐπιστρεφομένη, ἀλλ' ἀστακτὶ τὸ δάκρυον τῶν ὀμμάτων προϊεμένη. Ὁ Μαρκιανὸς οὖν. . . ἐπεὶ καὶ αὐτὴν εἶναι Χριστιανὴν ἤκουε. . . συλληφθῆναι καὶ ταύτην κελεύει, καὶ τῷ ξύλῳ προσαναρτᾶσθαι, καὶ τῇ μάρτυρι παραπλησίως σιδηροῖς ξυστῆρσι τὰς πλευρὰς ἀποξέεσθαι. (A. Mustoxidi), *op. cit.*, XXXIII: Τοῦτο καί τις ἰδοῦσα γυνὴ τὸ παράδοξον τῆς ἰάσεως θαῦμα, Ἰουλιανὴ δὲ ὄνομα τῇδε ἦν, θεοσεβὴς καὶ φοβουμένη τὸν Κύριον, περιπαθὲς δι' αὐτὴν ἠφίει φωνάς. καὶ ἐκπληττομένη ἐθαύμαζε καθ' ἑαυτήν, πῶς ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, φόβου, καὶ πατρικῆς θεραπείας προτιμότερον ἐποιεῖτο, τὸ διὰ βασάνων οἰκειωθῆναι θεῷ. καὶ ἐκ τούτου κἀκείνη πρὸς τὸν ὅμοιον ἀγῶνα μετὰ πολλῆς τῆς προθυμίας ἑαυτὴν ἐπιδίδωσι·

122-128 PG 116, 313: . . . ὁ ἡγεμὼν. . . διίστησιν αὐτὰς ἀπ' ἀλλήλων· καὶ Ἰουλιανὴν μὲν τῇ εἱρκτῇ παραδοθῆναι, Βαρβάραν δὲ γυμνωθεῖσαν κελεύει διὰ πάσης θριαμβευθῆναι τῆς χώρας. . . Ἡ μάρτυς οὖν, τῇ ἀσχήμονι ταύτῃ περιαγωγῇ θεατριζομένη, τὰ συνήθη πάλιν ἐποίει, καὶ πρὸς οὐρανὸν ἀτενίσασα, Ὁ τὸν οὐρανόν, εἶπε, περιβάλλων τοῖς νέφεσι, καὶ τὴν γῆν σπαργανῶν ὁμίχλῃ αὐτὸς καὶ τὴν ἐμὴν γύμνωσιν σκέπασον, βασιλεῦ, καὶ τὰ ἐμὰ μέλη, ἀθέατα γενέσθαι ὀφθαλμῶν ἀσεβῶν παρασκεύασον. . . Ἤκουσεν. . . ὁ ταχὺς Θεὸς εἰς ἀντίληψιν, καὶ παραυτίκα ἐπιφανείς. . . ἀόρατον. . . στολὴν αὐτῇ περιτίθησι·

οὐκ αἰδεσθεὶς ὁ ἀλάστωρ
τὰς ἀθλοφόρους πάμπαν ἐγύμνωσε·
σὺ δέ, ὕψιστε,
συνεκάλυψας αὐτάς·
καὶ γὰρ εὐλογητὸς εἶ.

f. 23v θεοτ. * || Βέβηλος
ὁ μὴ ἕνα κηρύττων
τὸν τῆς παρθένου σε υἱόν
τῆς πανυμνήτου Τριάδος
καὶ ἀδιστάκτῳ γνώμῃ καὶ γλώσσῃ βοῶν·
« ὁ ὑπέρθεος
τῶν πατέρων καὶ ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

f. 24 ᾠδὴ η'. *Ἰνδάλματος χρυσοῦ*

« Ἡ σὰρξ μὲν ἀσθενής,
ἀλλὰ πρόθυμον τὸ πνεῦμα », Κύριος ἔφη,
μαστοκοπούμεναι
ἀλλήλας ἐν τῷ σταδίῳ αἱ ἀθλοφόροι
ταύτῃ τῇ φωνῇ προτρέπονται·
« μὴ οὖν δειλιῶμεν·
ἐγγὺς γὰρ τὸ τέλος καὶ ὁ νυμφίος,

---

126 σύμπανεγύμνωσε Σω 130-137 θεοτ. PaR 112, om. Σω 136 post πατέρων orat. detruncatur καὶ ἡμῶν] Θεὸς PaR 137 καὶ ὑπερένδοξος PaR heirm. η' EE 35, n. 47, Joannis 140 μασθοκοπούμεναι Σω 141 ἀλλήλαις Cf 142 προτρέποντο Σω 143 δειλιοῦμεν Cf δεδειῶμεν Σω

---

140 (A. Mustoxidi), *op. cit.*, XXXIII: καὶ τοὺς μασθοὺς ἀμφοτέρων ἀποτεμών, ὡς ὑβριστὰς τοῦ γένους ἀχίτωνας ταύτας δημευθῆναι, πᾶσαν τὴν χώραν ἐκέλευσε . . . PG 116, 312: Ὁ τύραννος. . . σμίλῃ τοὺς μασθοὺς αὐτῶν ἐκκοπῆναι κελεύει.

138-139 Marc. 14,38

θεοτ. * Ἐπιβοώμεθα πάντες σε
f. 22 τὴν ἀληθῆ μητέρα τοῦ || Θεοῦ
παροργίσαντας
οἰκέτας ῥύσασθαι·
μόνη γὰρ πρὸς τὸν Θεὸν
παρρησίαν κέκτησαι.

Κοντάκιον.
Ἦχος β'. Πρὸς τό· *Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες*

Τὴν χάριν τῶν θαυμάτων κομισαμένη
....

Ἄλλο.
Ἦχος β'. Πρός· *Τὴν ἐν πρεσβείαις*

Ἡ ἐν βασάνοις
....

Ὁ οἶκος.
Πρός· *Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,*

Τίνας ἢ ποίους ὕμνους σοι πλέξω
....

Ἕτερον.
Ἦχος γ'. Πρός· *Ἡ παρθένος σήμερον*

Παρθενίας κάλλεσι
....

92-97 θεοτ., PaR 111, om. Σω 95 ῥύσασθαι] λύτρωσαι PaR 96 Θεὸν] Υἱὸν PaR

Κοντ. TRM II, η' Ἄλλο κοντ. et οἶκ. PAS I, 667 Ἕτερον in TRM III, σχη'

⟨Ὁ οἶκος⟩.
⟨Πρός·⟩ *Τὴν Ἐδὲμ Βηθλεὲμ*

Τὸν νυμφίον Χριστὸν
....

Ἄλλο.
Ἦχος δ'. Πρός· *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Τῷ ἐν Τριάδι εὐσεβῶς
....

⟨Ὁ οἶκος⟩.
Πρός· *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Τὴν νυμφευθεῖσαν τῷ Χριστῷ
....

f. 23 ᾠδὴ ζ'. *Ῥήτορες*
ἀνεδείχθησαν παῖδες

Σιδήρου
στερροτέρα τῇ γνώμῃ
εἰς τὴν ἀγάπησιν Χριστοῦ
καθεστηκυῖα βασάνων
ἡ ἀθλοφόρος ὅλως οὐκ ᾔσθετο,
ἀλλ' ἀνέμελπε·
« τῶν πατέρων καὶ ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Ἀγώνων
ὁ σωτὴρ οὐρανόθεν
τῶν σῶν θεώμενος, σεμνή,

οἶκ. MR V, 26. Ἄλλο κοντ. et οἶκ. MR II, 367; omnia κοντ. et οἶκ. om. Σω heirm. ζ' EE 35, n. 47, Joannis heirm. 2 ἀνεδέχθη Σω 99 τὴν γνώμην Σω 100 εἰς] πρὸς Σω 101 βασάνοις Cf 104 post πατέρων orat. detruncatur

---

106-110 PG 116, 309: Ἤδη δὲ μεσούσης νυκτός ... Χριστὸς ἐπιφαίνεται, θάρσος τε αὐτῇ ἐντιθεὶς ...

ὃν ὑπερυψοῦμεν
⟨Χριστὸν εἰς τοὺς αἰῶνας⟩ ».

Βαρβάρας ὁ ἀγὼν
καταπλήττει μὲν δυνάμεις τὰς οὐρανίους,
πρὸς γυμνασίαν δὲ
ἀνδρείας τὴν γυναικείαν διανιστᾷ
οὐσίαν καὶ Χριστῷ παρέπεσθαι
πείθει καὶ διδάσκει
μισεῖν τε τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ
αἰνεῖν τε ἀπαύστως
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀρώματα ποτὲ
ἐν τῷ μνήματι προσφέρουσαι μυροφόροι
κατηξιώθησαν
ἰδέσθαι ἐξαναστάντα Χριστὸν ἐκ τάφου,
νῦν δὲ ἑαυτὴν ἡ ἔντιμος
f. 24v μάρ||τυς ἀντὶ μύρου
Βαρβάρα προσάγουσα τῷ δεσπότῃ
χαίρει ἀνυμνοῦσα
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥευστὸν μέν, ἀδελφοί,
καὶ ἐπίκηρον τὸ σῶμα ταῖς ἀσθενείαις·
μὴ οὖν τρυφῶμεν
ἀπαιδεύτως καὶ θάλπειν τοῦτο πρὸς ἡδονὰς
σπουδάζωμεν κακῶς οἱ δείλαιοι,
ἄθλους τοὺς ἐνθέους
Βαρβάρας τῆς μάρτυρος ἐννοοῦντες,
μεθ' ἧς ἀνυμνοῦμεν
Χριστὸν εἰς τοὺς αἰῶνας.

---

145 post ὑπερυψοῦμεν orat. interrumpitur v. 146 supplevi secundum extremos vv. reliquorum tropariorum eiusdem odes 160 ἑαυτὴν] αὐτὴν Cf 161 μύρον Σω 163 χαίρει] χάριν Cf 166 τῆς ἀσθενείας Σω 168 τοῦτον Cf ἡδονὰς] ἡ. τε Cf 169 σπουδάσωμεν Cf

---

147-151 (A. Mustoxidi), *op. cit.*, XXXI: ... οὐδὲ τὸ τῆς ψυχῆς ἀνδρικὸν τῆς γυναικείας φύσεως ἐνεπόδισεν ἡ ἀσθένεια. PG 96, 808: Χαῖρε ἡ ... τὸ τοῦ θήλεος ἀσθενὲς γεννικῶς καὶ ἀνδρικῶς στερεώσασα συντόνῳ φρονήματι.

θεοτ. Λιμένα σε, ἁγνὴ
θεομῆτορ, ἐπιστάμεθα σωτηρίας·
τὸν σὺν Πατρὶ γὰρ
καὶ τῷ Πνεύματι ἀχωρίστως δεδοξασμένον
Λόγον ὑπὲρ λόγον τέτοκας·
ὃν ἀκαταπαύστως
ὑμνείτω δοξάζουσα πᾶσα κτίσις
καὶ ὑπερυψούτω
⟨Χριστὸν εἰς τοὺς αἰῶνας⟩.

f. 25 ᾠδὴ θ'. *Ὅλος ὑπάρχεις ἔφεσις*

Βρότειον γένος σέσωκε
τόκος ὁ σεπτὸς
σοῦ τῆς ἁγνῆς Θεοῦ τε μητρός,
ἀνδρείας ἐνέπλησε
νεάνιδας θεόφρονας,
αἷς συναρίθμιος
οὖσα Βαρβάρα μεγαλύνει σε.

⟨Ἄ⟩λις, Βαρβάρα ἔντιμε,
πόνους γλυκεροὺς
διὰ Χριστὸν ὑπέμεινας, ἁγνή,
Σω, f. 16 τέλος δὲ καὶ ξίφει σου
τὴν κάραν ἀποτέτμησαι·
διό σε ἅπαντες
ὡς νικηφόρον μακαρίζομεν.

Ῥύσιον πᾶσι πέφηνε
νόσου λοιμικῆς,

174-182 θεοτ. om. Σω 176 σὺν] σὸν Cf 181 ὑπερυψοῦτο Cf post hunc v. orat. interrumpitur v. 182 supplevi secundum extremos vv. tropariorum anteriorum

heirm. θ' EE 35, n. 47, Joannis; heirm. integrum, sed in nonnullis verbis discrepantem ab EE, profert Cf 187 νεανίδας Cf 188 ἐναρίθμιος Σω 190 Ἄλις] Ἄδεις Σω 191 πόνους] λόγους Σω 192 ὑπὲρ Χριστοῦ ὑπέμεινας στερρῶς (στερρῶς in marg. scriptum est) Σω 193 post τέλος δὲ orat. abrumpitur in Cf; quamobrem textum reliquum traditione cd. Σω supplevi

f. 16v μάρτυς Χριστοῦ, || ἡ μνήμη σου πιστοῖς·
τοῦτο γὰρ ἐξῄτησας
προσευχομένη, ἔνδοξε·
διό σε ᾄσμασιν
ἀθλοπρεπέσι μεγαλύνομεν.

Ἄνωθεν ῥεύσας ἐκπέπτωκα,
λώβῃ δὲ φθορᾶς
διατμηθεὶς ὁ τάλας μου τὸν νοῦν
δυσώδης κατάκειμαι·
ἀλλά μοι βοηθήματα
πόροις αἰνοῦντί σε,
μάρτυς Βαρβάρα, ἀκεσώδυνα.

(θεοτ.) <—́ — — —́ — —́ — — —
—́ — — — —́
— — — —́ — —́ — — — —́
— —́ — — —́ — —
— —́ — — — —́ — —
— —́ — —́ — —
— — — —́ — — — —́ — —>

---

199 πιστοῖς in marg. manus posterior scripsit 204-210 trop. unus Σω profert manu posteriore scriptum 204 πέπτωκα et sup. lin. manus posterior corr. ἐκπέπτωκα 206 μου sup. lin. manus altera scripsit 207 δυσώδεις κατάκειμε cd. 208 ἀλλ' ἅμοι cd. 211-217 θεοτ. desideratur in cd.

5 DEC. *CANON* IV

IN SANCTUM SABAM MONACHUM IN PALAESTINA

Synaxarium, 281-282: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σάβα. Οὗτος ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ χώρας τῶν Καππαδοκῶν, κώμης λεγομένης Μουταλάσκης, γονέων Ἰωάννου καὶ Σοφίας. Εὐθὺς οὖν ἐν ἀρχῇ τοῦ βίου πρὸς τὴν τοῦ μονήρους βίου κατάστασιν προσδραμών, ἐν μοναστηρίῳ Φλαβιαναῖς προσαγορευομένῳ τοσοῦτον γέγονεν ἐκ πρώτης ἡλικίας ἐγκρατής, ὡς ἐν τῷ κήπῳ ποτὲ ἰδὼν μῆλον καὶ εἰς ἐπιθυμίαν αὐτοῦ ἐλθὼν ἐπειπεῖν· « Ὡραῖος ἦν εἰς ὅρασιν καὶ καλὸς εἰς βρῶσιν ὁ ἐμὲ θανατώσας καρπός » καὶ τοῦτο λαβεῖν μὲν ταῖς χερσὶ μὴ φαγεῖν δέ, ἀλλὰ τοῖς ποσὶ συμπατῆσαι καὶ ὅρον ἑαυτῷ θέσθαι μὴ φαγεῖν ποτε μῆλον. Ἀλλὰ καὶ εἰς κλίβανον πυρὸς εἰσελθὼν ἐξῆλθεν ἀβλαβὴς μηδὲ τῶν ἱματίων αὐτοῦ τοῦ πυρὸς ἁψαμένου. Ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας ἐμφανὴς καθίσταται τῷ μεγάλῳ Εὐθυμίῳ· καὶ παρ' αὐτοῦ πρὸς τὸν ὅσιον Θεόκτιστον ἐν τῷ κοινοβίῳ πέμπεται, τούτων ἁπάντων οἷς ἐτύγχανε τοὺς τρόπους καὶ τὴν ἀρετὴν ἐκλαμβανόμενος καὶ ἀναμανθάνων· ὃν ὁ μέγας Εὐθύμιος διὰ τὴν ὑπερβάλλουσαν πνευματικὴν κατάστασιν παιδαριογέροντα ἐκάλει. Συμπροϊούσης δὲ αὐτῷ κατὰ τὴν ἡλικίαν τῆς ἀρετῆς, πολλὰ θαύματα κατειργάσατο καὶ ἐν ἀνύδροις τόποις διὰ προσευχῆς ὕδωρ ἐξήγαγε. Γέγονε δὲ πολλῶν μοναχῶν καθηγητὴς καὶ διεπρεσβεύσατο δὶς ἐπὶ τὴν Κωνσταντινούπολιν ἀνελθών, παρακληθεὶς ὑπὸ τῶν κατὰ καιροὺς πατριαρχούντων Ἱεροσολύμων, πρός τε τὸν βασιλέα Ἀναστάσιον καὶ Ἰουστινιανόν. Φθάσας δὲ εἰς τὸ ἄκρον τῆς κατὰ Χριστὸν ἡλικίας, ὡς ἐτῶν γενέσθαι τεσσάρων καὶ ἐνενήκοντα, πρὸς Κύριον ἐξεδήμησεν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἔνδον τοῦ ἁγίου Φιλήμονος, ἐν τῷ Στρατηγίῳ.

Crypt. Δ.α. XIV = Cf, ff. 28v-33v
Patm. 905 A = Πp, ff. 73v-75

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τῷ θεοφόρῳ Σάβᾳ Γρηγορίου ὕμνος.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. Πρός· *Σταυρὸν χαράξας Μωσῆς*
Τὸ πέλαγος Ἐρυθρᾶς

Ὡς ἐκ Θεοῦ ὁρισθεὶς
τῆς ἐρήμου, Σάβα,
καθηγητὴς σοφίας τε
βρέφος σεμνὸν ἐξήνθησας,
ἁγνείας δὲ ἐραστὴς
ἐξ ἀγκάλων γέγονας,
ἅπαν τῷ πνεύματι
σαφῶς καθυποτάξας
τὸ γεῶδες σαρκίον·
διὸ Χριστοῦ
γέγονας οἰκητήριον καὶ σκεῦος ἅγιον.

---

tit. Ἕτερος κανὼν τοῦ ὁσίου Σάβα φέρων ... Cf Ὁ κανὼν φέρων ... τήνδε ... Πρ
heirm. α' EE 224, n. 322, Cosmae; heirm. *Τὸ πέλαγος Ἐρυθρᾶς* nonnullis variis lectionibus integrum tradunt cdd. 3 τε] δὲ Πρ 5 δὲ] γὰρ Πρ 6 ἀγκάλων pro ἀγκαλῶν metri causa 8 καθυπόταξας Πρ 9 τῷ ... σαρκίῳ Cf σαρκίων Πρ 11 ἀσκητήριον Cf

---

1 Ed. Schwartz, *Kyrillos von Skythopolis*, Texte und Untersuchungen zur Geschichte der altchristlichen Literatur ... 49,2, Leipzig 1939, 87: ... ὁ Σάβας προωρισμένος ὢν ὑπὸ τοῦ θεοῦ ἐκ μήτρας καὶ προεγνωσμένος πρὸ διαπλάσεως κατὰ τὸν μέγαν προφήτην Ἱερεμίαν ...

4 Schwartz, *op. cit.*, 166: Ἦν δὲ ὁ πατὴρ ἡμῶν Σάβας μέτριος μὲν τῷ φρονήματι, πραῢς δὲ τοῖς τρόποις καὶ ἁπλούστατος τῷ ἤθει καὶ πλήρης πάσης πνευματικῆς φρονήσεώς τε καὶ διακρίσεως·

8-9 Schwartz, *op. cit.*, 165-166: ... οὗτος δὲ ὁ τοῦ θεοῦ ἄνθρωπος τοῦ ἀποστολικοῦ μετασχὼν χαρίσματος οἶδεν καὶ ταπεινοῦσθαι, οἶδεν καὶ περισσεύειν, ἐν παντὶ καὶ ἐν πᾶσιν μεμύηται καὶ χορτάζεσθαι καὶ πεινᾶν καὶ περισσεύειν καὶ ὑστερεῖσθαι καὶ πάντα ἰσχύειν ἐν τῷ ἐνδυναμοῦντι αὐτὸν Χριστῷ.

Θορύβους τῶν γεηρῶν
εὐσεβείας πόθῳ
καὶ τῆς πατρίδος, ὅσιε,
ὄλβον λιπών, ἐμάκρυνας
καὶ πόλιν καταλαβὼν
τὴν ἁγίαν ᾤκησας,
ἐνδιαιτώμενος
σπηλαίοις ἐγκρατείᾳ,
ἀγρυπνίᾳ καὶ πόνοις,
ἀναβοῶν·
« ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται ».

Ἐν ἀρεταῖς συναυξῶν
καὶ μειῶν τὰ πάθη
δυνάμει θείου πνεύματος
ἐπόλισας τὴν ἔρημον
καὶ καρποφόρον αὐτὴν
ἐπαρδῶν τοῖς δάκρυσι
Θεῷ παρέστησας,
τῆς χάριτος πληθύνας

---

17 οἴκησας Πρ 23 συναυξῶν in lexicis deest 28 ἐπαρδῶν in lexicis non invenitur; pro ἐπαρδεύων fort. metri causa 29 Θεῷ] Θ. γὰρ Πρ

15-20 Schwartz, *op. cit.*, 90: ... ἐπιθυμίαν θεάρεστον εἰσδέχεται τὸ τὴν ἁγίαν πόλιν καταλαβεῖν καὶ ἡσυχάσαι ἐν τῇ περὶ αὐτὴν ἐρήμῳ.

18-19 Schwartz, *op. cit.*, 98: ... Σάβας τὸ εἰρημένον οἰκήσας σπήλαιον ... 92: ... ἄυπνος δὲ ἐν ταῖς τοῦ θεοῦ δοξολογίαις διανυκτερεύων, τὴν ταπεινοφροσύνην καὶ τὴν ὑπακοὴν ῥίζαν καὶ θεμέλιον τῆς ἑαυτοῦ πολιτείας ποιούμενος...

19-20 Schwartz, *op. cit.*, 89: ... ὡς τοὺς πονηροὺς ἀναστελλούσῃ λογισμοὺς καὶ τὴν τοῦ ὕπνου ἀνακοπτούσῃ βαρύτητα, πρὸς δὲ τῇ ἐγκρατείᾳ καὶ σωματικῶς ἐκοπία ...

25-27 Schwartz, *op. cit.*, 126: ... τῇ συνεργείᾳ τοῦ ἐν αὐτῷ ἁγίου πνεύματος ἀναδείκνυσιν πολίσαι τὴν ἔρημον ἐπειγόμενος.

26 Schwartz, *op. cit.*, 90: Ἔδει γὰρ δι' αὐτοῦ ταύτην (τὴν ἔρημον) πολισθῆναι καὶ τὰς ἐπ' αὐτῇ τοῦ μεγαλοφώνου Ἠσαΐου πληρωθῆναι προφητείας.

παραθήκην ἐμφρόνως·
διὸ Χριστὸν
αἴτησαι, παμμακάριστε, κινδύνων σῶσαι ἡμᾶς.

Ὡς πάλαι τὸν Ἀμαλὴκ
ἐν ἐρήμῳ, σῶτερ,
τῷ Μωυσεῖ ὑπέταξας
ταῖς τῶν χειρῶν ἐκτάσεσιν,
f. 29 ὡσαύ||τως τῷ βασιλεῖ
καὶ τὰ νῦν δεόμεθα
σταυροῦ τῷ ὅπλῳ σου
τὰ φῦλα ὑποτάξαι
τὰ ἀλλόφυλα πάντα·
τῷ γὰρ σταυρῷ
ἐγκαυχᾶταί σου ὁ Θεὸς ἡμῶν, δι' οὗ καὶ σώζεται.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Ὅπλον ἀπροσμάχητον
τὸ τοῦ σταυροῦ λαβὼν τρόπαιον
ἀναβοᾷς
τῷ Χριστῷ ἐν πίστει·
« σύ μου εἶ τὸ στερέωμα ».

Φρόνημα ὑπέταξας
γεῶδες ἐγκρατῶς πνεύματι,
Σάβα σεμνέ,
καὶ σὺν ἀσωμάτοις
νῦν χορεύεις, μακάριε.

---

32 Χριστῷ Cf 34-44 trop., quod ut θεοτ. refertur in Cf, om. Πρ 37 ἐκστάσεσιν cd. 41 ὑποτάξας cd.
heirm. γ' EE 224, n. 321, Joannis

50-51 Schwartz, *op. cit.*, 89: Δι' ὃ πάσῃ σπουδῇ καὶ προθυμίᾳ τὴν μὲν ψυχὴν ἐταπείνου τῇ ἀσιτίᾳ, τὸ δὲ σῶμα κόπῳ καὶ μόχθῳ ἐδάμαζεν.

34-37 Ex. 17,8-14 49 Col. 2,5

Ὅροις περικείμενος
τοῖς τῆς ῥευστῆς σαρκὸς ὅμως δὲ
ἐπαγρυπνῶν,
θείαις θεωρίαις
κατηυγάσθης, μακάριε.

θεοτ. * Σὲ πάντες κεκτήμεθα
καταφυγὴν καὶ τεῖχος ἡμῶν
χριστιανοί,
σὲ δοξολογοῦμεν
ἀσιγήτως, ἀνύμφευτε.

f. 29v Καθίσματα.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

(α') Τὸν σταυρὸν τοῦ Κυρίου ἄρας, σοφέ,
....

⟨Ἄλλο ὅμοιον⟩

(β') Τὸν καρπὸν τῆς κακίας μεμισηκὼς
καὶ τὸν τῆς ἐγκρατείας ἠγαπηκώς,
ξύλον ἀείζωον
τοῦ πνεύματος γέγονας
καρποφορῶν πλουσίως
τὰ θεῖα ἐντάλματα
καὶ διατρέφων νόας
τροφὴν ἀβροδίαιτον·

55-59 trop. om. Πρ 56 τῆς τοῖς ῥευστοῖς cd. 60-64 θεοτ., quod in MR I, 182 atque AHG I, 65 ed. invenies, om. Πρ 61 τεῖχος] σκέπην MR 64 ἀνύμφευτε] θεόνυμφε MR AHG
heirm. καθ. MR II, 19 Κάθ., quod om. Πρ, ed. in MR II, 377 atque III, 269, sed in S. Antonium dicatum Ἄλλο ὅμοιον (β') om. Πρ

57-59 Schwartz, *op. cit.*, 97: ... διανυκτερεύοντι ἐπιφαίνεται μορφή τις ἀγγελικὴ ἐν ἐσθῆτι ἀστραπτούσῃ δεικνύουσα αὐτῷ κατὰ νότον...

ὅθεν καὶ σκιάζεις
ἐκ φλογὸς ἁμαρτίας
τοὺς πίστει προστρέχοντας
ἐν τῷ θείῳ τεμένει σου,
Σάβα μακάριε·
πρέσβευε ⟨Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

⟨Ἄλλο ὅμοιον⟩

(γ') * Τὰ ἐπίγεια πάντα καταλιπὼν
....

f. 30 ᾠδὴ δ'. *Εἰσακήκοα, Κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ῥωμαλέῳ φρονήματι
τὸ τῶν ὀλεθρίων θράσος κατέαξας·
ἐκσοβήσας δὲ τὰ πνεύματα
καὶ δομήσας οἶκον
Θεῷ ἡγίασας.

Ὡς δεξάμενος ἄνωθεν,
Σάβα θεοφόρε, θεῖα χαρίσματα
ῥύσιν αἵματος πηγάζουσαν
ἐπαφῇ χειρός σου
ἐθεράπευσας.

vv. 14-17 supplevi auctoritate similium καθ. Ἄλλο ὅμοιον (γ') ed. in MR II, 378 atque V, 110, sed in S. Theodorum dicatum heirm. δ' EE 225, n. 322, Cosmae 66 τὸ] τὸν Πρ κατέραξας Πρ 73 ἐναφῇ Πρ

73-74 SCHWARTZ, *op. cit.*, 163-164: . . . γυνή τις αἱμορροοῦσα . . . καὶ ἀκούσασα περὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σάβα . . . ἔκραξεν λέγουσα· . . . ἡ δὲ τῆς τοῦ ἁγίου χειρὸς ἐπιλαβομένη ἐπέθηκεν αὐτὴν τῷ κεκρυμμένῳ τόπῳ καὶ εὐθέως ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς . . .

Σοβαρῶς ἐπαιρόμενος
κατὰ τοῦ Χριστοῦ, Σάβα παμμακάριστε,
ὡς Δαθὰν ὁ ἰταμώτατος,
κατεπόθη Ἄραψ
αὐχησάμενος.

Ἀπορήσαντες πώματος
ἐν καιρῷ αὐχμῶνος, πάτερ, οἱ σοφοὶ φοιτηταί,
μεσιτείᾳ σου δεξάμενοι
οὐρανόθεν ὄμβρον,
Θεὸν ᾔνεσαν.

θεοτ. * Τὸν Θεὸν ὃν ἐκύησας,
ἄχραντε Μαρία, τοῦτον δυσώπησον
καταπέμψαι τοῖς οἰκέταις σου
τῶν πλημμελημάτων
τὴν συγχώρησιν.

75 Σοβαρὸς Cf Σώμαβάρος Πρ 76 κατὰ σοῦ θεράπων μακάριε Πρ 77 ὁ om. Πρ 81 σοφοιτηταὶ Πρ 85-89 θεοτ. PaR 627, om. Πρ 87 τοῖς ἱκέταις σου δωρήσασθαι PaR

78-79 SCHWARTZ, *op. cit.*, 97: Καὶ παραχρῆμα ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν τὸν πειράζειν αὐτοὺς θέλοντα βάρβαρον·

80-84 SCHWARTZ, *op. cit.*, 101: Αὐτῶν δὲ στενουμένων διὰ τὴν τοῦ ὕδατος χρείαν ηὔχετο ἐν μιᾷ νυκτὶ λέγων· κύριε ὁ θεὸς τῶν δυνάμεων . . . καταξίωσον προνοήσασθαι ἡμῖν ὀλίγην τινὰ ὕδατος παραμυθίαν . . . καὶ τὸν τόπον ὀρύξας εὗρεν ὕδωρ ζῶν . . . 167: . . . ἤδη δὲ τοῦ τετάρτου χρόνου τῆς ἀβροχίας πληρουμένου οἱ ἐν τῷ Σπηλαίῳ μαθηταὶ τοῦ ἡγιασμένου πατρὸς ἔρχονται εἰς τὴν Μεγίστην λαύραν πρὸς αὐτὸν λέγοντες· ἀπόλυσον ἡμᾶς, πάτερ· μεῖναι γὰρ ἐν τῷ σῷ μοναστηρίῳ οὐ δυνάμεθα ὕδωρ τὸ σύνολον μὴ ἔχοντες, καὶ τοῦ Μαΐου μηνὸς πληρωθέντος ἀποκέκλεισται ὁ τοῦ ὄμβρου καιρός. ὁ δὲ ἅγιος τὰ μὲν ἐπιπλήξας, τὰ δὲ νουθετήσας μετ' εὐχαριστίας ὑπομένειν τὰ ἐπερχόμενα εἶπεν· πιστεύω τῷ θεῷ ὅτι μετὰ τρεῖς ἡμέρας γομοῦνται πάντα τὰ δοχεῖα ὑμῶν· . . . καὶ τῇ τρίτῃ ἡμέρᾳ ὤφθη νέφος ἐπάνω τοῦ αὐτοῦ κοινοβίου μόνου καὶ ἐγένετο ὄμβρος πολὺς καὶ ἐπληρώθη πάντα αὐτοῦ τὰ δοχεῖα κατὰ τὴν προφητείαν τοῦ ἁγίου·

77 Deut. 11,6

f. 30v

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Βαρυτάτου αὐχμῶνος
ἀπειλῆς ἐκ θείας τε Σιὼν ἐν ὄρει ῥοπῆς
ἐπελθούσης πάλαι
καὶ βροτῶν ὀλλυμένων τῇ μάστιγι
ἐνεργείᾳ, πάτερ, τῆς προσευχῆς ὄμβρος πηγάσας
καρποφόρως τὴν λοίμην ἀνέστειλεν.

Ἀκατάληκτον δρόμον
σὺ τῶν ἀρετῶν διοδεύσας τὸ στάδιον,
Δανιὴλ τὸν μέγαν
κατελήψω καὶ τούτου τοὺς πόνους, σοφέ,
ἐμιμήσω, Σάβα, καὶ τῶν θηρῶν χάσμα διῆλθες
ἀπημάντως τῷ ὅπλῳ τῆς πίστεως.

---

heirm. ε' EE 219, n. 314, Joannis   91 τε om. Πρ   93 ὀλομένων Πρ   94 ὄμβρους Cf   95 -φόρος Πρ   λήμην Πρ   97 σὺ] τὴν Πρ   τὸ στάδιον] ἄμειλαν Πρ   98 μέγα Cf   99 καὶ ἐπεθυμιῶν των τοῦ πνεύματος Πρ   100 Σάβα] σῶμα Πρ   θυρῶν Πρ   ante χάσμα perperam θηρῶν θεορίαις γνώσηται τῇ θεία add. Πρ; cfr. infra vv. 102-103

90-95 SCHWARTZ, *op. cit.*, 167-169: Τῷ πέμπτῳ ἔτει τῆς λιμοῦ ἀρχομένῳ τοσαύτη ἦν στένωσις ὑδάτων, ὥστε τοὺς πτωχοὺς τῆς ἁγίας πόλεως ὕδωρ ἐπαιτεῖν καὶ τῇ δίψει διαφθείρεσθαι... ὁ ἀρχιεπίσκοπος μεταστέλλεται ὡς ἐπ' ἄλλῳ τινὶ τὸν μακάριον Σάβαν ἐν τῷ ἐπισκοπείῳ καὶ λαβὼν αὐτὸν κατ' ἰδίαν παρεκάλει δεηθῆναι τοῦ θεοῦ πρὸς τὸ διαλλαγῆναι τῷ λαῷ αὐτοῦ καὶ ἐλεῆσαι διαφθειρομένην τὴν ἀνθρωπότητα τῇ τε λιμῷ καὶ τῇ δίψει... ὁ θεοφόρος Σάβας εἶπεν... ἐὰν αἱ τρεῖς ἡμέραι παρέλθωσιν καὶ μὴ βρέξῃ, γίνωσκε ὅτι οὐκ ἐπακήκοέν μου ὁ θεός... καὶ περὶ ὥραν πρώτην τῆς νυκτὸς ἄνεμος νότος ἔπνευσεν καὶ ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ καὶ βροχὴ κατηνέχθη ῥαγδαία, ὥστε πρὸ τοῦ διαφαύματος γομωθῆναι τοὺς ἀγωγοὺς καὶ τοὺς χειμάρρους πάντοθεν φέρεσθαι.

100-101 SCHWARTZ, *op. cit.*, 107: ... ὁ δὲ λέων ὑπὸ τῆς εὐχῆς τοῦ γέροντος ὡς ὑπὸ μάστιγος διωκόμενος τῇ οὐρᾷ τὴν ὄψιν τοῦ Ἀγαπητοῦ ἠρέμα πλήξας καὶ διυπνίσας ᾤχετο.

98-101 Dan. 6,18-20

Γρηγορῶν θεωρίαις
γνώσει τε τῇ θείᾳ ῥωννύμενος, ὅσιε,
σὺν τρισὶ τοῖς πρώην
τὸ τετράριθμον ἅγιον στάδιον
τῶν πατέρων, Σάβα, οἷα ποιμὴν ἐπισφραγίσας,
φοιτηταῖς σου παρέχειν ἐδίδαξας.

θεοτ. * Μητρικὴν παρρησίαν
τὴν πρὸς τὸν υἱόν σου κεκτημένη, πάναγνε,
συγγενοῦς προνοίας
f. 31 τῆς ἡμῶν μὴ παρίδῃς || δεόμεθα,
ὅτι σὲ καὶ μόνην χριστιανοὶ πρὸς τὸν δεσπότην
ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

ᾠδὴ ϛ'. *Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

Ῥυθμίσας θεοπρεπῶς, μακάριε,
λογισμῷ τὰ τῶν αἰσθήσεων μέλη
περιοχὴν
προσοχῆς ἐποιήσω
τὴν τοῦ ἁγίου κυβέρνησιν πνεύματος,
ἐφώτισας δὲ διδαχαῖς
φοιτητῶν σου τὸ σύστημα, ὅσιε.

Ἡ ἔρημος ἡ τὸ πρὶν οὐ τίκτουσα,
ἀγεώργητός τε οὖσα καὶ χέρσος,
διὰ τῶν σῶν
ἀρδευθεῖσα δακρύων
τεκνογονίαν ἡ στεῖρα ἐδέξατο

---

104 τοῖς πρώην] τοῖς προσώποισυν Πρ   105 στάδιον] ἄθρισμα Πρ   106 οἷα ποιμὴν] σὺ ἀκλινῶς Πρ   107 φοιτητάσου κατέχυν ἐ. Πρ   φοιτηταί σου Cf   108-113 θεοτ., quod ed. in MR III, 283, AHG III, 79 invenies, om. Πρ   110 προνοία cd.

heirm. ϛ' EE 219, n. 314, Joannis   117 ἐποιήσω] ἐπεστήσω Πρ   119 δὲ om. Πρ   120 τὰ συστήματα Πρ   121 οὐ] ἡ Πρ   122 τε] δὲ Πρ

καὶ γέγονε τῶν λογικῶν
ἱερῶν σου θρεμμάτων παράδεισος.

Γεώδους καὶ ἐμπαθοῦς νεκρώσεως
τὰς αἰσθήσεις διιστῶν καὶ καθαίρων
τὸν λογισμὸν
ἡγεμόνα προστάξας,
πῦρ ἀπαστράπτοντα στῦλον ἑώρακας,
ἐν ᾧ τὸ ἄντρον εὑρηκὼς
ἱερὸν ἱλαστήριον ἵδρυσας.

θεοτ. * Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι
καὶ φρουρὰν ἀσφαλεστάτην, παρθένε,
καὶ πειρασμῶν
διαλύουσαν ὄχλον
καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν
f. 31v || καὶ δέομαι διὰ παντὸς
τῶν παθῶν μου ῥυσθῆναι, πανάχραντε.

Κοντάκιον.

Ἦχος α'. *Πρός· Χορὸς ἀγγελικὸς*

Τὸν βίον εὐσεβῶς
....

126 τῶν] τὸ Πρ 129 διεστῶν Πρ 130 τῶν λογισμῶν Πρ 132 στῦλον] κύκλον Πρ 135-141 θεοτ., quod ed. in MR II, 147, AHG III, 440 invenies, om. Πρ 140 διὰ παντὸς] τῆς ἀγαθῆς AHG

Κοντ., quod ut κάθ. refertur in MR II, 357, alium heirm. *Τὸν τάφον σου, σωτήρ*, habet MR

126-127 Schwartz, *op. cit.*, 102: Αὐτοὶ δὲ ἑκουσίως ὑπ' αὐτοῦ ποιμαινόμενοι καὶ ὁδηγούμενοι ἐκαρποφόρουν ἀξίως τῆς κλήσεως ...

132-134 Schwartz, *op. cit.*, 101-102: ... καὶ ὁρᾷ... στῦλον πυρὸς ἐπεστηριγμένον ἐν τῇ γῇ, οὗ ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν... καὶ διακαρτερήσας τῇ προσευχῇ ἐν τῷ τόπῳ ἕως τοῦ διαφαύματος ἀνέβη μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἰδεῖν τὸν τόπον ἔνθα ὁ στῦλος τοῦ πυρὸς ἐδείχθη, καὶ εὗρεν σπήλαιον μέγα τε καὶ θαυμαστὸν ἐκκλησίας θεοῦ ἐκτύπωμα ἔχον ... τοῦτο τὸ ἄντρον θείᾳ συνεργείᾳ κοσμήσας ἐκεῖσε τὸν κανόνα ἐπέτρεψεν γίνεσθαι κατὰ σάββατον καὶ κυριακήν.

(Ὁ οἶκος).

Πρός· *Τὸ φοβερόν σου κριτήριον*

Σοφίας ὑπάρχων βλάστημα
....

Ἕτερον κοντάκιον.

Ἦχος β'. Πρός· *Ἡλιοῦ ἐμιμήσω*

Ἐραστὴς παιδιόθεν τῆς εὐσεβείας
....

(Ὁ οἶκος).

Πρός· *Τῷ θείῳ μύρῳ χρισθέντα*

Ἆσμα φῶμεν καταχρέως
....

f. 32 ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ὁ τὴν δρόσον πηγάσας
τοῦ ἐλέους σου, Λόγε,
ἐν τῇ καμίνῳ παισί,
πυρὸς τοῦ αἰωνίου

οἶκ. ed. in MR II, 382, sed aliud κοντ. habet « Ὡς ἀπὸ βρέφους τῷ Θεῷ », quod atque Πρ praebet; Πρ tamen οἶκ. praebet « Ὦ πατέρων ἀκρότης », Anth I, τζ'

Ἕτερον κοντ. et οἶκ. ed. in PAS I, 576-577 invenies

Ἕτερον κοντ. 1 Ἐρασθεὶς ἐκ παιδόθεν τ. εὐ. PAS

heirm. ζ' EE 224, n. 321, Joannis 143 ἐλέου σου Πρ 144 τῇ om. Πρ παισὶ] πασὶν Cf

142-144 Dan. 3,49-50

ἐξάρπασον, οἰκτίρμον,
τοὺς ἐν πίστει κραυγάζοντας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Ῥοιζουμένων πνευμάτων
ἀπημάντως διέπλεις
βίου τὴν θάλασσαν
καὶ ὅρμῳ οὐρανίῳ
ηὐλίσθης, θεοφόρε,
παρρησίᾳ κραυγάζων Χριστῷ·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Ἰσοδίαιτος, πάτερ,
τῶν ἀΰλων ἐφάνης,
ἐν τῇ γεώδει σαρκὶ
καθάρας ἐγκρατείᾳ
ὕλην τῶν παθημάτων,
καὶ βοᾷς ἀγαλλόμενος·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Ὁ χορὸς τῶν ἀγγέλων,
μεταστάντος σου, πάτερ,
ψυχὴν ἐδέξατο
καὶ τάγματα ἁγίων
σὺν σοὶ εὐφραινομένων
ἀνεβόων πρὸς Κύριον·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

---

148 post πατέρων orat. abrumpunt cdd. 151 ἀπειμάντων Πρ 156 post πατέρων orat. abrumpunt cdd. 159 ἐμφάνης Πρ 161 καθαρὰς Πρ 164 post πατέρων orat. abrumpunt cdd. 170 συνευφραινομένων Πρ 171 ἀνεβόουν Πρ 172 post τῶν orat. varie detruncant cdd.

158-159 SCHWARTZ, *op. cit.*, 158: ... ἐπίγειος ἄγγελος καὶ οὐράνιος ἄνθρωπος Σάβας ὁ σοφός...

θεοτ. Εὐλογοῦμεν, παρθένε,
τὸν ἐκ σοῦ προελθόντα
σεσαρκωμένον Θεὸν
καὶ τοῦτον προσκυνοῦντες
ὡς ἕνα τῆς Τριάδος
ἀναμέλπομεν λέγοντες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

f. 32v ᾠδὴ η'. *Εὐλογεῖτε, παῖδες*
τῆς Τριάδος ἰσάριθμοι,

Ὑμνολόγους παῖδας
ἐμιμήσω, μακάριε,
σὺ τῶν παθῶν κατασβέσας φλόγα δυνάμει
θείᾳ καὶ ὑπερκοσμίᾳ,
καί, δαιμόνων θραύσας τὰ μηχανήματα,
νῦν σὺν ἀσωμάτοις ἀπαύστως Θεῷ προσάγεις
ὕμνον τρισάγιον εἰς τοὺς αἰῶνας.

Ὑπὸ τῆς πτωχείας
τῆς πλουσίας, μακάριε,
ἐκπιεσθεὶς τῆς ἐρήμου, φωστὴρ καὶ σκεῦος
ἅγιον καὶ θεοδόχον
ἀνεφάνης, Σάβα, καὶ πρὸς τὴν ἄληκτον
ἔλλαμψιν μετέστης καὶ ᾄδεις σὺν τοῖς ἀΰλοις
ὕμνον τρισάγιον εἰς τοὺς αἰῶνας.

(τριαδ.) Μεμνημένος, πάτερ,
ἧς τοῖς πόνοις συνήθροισας

174-181 θεοτ. om. Πρ 180 post πατέρων orat. intermittit cd. heirm. η' EE 225, n. 322, Cosmae 185 ὑπερκοσμίου Πρ 188 post τοὺς orat. detruncat Πρ 189 Ὑπὸ] Απο Πρ 194 ἀΰλοις] ἀγγέλοις Πρ

---

186 SCHWARTZ, *op. cit.*, 99: ...ἡττηθέντων ἤδη τῶν πονηρῶν πνευμάτων ταῖς τε ἀπαύστοις προσευχαῖς καὶ τῇ πρὸς θεὸν ἐγγύτητι.

πνευματικῶς ὠδινήσας ποίμνης, ἀρρήτῳ
νῦν καὶ ἀπροσίτῳ αἴγλῃ
ἐφορῶν τῇ θείᾳ καὶ ἀγαλλόμενος
f. 33 πρέσ||βευε ἀπαύστως σωθῆναι ἡμᾶς ὑμνοῦντας
φῶς τρισυπόστατον εἰς τοὺς αἰῶνας.

θεοτ. Θεοτόκε ἁγνή,
ἡ κυρίως χωρήσασα
σεσαρκωμένον Λόγον Θεοῦ καὶ τοῦτον
τέξασα ἀρρήτῳ λόγῳ,
ἐκτενῶς δυσώπει καὶ καθικέτευε,
[ἵνα λυτρωθῇ σου ἡ πόλις αὕτη ἐκ πολεμίων
καὶ πάσης ἄλλης ἀλγηδόνος ⟨– —⟩].

ᾠδὴ θʹ. Πρός· *Σὲ τὴν ἀπειρόγαμον*

f. 33ᵛ || *Νύμφη ἀπειρόγαμε,*
ἁγνὴ καὶ ἄχραντε Μαρία,
σέ, ὡς ἀληθῆ καὶ ἄμωμον
καὶ τοῦ Λόγου νεφέλην φωτός,
τὴν δεξαμένην τὸν οὐράνιον ὄμβρον ἐν τῇ γαστρί σου,
παρθενομῆτορ, μεγαλύνομεν.

Ὄντως τὰ οὐράνια
σὺν ἀσωμάτοις ἐποπτεύεις
καὶ ἐν χώρᾳ ζώντων, ὅσιε,
ἀπαστράπτεις ἀρρήτῳ φωτί·

---

198 ὠδίνησας cdd. 200 ἐφορῶν] αφω tantum legitur in Πρ 203-209 θεοτ. om. Πρ 208-209 metrus horum vv. aegre heirm. aptatur; versus fortasse interpolati

heirm. θʹ EE 220, n. 315, Joannis; textus tamen, qui inc. Νύμφη ἀπειρόγαμε..., θεοτ. est in MR I, 185; cfr. etiam AHG I, 293 2 τὸ σκεῦος τὸ τῆς εὐωδίας MR ἁγνὴ] σεμνὴ AHG 4 τοῦ Λόγου] ἀΰλου MR τοῦ θείου AHG 5 τὴν εἰσδεξαμένην MR τὸν] τὴν Cf γαστρί σου] νηδύι MR Πρ; post hoc θεοτ., quod ut h·irm. cdd. proferunt, troparia odes θʹ desunt in Πρ, spatio vacuo a scrib a relicto 211 ἐποπτεύοις

τῶν τὴν ἐτήσιόν σου μνήμην, μακάριε, ἐκτελούντων
ταῖς σαῖς πρεσβείαις ἡμῶν μέμνησο.

Σύμμορφος γενόμενος
εἰκόνος, πάτερ, σὺ τῆς θείας,
καὶ τῆς ἀφθαρσίας εἴληφας
ὑπὲρ λόγον τὰ γέρα ζωῆς
καὶ ἐν θεοπτίᾳ παριστάμενος χαίρων σὺν ἀσωμάτοις·
ὅθεν σε πάντες μεγαλύνομεν.

θεοτ. * Ἄχραντε πανάμωμε,
τὸ σκεῦος ⟨τὸ⟩ τῆς εὐωδίας,
αἴτησαι Χριστόν, ὃν ἔτεκες,
αἰχμαλώτοις μὲν λύτρωσιν
καὶ τοῦ τῆς δουλείας δὲ ζυγοῦ δοῦναι τὴν ἄνεσιν τῷ λαῷ σου·
σὲ γὰρ ἀπαύστως μεγαλύνομεν.

222-227 θεοτ. MR I, 313 223 τό, quod om. cd., addidi metri causa 225 Βασιλεῖ μὲν τὰ τρόπαια MR 226 δοῦν

216-217 Rom. 8,29

IN SANCTUM NICOLAUM

Synaxarium, 281-284: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας. Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων, πρότερον τῇ μοναδικῇ πολιτείᾳ διαπρέψας καὶ δι' ὑπερβάλλουσαν ἀρετὴν τὴν ἀρχιερωσύνην δεξάμενος. Καὶ ἐπεὶ τὰ χριστιανῶν ἦν πρεσβεύων καὶ τὴν εὐσέβειαν κηρύττων, ἐλευθέρᾳ φωνῇ, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων τῆς πόλεως καὶ πληγαῖς καὶ στρεβλώσεσι παρ' αὐτῶν ὑποβληθεὶς τῇ εἱρκτῇ ἐναπορρίπτεται μετὰ τῶν ἄλλων χριστιανῶν. Μετὰ δὲ τοῦτο τοῦ μεγάλου Κωνσταντίνου τὴν βασιλείαν τῶν Ῥωμαίων ψήφῳ Θεοῦ ὑποζωσαμένου, ἀφίενται οἱ κατάκλειστοι τῶν δεσμῶν. Μεθ' ὧν καὶ ὁ μέγας Νικόλαος ἀφεθεὶς τὰ Μύρα κατέλαβεν. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος συναθροίζεται ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου, ἧς μέρος καὶ ὁ θαυμάσιος Νικόλαος γίνεται. Οὗτος πολλὰ ἐποίησε θαύματα ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Εἰς βαθὺ δὲ γῆρας ἐληλακὼς πρὸς Κύριον ἐξεδήμησε, τὸ σῶμα αὐτοῦ τοῖς πιστοῖς καταλιπών, μῦρα βλύζων μετὰ τῶν ἰαμάτων, ζῶν τε καὶ μετὰ θάνατον χάριν λαβὼν θαυματουργιῶν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Crypt. Δ.α. XIV	= Cf,	ff. 39^{v}-47^{v}
Crypt. Β.β. IV	= Cw,	ff. 12^{v}-26
Crypt. Δ.α. IV	= Ce,	ff. 40-47^{v}
Crypt. Δ.α. XIX	= Cu,	ff. (101^{v})-(103^{v})
Mess. gr. 138	= Mb,	ff. 117^{v}-120
Paris. gr. 13	= Q,	ff. 157^{v}-159
Paris. Suppl. gr. 32	= Sa,	ff. 106^{v}-107

Ὁ κανὼν ἔχων ἐν τοῖς θεοτοκίοις· Βασιλείου.

Ἦχος α'.

ᾠδὴ α'. *Διὰ στύλου πυρὸς καὶ νεφέλης*

Τὸν ποιμένα Χριστοῦ τῶν θρεμμάτων
καὶ ὁδηγὸν καὶ σωτῆρα τῶν πιστῶν,
τὸν δόγμασι καὶ θαύμασι
διαλάμψαντα ἡμῖν τὸ φῶς τῆς χάριτος,
τὸν θεῖον ἱεράρχην Νικόλαον
ἐπαξίως τιμήσωμεν.

Ὥσπερ φοῖνιξ ἐν οἴκῳ Κυρίου
δαβιτικῶς ἐξανθήσας ἀρεταῖς
καὶ σώματι καὶ πνεύματι
ὅλος ὤφθης γλυκασμὸς τῇ θείᾳ χάριτι
τροφὴν ἀθανασίας, Νικόλαε,
διανέμων τῇ ποίμνῃ σου.

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Νικολάου ἔχων ... Cf Ὁ κανὼν ... ἔχων ... Cw Τοῦ αὐτοῦ ἕτερος κανὼν εἰς τὸν ὄρθρον· ποίημα Βασιλείου μοναχοῦ Ce Ὁ κανὼν et in marg. Βασιλ(είου) Cu Ἕτερος κανὼν εἰς τὸν ὅσιον πατέρα ἡμῶν Νικόλαον Mb Εἶτα ὁ Ν' καὶ καν(όνα) τῆς ὀκτωήχου καὶ τοῦ ἁγίου τὸν παρόντα ἐν ᾧ ἱστῶμεν στιχ. ϛ' οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς θεοτοκίοις Βασιλείου Q Ἕτερος κανὼν Sa

heirm. α' EE 12, n. 16, Andreae; Εἱρμός: Βασιλ(είου) Παγουριώτ(ου) Q; heirm. integrum praebent Ce Cu Q Sa 1 Χριστοῦ τῶν] τῶν θείων Cu 2 ὁδηγῶν Cu καὶ σωτῆρα] σωτηρίας Cu Mb Q Sa 9 πνεύμασιν Ce 10 ὅλως Cw Cu Mb 11 τρυφὴν Sa

---

1 ANRICH, *Hagios Nikolaos*, 125: ... καὶ γίνεται ποιμὴν ἄριστος τῶν τοῦ Χριστοῦ λογικῶν θρεμμάτων...

7-8 ANRICH, *Hagios Nikolaos*, 143: ... ἵν' ᾖ ἀληθῶς τὸ Δαυιτικὸν ἐπ' αὐτῷ πληρούμενον λόγιον· « δίκαιος ὡς φοῖνιξ ἀνθήσει ».

11-12 ANRICH, *Hagios Nikolaos*, 224: οὕτως τῷ ζῶντι λόγῳ τῆς ὑγιοῦς πίστεως ἐκτρέφων τὸ ποίμνιον καὶ τροφὴν αὐτῷ χορηγῶν τὴν οὐράνιον...

7-8 Ps. 91,13-14

Διαβὰς τῆς σαρκὸς τὴν νεφέλην
καὶ ἀρετῶν ἐπὶ ὄρους ἀνελθών,
αὐτόπτης θείας γνώσεως
γέγονας, ὥσπερ Μωσῆς, πλαξὶ καρδίας σου
δεξάμενος τὸν νόμον τῆς χάριτος,
ἱεράρχα Νικόλαε.

Ἀπαστράπτεις τοῖς δόγμασι, πάτερ,
ὡς δᾳδουχεῖς καὶ τοῖς θαύμασιν ἡμῖν,
φερώνυμε Νικόλαε·
νῖκος γάρ σε τῶν πιστῶν Χριστὸς ἀνέδειξε,
δαιμόνων ὀλετῆρα, ἀνθρώπων δὲ
θλιβομένων ὑπέρμαχον.

Ὀπτανόμενος σὺ ἐν ὀνείροις
ἐκ πειρασμῶν καὶ κινδύνων καὶ δεσμῶν
λυτροῦσαι ταῖς πρεσβείαις σου
f. 40 ὥσπερ ζῶν θαυματουργῶν καὶ μετὰ θά||νατον·
διό σε βοηθὸν ἐν ταῖς θλίψεσιν,
ἱεράρχα, κεκτήμεθα.

13-18 trop. om. Mb 14 ἐπ' ὄρους Cf Cw ἐπ' ὄρος Ce ἐπὶ ὄρος Cu Q 15 ἀπτόπτης Cw 17 τὸν νόμον] τ. ν. τὸν Cu 19-24 trop. om. Cu Sa 19-24, 25-30 trop. praepostero ordine profert Mb 20 ἡμᾶς Q 21 φερωνύμως Q 22 νίκην Q 24 ὑπέρμαχε Mb 25-30 trop. deest in Cu

---

21-23 Anrich, *Hagios Nikolaos*, 138: ... ἡ φερώνυμος νίκη τοῦ ἐκλεκτοῦ λαοῦ σου, ὁ τῶν εἰδώλων ἀλκιμώτατος καθαιρέτης, ὁ τῶν δαιμόνων δραστικώτατος φυγαδευτὴς ...

25-27 Anrich, *Hagios Nikolaos*, 129: ... ἀλλὰ καὶ τοὺς ἄπωθεν αὐτοῦ καὶ μακρὰν τυγχάνοντας ἀδίκως εὐθυνομένους καὶ θανάτῳ παραδίδοσθαι μέλλοντας, δι' ὀνείρων τοῖς κριταῖς ἐφιστάμενος καὶ τὰ ἀνήκεστα τούτοις ἐπαπειλούμενος, τῶν ἐν χερσὶ συμφορῶν ἠλευθέρου.

28 Anrich, *Hagios Nikolaos*, 270: Ἔστιν ἃ καὶ μετὰ ταφὴν τεθαυματουργηκέναι πιστεύεται ...

15-17 Ex. 24,15-18; 31,18

Τὴν ἁγίαν σου μνήμην, τρισμάκαρ,
μελῳδικῶς ἐν ᾠδαῖς πνευματικαῖς
γεραίροντες δοξάζομεν·
ἄναρχον καὶ συμφυῆ καὶ ἀδιαίρετον
Τριάδα παναγίαν, Νικόλαε,
ὡς τρανῶς ἐδογμάτισας.

τριαδ. Τρισαγία μονὰς ὁ Θεός μου,
Πάτερ, Υἱὲ καὶ τὸ Πνεῦμα τὸ εὐθές,
ἐλέησον τὸν κόσμον σου
καὶ οἰκτείρησον ἡμᾶς εἰς σὲ πιστεύοντας·
ἐκτός σου γὰρ Θεὸν οὐ γινώσκομεν
τοῦ κρατοῦντος τὰ σύμπαντα.

θεοτ. * Βρεφουργεῖται Θεὸς ἐκ παρθένου
καὶ νεουργεῖ τοὺς φθαρέντας ἐξ Ἀδὰμ
καὶ λύει τὸ μεσότοιχον
καὶ τῆς ἔχθρας τὸν φραγμὸν ἐν τῇ σαρκὶ αὐτοῦ,
κατάραν εὐλογεῖ τῆς προμήτορος
ἐξ ἀχράντου μητρὸς προελθών.

f. 40v ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι Θεὸς ἐγώ εἰμι

Σύνθρονος γέγονας
τῶν ἀποστόλων, ὅσιε,
καὶ τῶν ἁγίων κοινωνὸς

31-36 trop deest in Cu Mb Sa 35 παναγία Cw 37-42 τριαδ. om. Mb 37 Τρισαγία] Τριὰς ἁγία Q 38 καὶ τὸ πνεῦμα: τὸ om. Ce 41 γινώσκω Sa 43-48 θεοτ. MR II, 330 43 Βρεφουργεῖτε Cf Cw 45 μεσότυχον Cu μεσότειχον Q 46 αἴχθρας Cw

heirm. β' EE 13, n. 17, Andreae; heirm. integrum obfert Cw heirm. 2 Θεὸς Cw: αὐτὸς EE, om. Cf 49-90 oden β' om. Ce Cu Mb Q Sa Post oden α' « deest ᾠδὴ β' ... » in marg. cd. Ce scriptum est

---

32 Eph. 5,19; Col. 3,16 45-46 Eph. 2,14-15

καὶ μιμητὴς τῶν παθημάτων τοῦ Χριστοῦ
καὶ συμμέτοχος πάντων
θεοφόρων ἀσκητῶν
ταῖς ἀρεταῖς νοητῶς.

Ὅλην τὴν κλίμακα
τῶν ἀρετῶν διέδραμες
καὶ εἰς τὰ ὕψη ἀνελθὼν
τῇ θεωρίᾳ ἐν σαρκὶ πρὸς οὐρανοὺς
ὡς ἀσώματος, πάτερ,
ἐλειτούργεις τῷ Θεῷ
ὑπὲρ τῆς ποίμνης σου.

Μύρον θεόπνευστον
τῇ ἐκκλησίᾳ γέγονας
καὶ ἐν τοῖς Μύροις παροικήσας
πανταχοῦ ἐπιδημῶν θαυματουργεῖς
καὶ λυτροῦσαι κινδύνων
τοὺς προστρέχοντας εἰς σέ,
πάτερ Νικόλαε.

Πάτερ Νικόλαε,
ταῖς σαῖς πρεσβείαις λύτρωσαι
ἐκ πειρασμῶν καὶ περιστάσεων
καὶ πάσης ἐπηρείας τοῦ ἐχθροῦ
τοὺς προστρέχοντας πίστει
καὶ τιμῶντας εὐσεβῶς
τὴν θείαν μνήμην σου.

τριαδ. **Φῶς** ὁ Πατήρ ἐστι,
φῶς ὁ Υἱὸς δοξάζεται,
φῶς καὶ τὸ Πνεῦμα τὸ πανάγιον
ὑμνεῖται ὡς ἡλίου ἐξ ἑνός·

---

52 ANRICH, *Hagios Nikolaos*, 301: ... τὸν τοῦ Χριστοῦ μιμητὴν...
56-59 ANRICH, *Hagios Nikolaos*, 421: ... καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενος καὶ οἷον ἐκ βαθμῶν εἰς βαθμοὺς καὶ ἀπὸ δόξης εἰς δόξαν μεταμορφούμενος καὶ ἀπὸ γῆς εἰ οὐρανοὺς θεωρητικῶς ἀναγόμενος.

ἡ Τριὰς γὰρ ἐκλάμπει
ἀστραπῇ θεολαμπεῖ
κόσμον φωτίζουσα.

θεοτ. Ἄσπορον σύλληψιν
καὶ ἀφθορίας γέννησιν
τίς ἑρμηνεύσει γηγενῶν,
θεοκυῆτορ; ὑπὲρ φύσιν γὰρ ἐκ σοῦ
ὁ Θεός μου προῆλθε,
προσλαβόμενος σαρκὶ
τὸν πεπτωκότα Ἀδάμ.

f. 41 ᾠδὴ γʹ. *Στερεωθήτω ἡ καρδία μου*

Τῶν ἀρετῶν δοχεῖον γέγονας
καὶ τῆς ἐκκλησίας κειμήλιον
ἡγιασμένον τῷ Θεῷ,
ἱεράρχα Νικόλαε,
καὶ ἐν σοὶ ἐπανεπαύσατο τὸ πνεῦμα τὸ ἅγιον.

Ποιμαντικαῖς σου, πάτερ ὅσιε,
διδαχαῖς ἐκτρέφων τὸ ποίμνιον
ὡς ἐπὶ πόαν μυστικὴν
τῶν δογμάτων τῆς πίστεως
προσενήνοχας Κυρίῳ τὰς ψυχὰς ὥσπερ θύματα.

---

82 θεολαμπῆ Cf Cw
heirm. γʹ EE 12, n. 16, Andreae; heirm. integrum tradunt Ce Cu 91 ἀρετῶν] διδαχῶν Cf (et in marg. ἐστὶν ἀρετῶν manu posteriore scriptum est) Cw Ce 95 ἐπαναπέπαυται Q 96-100 trop. om. Mb 97 ἐκθρέψας Q 100 ψυχὰς] εὐχὰς Cu

---

92 ANRICH, *Hagios Nikolaos*, 431: ... χαίροις Νικόλαε, τὸ πολύτιμον τῆς Μυρέων ὑπάρχων κειμήλιον...

Ὡς ἐν ὀνείροις ὀπτανόμενος
βασιλεῖ παρέστης τῷ πνεύματι
καὶ ἐλυτρώσω τῶν δεσμῶν
τοῦ θανάτου, Νικόλαε,
τοὺς ἀδίκως κρατηθέντας ὡς ποιμὴν συμπαθέστατος.

Ὑπερασπίζεις, συμπαθέστατε,
καὶ συμπάσχεις, πάτερ Νικόλαε,
τοῖς ἐν ἀνάγκαις καὶ φρουραῖς
καὶ κινδύνοις καὶ θλίψεσιν
ἱκετεύων ἐκτενῶς ὑπὲρ αὐτῶν τὸν Θεὸν ἡμῶν.

Ἀπὸ πασῶν ἡμᾶς διάσωσον,
ἱεράρχα, τῶν περιστάσεων,
ὡς παρρησίαν πρὸς Θεὸν
κεκτημένος, Νικόλαε,
τοὺς ἐν πίστει τὴν σεβάσμιόν σου μνήμην γεραίροντας.

f. 41v τριαδ. || Φῶς ὁ Πατήρ, φῶς ὁ Υἱὸς αὐτοῦ
καὶ τὸ Πνεῦμα φῶς, τὸ συνὸν τῷ Πατρὶ
καὶ διαμένον ἐν Υἱῷ,
βασιλεῦον τῆς κτίσεως·
μοναρχεῖ γὰρ ἡ Τριὰς καὶ τριλαμπεῖ τῇ θεότητι.

---

101 Ὡς] Σὺ Sa   ὀπτανόμενος] ἐπιστάμενος Mb   ἐφιστάμενος Q   103 τῶν] τὸν Cw   104 τοῦ] καὶ Q   105 κρατουμένους Q   106-110 trop. deest in Cu Sa   106 συμπαθέστατα Q   108 ἀνάγκαις] κινδύνοις Mb   109 κινδύνοις] ἀνάγκαις Mb   110 τῷ Θεῷ Cf Cw   111-115 trop. om. Cu   111 πασῶν] παθῶν Mb   115 τοὺς] τοῖς Mb   γεραίροντας] -ουσιν Mb   σεβάσμιόν σου: σου om. Sa   σου] σοῦ Q   116-120 τριαδ. om. Mb   117 σὺν ὢν Cf Cw   συνῶν Cu Sa   118 διαμένων Cf Cw Ce Cu   119 βασιλεύων Cf Cw Cu Sa   120 μοναρχῇ Cf Cw Cu   τριλαμπῇ Cf Cw Cu

---

101-105 ANRICH, *Hagios Nikolaos*, 82: « Εἴπατέ μοι, τίς ἐστιν οὗτος ὁ Νικόλαος, καὶ πῶς διέσωσεν τοὺς ἀδίκως μέλλοντας ἀποθνήσκειν; » Νεπωτιανὸς δὲ ἀποκριθεὶς διηγήσατο τῷ βασιλεῖ περὶ τοῦ ἁγίου καὶ περὶ τῶν τριῶν ἀνδρῶν, οὓς ἐρρύσατο ὁ ἅγιος ἐκ θανάτου, καὶ ὅτι, ἐν τῷ δεσμωτηρίῳ ὄντες, ἐπεκαλεσάμεθα αὐτόν. Ὁ δὲ βασιλεὺς εἶπεν αὐτοῖς· « Οὐκ ἐγὼ χαρίζομαι ὑμῖν τὸ ζῆν, ἀλλ' ὁ θεὸς καὶ ὃν ἐπεκαλέσασθε τὸν ἅγιον Νικόλαον... »

θεοτ. Σὺν τῷ ἀγγέλῳ ἐκβοήσωμεν
τῇ πανσέμνῳ ὕμνον ἐπάξιον·
« χαῖρε, ἡ μήτηρ τοῦ Θεοῦ,
ἡ τὸ φῶς ἀνατείλασα
τοῖς ἐν σκότει καθημένοις καὶ σκιᾷ τὸ ἀνέσπερον ».

Καθίσματα.

Ἦχος γ'. Πρός· *Θείας πίστεως ὁμολογία*

Πύργος ἄσειστος καὶ θεῖον τεῖχος
....

Ἄλλο.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Τοῖς λόγοις ἐκόσμησας
τὴν ἐκκλησίαν Χριστοῦ,
τοῖς ἔργοις ἐτίμησας
τὸ κατ' εἰκόνα Θεοῦ,
Νικόλαε, πατὴρ ἡμῶν·
ἔλαμψε γὰρ ἐν κόσμῳ ἡ ἐν σοὶ σωφροσύνη
χάριτας ἰαμάτων
ἀποστάζουσα πᾶσι·
διὸ καὶ ἑορτάζομεν
πίστει τὴν μνήμην σου.

---

125 ἐν κότει Cw
Κάθ., quod ante canon. praebet Ce, in GIB 91 invenies; idem om. Cw Cu Mb Q Sa   ἄσειστον Cf
heirm. καθ. ἄλλου HR 63; idem κάθ., quod tantum Cf Cw proferunt, simillimum est ac illum quod in MR I 284, II 471, IV 69 invenies nonnullis diversis verbis

---

124-125 Is. 9,1; Luc. 1,78-79

Ἕτερον.

Ἦχος πλ. α'. Πρός· *Τὸν συνάναρχον Λόγον*

Τὸν σοφὸν ἱεράρχην ἀνευφημήσωμεν
....

Ἄλλα.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

Ἀναβὰς εἰς τὰ ὕψη τῶν ἀρετῶν
....

(Ἄλλο ὅμοιον)

f. 42 ‖ Τὴν πηγὴν τῶν θαυμάτων, πάτερ σοφέ,
εἰληφὼς ἐν Κυρίῳ πᾶσι πιστοῖς
βλύζεις, μακάριε,
τὰ μελίρρυτα νάματα·
ὡς γὰρ ποιμὴν ὑπάρχων καὶ κῆρυξ τῆς πίστεως
τοῦ ἀληθοῦς ποιμένος
τοὺς λόγους ἐτήρησας·
ὅθεν παρρησίαν
πρὸς αὐτὸν κεκτημένος
ἀνθρώπους διέσωσας ἐκ θανάτου, Νικόλαε,
ἱεράρχα μακάριε·
πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου.

Ἕτερον κάθ. in GIB 91 invenies; idem ante canon. praebet Ce, cett. cdd. omittunt

heirm. καθ. ἄλλων MR I, 68   Ἄλλο κάθ., quod in Anth I, τιδ' invenies, in principio acoluthiae proferunt Cw Mb Cu et ante canon. Ce Ἄλλο ὅμοιον in principio acoluthiae praebent Cu Mb, om. Cw Ce   5 ὡς γὰρ om. Cf Ce Cu Sa   7 τὸν λόγον ἐ. Q   10-11 ἐκ θ. μακάριε ἱεράρχα Νικόλαε Mb 12 post πρέ(σβευε) orat. varie detruncant cdd.

f. 42v ᾠδὴ δ'. *Εἰσακήκοα, Κύριε,*

Τῶν παθῶν τὰ σκιρτήματα
δι' ἐγκρατείας ἀπονεκρώσας
ὡς ἀσώματος ἐν σώματι
φοβερὸς τοῖς δαίμοσιν
ἀνεδείχθης, πάτερ Νικόλαε.

Τὰς αἱρέσεις ἐδίωξας
καὶ ἐσφενδόνισας τὸν Βελίαρ
ταῖς βολίσι τῶν δογμάτων σου
καὶ λαοὺς διέσωσας
ἐκ κινδύνων, πάτερ Νικόλαε.

Βακτηρίᾳ καὶ σύριγγι
τῶν διδαγμάτων τῆς εὐσεβείας,
ἱερώτατε Νικόλαε,
τοῦ Χριστοῦ τὸ ποίμνιον
εἰς νομὰς ἐξέθρεψας πίστεως.

Ὡς προστάτης θερμότατος
καὶ ἀντιλήπτωρ τῶν θλιβομένων
ταῖς πρεσβείαις σου διάσωσον.

---

heirm. δ' EE 12, n. 16, Andreae; heirm. integrum servant omnes cdd. 127 τῇ ἐγκρατείᾳ Ce   129 δέμωσιν Cw   δαίμωσιν Mb   130 ἀ. πᾶσι τοῖς ἔργοις σου Ce Cu Mb Q Sa   131-135, 136-140 trop. praepostero ordine in Q Sa   133 βολίσει Cu   ταῖς βολαῖς ταῖς τῶν δ. σου Q   135 ἐκ κινδύνων] ἐκ τοῦ θανάτου Cu   136-140 trop. om. Cu Mb   137 διδαγμάτων] δογμάτων Sa   141-145 trop. om. Cu Sa

---

128 ANRICH, *Hagios Nikolaos*, 424: ἀλλ' οὐ πολὺ τῆς τῶν ἀγγέλων ἀσαρκίας ἀφέστηκας, ἀσώματος ὄντως χρηματίσας ἐν σώματι ...

141 ANRICH, *Hagios Nikolaos*, 154: ... ὁ τῶν ἐν ἀνάγκαις προστάτης θερμότατος καὶ τῶν ἐν συμφοραῖς ῥύστης ἑτοιμότατος·

ἱερὲ Νικόλαε,
τοὺς πρὸς σὲ πιστῶς καταφεύγοντας.

Τοὺς ἐν πίστει καὶ πόθῳ σε
ἀνευφημοῦντας, ἱερομύστα,
καὶ προστρέχοντας τῇ σκέπῃ σου
ἐκ κινδύνων λύτρωσαι
πρὸς Χριστὸν ἐντεύξεις ποιούμενος.

τριαδ. Τὸν Πατέρα δοξάσωμεν
Υἱὸν καὶ Πνεῦμα θεολογοῦντες
ὡς μονάδα τρισυπόστατον
καὶ Τριάδα ἄναρχον
καὶ Θεὸν κρατοῦντα τῆς κτίσεως.

θεοτ. Ἰακὼβ ὁ προπάτωρ σε,
παρθενομῆτορ, προεῖδε πάλαι
ἐν τῷ ὕπνῳ ὥσπερ κλίμακα,
δι' ἧς μόνος Κύριος
καταβὰς ἐφάνη ὡς ἄνθρωπος.

---

144 ἀπὸ πάσης θλίψεως Mb Q 145 πρὸς] εἰς Mb Q 146-150 trop. om. Cu 150 Χριστὸν] Θεὸν Mb Q Sa 151-155 τριαδ. om. Mb 152 θεολογοῦντες] δοξολογοῦντες Sa 156-160 aliud θεοτ. exstat in Sa, quod ineditum videtur (cfr. PG 105, 1285)

« Οἴμοι, τέκνον, πῶς βλέπω σε
ἐπὶ τοῦ ξύλου ἀνηρτημένον,
τὸν ζωὴν πᾶσι παρέχοντα; »
ἡ παρθένος κλαίουσα
στεναγμοῖς ἀπαύστοις ἐκραύγαζεν.

156 σε] σου Cf Cw Ce Cu 156-157 in marg. praebet Cu 157 παρθενομήτωρ προῖδε Cf Cw Cu

---

156-160 Gen. 28,12

f. 43 ᾠδὴ ε'. *Καταύγασον ἡμῶν τὸν νοῦν ὁ Θεὸς*

Σοφὸς ἀρχιερεύς, ποιμὴν ἀγαθὸς
καὶ φωστὴρ τῆς ἐκκλησίας ἀνεδείχθης, ἱερομύστα
Νικόλαε, Θεῷ λειτουργῶν,
λαὸν ποιμαίνων,
λαμπρύνων πάντας ἡμᾶς φωτὶ θεογνωσίας.

Ὡς κλῆμα εὐθαλὲς ὑπάρχων Χριστοῦ
τῆς ἀμπέλου, ἱεράρχα Νικόλαε, καρποὺς ὡρίμους
προσήγαγες αὐτῷ ἐν καιρῷ
τῆς ἀσεβείας,
τοὺς βότρυας γεωργήσας τῆς θεογνωσίας.

Ὡς ἄλλος Ἀαρὼν Θεῷ λειτουργῶν
ἐδοξάσθης, ἱεράρχα, ὡς Μωσῆς δὲ ὁ νομοθέτης
εἰς ὄρος ἀρετῶν ἀνελθὼν
τῇ θεωρίᾳ
τῆς χάριτος ἐμυήθης τὴν υἱοθεσίαν.

---

heirm. ε' EE 13, n. 17, Andreae; heirm. integer in Ce Cu Mb Q Sa 161 Σοφῶς Mb ἀγαθὸς] γεγονὼς Cf Cw Ce 162 τῷ φωτὶ τῶν ἐντολῶν σου ἀνεδείχθης, ἱερομύστα Mb 164 λαῶν Cw ποιμένων Cf Cw Cu Mb Sa 166-170 trop. om. Mb; idem quintum ex ordine praebet Q 166 εὐθαλὲς] εὐθὲς Sa ὑπάρ Χριστοῦ Ce 169 εὐσεβείας Cu Sa 170 γεωργῶν Cf Cw Ce γεωργία Cu Sa 171-175 trop. deest in Sa 173 ἀρετῶν ἀνελθὼν] ὑψηλὸν ἐπιβὰς Cu ἀνελθὼν ὑψηλὸν Mb ἀνελθὼν ἀρετῶν Q 175 τῆς υἱοθεσίας Mb

---

161-165 ANRICH, *Hagios Nikolaos*, 302: ... κατέστησεν δὲ τὸν Νικόλαον ἐν τῇ τῆς ἀρχιερωσύνης τάξει, ποιμαίνων τὸ ποίμνιον ἐν εἰρήνῃ ...

170 ANRICH, *Hagios Nikolaos*, 423: καὶ ὡς μὲν γεωργὸς τὰς νεοφύτους καὶ λογικὰς ἀμπέλους καλλιεργῶν εὐφόρους ἀπέδειξας·

166-167 Joh. 15,5 171-172 Ex. 24,15

Χηρῶν προασπιστής, πατὴρ ὀρφανῶν,
ἀντιλήπτωρ θλιβομένων καὶ ὑπέρμαχος κινδυνευόντων
ἐγένου τῷ λαῷ τοῦ Θεοῦ,
ἱερομύστα
Νικόλαε· διὸ πίστει μακαρίζομέν σε.

Ἱκέτευε ἀεὶ Χριστὸν τὸν Θεὸν
ὑπὲρ πάντων, ἱεράρχα Νικόλαε, τῶν σὲ τιμώντων
f. 43v λυτρώσασθαι ἡμᾶς τῶν ‖ πολλῶν
ἁμαρτημάτων
καὶ θλίψεων καὶ κινδύνων τῶν ἐπερχομένων.

τριαδ. Τριάδα προσκυνῶ, μονάδα ὑμνῶ
τοῖς προσώποις καὶ οὐσίᾳ ἡνωμένην διῃρημένως,
δοξάζω σὺν Πατρὶ τὸν Υἱὸν
καὶ θεῖον Πνεῦμα,
τὴν ἄναρχον ἐξουσίαν καὶ θεότητα.

θεοτ. Λελύτρωται τῆς πρὶν κατάρας Ἀδὰμ
καὶ ἡ Εὔα τῶν ὠδίνων ἐν τῷ τόκῳ σου, θεομῆτορ·
Θεὸς γὰρ ὁ ἐκ σοῦ σαρκωθεὶς
ἀρρήτῳ λόγῳ
ἀνέπλασε τῶν ἀνθρώπων τὴν πεσοῦσαν φύσιν.

176-180 trop. om. Cu 176 Χορῶν Sa 177 καὶ ὑπέρμαχος: καὶ om. Mb 181-185 trop. om. Cu Sa 186-190 τριαδ. om. Mb 187 οὐσίαν Cf Cw Cu Sa διῃρημένος Cf Cw Cu 191 Λελύτρωται] Λυτροῦται Cf Cw Ce 192 ὀδύνων Cw θεομῆτορ] θεογεννῆτορ Q θεοτόκε Sa 193 ὁ ἐκ σοῦ: ὁ om. Cu 195 ἀνέπλασε τὴν πεσοῦσαν τῶν ἀνθρώπων φύσιν Cu

---

176-177 Anrich, *Hagios Nikolaos*, 128-129: ... τοῖς ἐν ἀνάγκαις καὶ λιμῷ τυγχάνουσιν ἀρκούντως τὰ πρὸς τὴν χρείαν παρεῖχεν, ὀρφανῶν πατὴρ καὶ χηρῶν προασπιστὴς δεικνύμενος καὶ τοὺς πτωχεύοντας τοῦ λαοῦ εὐψύχως παραμυθούμενος.

f. 44 ᾠδὴ ϛ΄. *Ὡς Ἰωνᾶν τὸν προφήτην
ἀνάγαγε, Χριστὲ ὁ Θεός,*

Ὡς μαθητὴς τοῦ Κυρίου
σοφίας ἐραστὴς γεγονὼς
καὶ ποθήσας τῆς ἄνω
ζωῆς τὴν ἀπόλαυσιν
σὺν τοῖς ἀγγέλοις, Νικόλαε,
ἱερατεύεις τὰ ἄρρητα.

Τῶν τοῦ Χριστοῦ παθημάτων,
Νικόλαε, δειχθεὶς κοινωνὸς
καὶ τῆς δόξης ἐκείνου
ἀξίως τετύχηκας
καὶ ὡς Θεῷ λειτουργῶν ἀεὶ
τῶν οἰκετῶν σου μνημόνευε.

Οἱ ἐν τῇ ζάλῃ τοῦ βίου
ποντούμενοι ἐξ ἔργων δεινῶν,
πειρασμῶν καὶ κινδύνων
ῥυσθῶμεν καὶ θλίψεων,
ἱεροφάντα Νικόλαε,
ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Καταλιπὼν τὰ γεώδη,
οὐράνιον ἐκτήσω ζωὴν
καὶ πολλὴν παρρησίαν

---

heirm. ϛ΄ EE 13, n. 16, Andreae; heirm. integrum dant omnes cdd. heirm. 2 Χριστὲ om. Cu 197 καὶ σοφίας Ce 198 τῆς] τὰ Cu 201 τὰ ἄρρητα] αἰώνια Cu Mb Q Sa 202-207 trop. om. Mb 203 ἐδείχθης Ce Cu Sa 204 ἐκείνης Cu 206 ἀεὶ] αὐτῷ Ce Cu Q Sa 207 ἱκετῶν Cw Cu Q Sa 208-213 trop. om. Cu Sa 208-213, 214-219 trop. inverso ordine collocant Ce Q; primi trop. in loco Mb illud ponit vv. 220-225, eiusque in loco trop. vv. 208-213 instituit 208 τῇ ζάλῃ] πελάγει Q 212 ἱεροφάντορ Ce 214-219 trop. om. Mb Sa; idem quintum in ordine exhibet Q 214 -λειπῶν Cw 215 ζωὴν] τὴν ζωὴν Ce

εὑράμενος, ἔνδοξε,
πρὸς τὸν φιλάνθρωπον Κύριον
πρεσβείαν ποιοῦ σωθῆναι ἡμᾶς.

Ἐκ πειρασμῶν καὶ κινδύνων
καὶ θλίψεων παντοίων ἡμᾶς
ταῖς πρεσβείαις σου ῥῦσαι
τοὺς πόθῳ τιμῶντάς σε
ὡς τῷ Θεῷ παριστάμενος,
ἱερομύστα Νικόλαε.

Ἀξιοχρέως τιμῶντες
τὴν μνήμην σου, θεράπον Χριστοῦ,
τὴν σορὸν προσκυνοῦμεν
τῶν θείων λειψάνων σου
οἱ ἐντρυφῶντες τοῖς λόγοις σου
ὡς καὶ τοῖς θαύμασιν, ὅσιε.

τριαδ. Τῶν ἀσωμάτων τὸ ᾆσμα
προσάξωμεν Θεῷ οἱ βροτοὶ
μελῳδοῦντες ἐν πίστει
καὶ κράζοντες· « ἅγιος,
ἅγιος, ἅγιος, Κύριος,
Πάτερ, Υἱέ, σὺν τῷ Πνεύματι ».

θεοτ. Εὐλογημένη Μαρία,
πανύμνητε, ὡς μήτηρ Θεοῦ
πειρασμῶν καὶ κινδύνων
ἡμᾶς ἐλευθέρωσον
ταῖς πρὸς Θεὸν ἱκεσίαις σου
τοὺς ἐπὶ σοὶ καταφεύγοντας.

---

217 εὑραμένος Ce ἔνδοξε] ὅσιε Ce Cu Q 219 ποίη Ce σωθῆναι] τοῦ σωθῆναι Q 220-225, 226-231 trop. praepostero ordine praebet Ce; trop. prius om. Cu Sa; idem autem tertium in ordine ponit Q 224 τῷ om. Cf Cw 226-231 trop. deest in Cw Cu; idem autem quartum in ordine profert Q 226 τιμῶμεν Mb Q Sa 228 προσκυνοῦντες Mb Q Sa σωρὸν Ce 232-237 τριαδ. om. Mb 233 βροτοὶ] ἐπὶ γῆς Ce 237 Πάτερ, Υἱὲ] Πατὴρ Υἱὸς Cu Q Πατὴρ Υἱῷ Sa 239 Θεοῦ] τοῦ Θεοῦ Ce 242-243 τοὺς ἐπὶ σοὶ καταφεύγοντας / ὡς προστασία τοῦ γένους ἡμῶν Q

f. 44v || Κοντάκιον.

Ἦχος γ'. Πρός· *Ἡ παρθένος σήμερον*

Ἐν τοῖς Μύροις, ἅγιε,

....

Ὁ οἶκος.

Πρός· *Τὴν Ἐδὲμ Βηθλεὲμ*

Ἀνυμνήσωμεν νῦν

....

Ἄλλο.

Ἦχος δ'. Πρός· *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως*

Ὁ ἐπινίκιος αὐλός, ἱεράρχα,

....

⟨Ὁ οἶκος⟩.

Πρός· *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Ὡς τῆς σοφίας χορηγὸς

....

Κοντ. et οἶκ., quae in principio acoluthiae praebent Cu Mb, in MR II, 401 invenies; eadem om. Sa; Cw, autem, haec etiam κοντ. et οἶκ. profert, quae inedita videntur: Ἦχος β'. Πρός· *Τοῖς τῶν αἱμάτων σου ῥείθροις, Δημήτριε,* // Τοῖς τῶν αἱμάτων σου ῥείθροις, Νικόλαε, / τὴν οἰκουμένην Θεὸς κατελάμπρυνεν, / ὁ δούς σοι τὴν χάριν ἀέναον / καὶ περισώζων εὐχαῖς σου τὰ πέρατα· / λυτροῦσαι γὰρ πάντας / ταῖς πρεσβείαις σου. ⟨Ὁ οἶκος⟩. Πρός· *Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,* Μύρον ἐν Μύροις βλύσαν τὰ πάντα / εὐωδίας ἐμπιπλᾷς / ἀρωμάτων εὐχαῖς / μυρίζων ψυχὰς καὶ σώματα / μέδοντα φθάνεις καὶ ἐπαρκοῦντα / καὶ λυτροῦσαι, ὡς τότε τοὺς στρατηλάτας, / πᾶσαν ψυχὴν / πειρασμοῖς συλληφθεῖσαν, βοῶσαν φωνῇ· / « προστάτα πάντων, ταχύνας, / ὦ Νικόλαε, ἐλθὲ καὶ λύτρωσαι· / οὐδεὶς γὰρ ὅλως ἀπέτυχεν / οὐδαμῶς δεηθείς σου ἐν θλίψεσι· / λυτροῦσαι γὰρ πάντας / ταῖς πρεσβείαις σου ».

οἶκ. 1 νῦν] οὖν Ce

Ἄλλο κοντ. et οἶκ. TRM II, 77; eadem om. Cw Ce Mb Q Sa post οἶκ. spatium vacuum scriba reliquit in Cu, fort. per secundum οἶκ. οἶκ. 1 χορηγὸς] ἀρχηγὸς TRM

f. 45 || Ἕτερον κοντάκιον.

Ἦχος πλ. δ'.

Τῷ φαεινῷ σου βίῳ

....

Ὁ οἶκος.

Τῷ θείῳ μύρῳ χρισθέντα

....

ᾠδὴ ζ'. *Ἐν τῇ βροντώσῃ καμίνῳ*

f. 45ᵛ Ἐν εὐσεβείᾳ τὸν βίον
ἐκτελέσας, Νικόλαε ἱεράρχα,
ἀπὸ γῆς εἰς οὐρανοὺς μεταστάς,
σὺν ἀγγέλοις τῷ Θεῷ λειτουργεῖς ἀκλινῶς·
ὅθεν ἡμῖν τοῖς πιστῶς ὑμνοῦσί σε
ἐπιδημῶν τῷ πνεύματι
δᾳδουχεῖς τῶν θαυμάτων αὐγάς.

Τῆς ἐγκρατείας τὴν τρίβον
διοδεύσας στενήν τε καὶ τεθλιμμένην,
εἰς εὐρύχωρον ὁδὸν τῆς ζωῆς
μεταστὰς πνευματικῶς, πάτερ, ἔφθασας,
ἔνθα Χριστὸς ὁ Θεὸς δοξάζεται

Ἕτερον κοντ. et οἶκ., quae om. Ce Cu Mb Q Sa, ed. in PAS I, 355 invenies heirm. ζ' EE 13, n. 17, Andreae; heirm. integrum exhibent omnes cdd. 244 Ἐν om. Sa 244-250 hoc trop. quartum in ordine exstat in Mb 245 ἐκτελέσας] κατέλυσας Mb 246 μεταστὰς] μεταβὰς Sa 247 τῷ om. Cf Cw 250 αὐγὰς] πηγὰς Mb 251-257 trop. om. Sa; idem tertium in ordine prodit Mb, quintum Q 252 τὴν στενὴν καὶ τεθλιμμένην βαδίσας Q διώδευσας Mb 255 ἔ. ὁ Χριστὸς δοξάζεται Cu

---

251-253 Matth. 7,13-14; Luc. 13,23

καὶ τοὺς αὐτὸν δοξάζοντας
κοινωνοὺς βασιλείας ποιεῖ.

Ὡς ἐνδιαίτημα θεῖον,
ἱεράρχα, τοῦ Πνεύματος τοῦ ἁγίου
εὐσεβῶς ταῖς ἀρεταῖς γεγονώς,
ψυχικῶν καὶ σαρκικῶν ἀνεδείχθης παθῶν
θεραπευτής, τῶν δεινῶν λυτρούμενος
ταῖς σαῖς πρεσβείαις ἅπαντας
τοὺς πιστῶς σοι προστρέχοντας.

Ὁ ἱεράρχης Κυρίου
εὐφημείσθω Νικόλαος ἐπαξίως,
ὡς θαυμάτων φοβερῶν αὐτουργὸς
καὶ ὑπέρμαχος στερρὸς θλιβομένων ψυχῶν·
τρεῖς γάρ ποτε στρατηλάτας ἔσωσε
θανατηφόρου δράματος,
παραστὰς βασιλεῖ τῇ νυκτί.

Ὁ μυστολέκτης τῶν ἄνω
τῆς ἁγίας Τριάδος καὶ ἱεράρχης,
ὁ θεόπνευστος Νικόλαος,
συνεκάλεσεν ἡμᾶς ἐν τῇ μνήμῃ αὐτοῦ·
δεῦτε, πιστοί, ἐν ᾠδαῖς τιμήσωμεν
τὸν ἱεράρχην σέβοντες
τὸν Θεὸν τῶν πατέρων ἡμῶν.

---

256 καὶ om. Cw, v. vero in marg. cd. scriptus est 257 βασιλείας] τῆς β. Ce 258-264 trop. om. Mb; idem secundum in ordine collocat Q 261 ψυχικῶν] καὶ ψ. Cf Cw 263 ἅπαντας] λύτρωσαι Sa 265-271 trop. om. Cu; idem primum in ordine dat Mb, tertium Q 268 στερρῶς Cf Cw 271 τῇ] ἐν Mb Sa 272-278 trop. om. Cu Sa; idem secundum in ordine praebet Mb, sextum Q 272 τῶν ἄνω] τῆς ἄνω Cf Cw τῆς θείας Mb 273 καὶ] ὁ Ce Mb Q 278 ἡμῶν om. Cf

---

261-262 Anrich, *Hagios Nikolaos*, 231: Οὐ σωματικῶς δὲ μόνον παθῶν θεραπευτὴς ἐδείκνυτο ὁ μέγας οὗτος ποιμὴν καὶ [πρ]ονοητ[ὴς] τῶν οἰκείων [λ]ογικῶν [θρεμ]μάτων...

Τοὺς τὴν σεπτήν σου εἰκόνα
προσκυνοῦντας, σεβάσμιε ἱεράρχα,
καὶ τὴν μνήμην σου γεραίροντας
καὶ τιμῶντας τὴν σορὸν τῶν λειψάνων σου
ἐκ πειρασμῶν καὶ κινδύνων λύτρωσαι
πρεσβευτικαῖς, Νικόλαε,
πρὸς Θεὸν ἱκεσίαις σου.

Ταῖς πρὸς Θεόν σου πρεσβείαις
f. 46 τῶν κινδύνων καὶ θλί||ψεων, ἱεράρχα,
ἐλευθέρωσον, Νικόλαε,
τοὺς προστρέχοντας εἰς σὲ ἐν καιρῷ πειρασμοῦ·
σὺ γὰρ θερμῶς προστατεύεις, ὅσιε,
τοὺς ἐν ἀνάγκαις πάντοτε
βοηθὸν κεκτημένους σε.

τριαδ. Τῆς ἀειζώου Τριάδος
καὶ ἁγίας ὑμνοῦντες τὸ θεῖον κράτος,
προσκυνοῦμεν σὺν Πατρὶ τὸν Υἱὸν
καὶ τὸ Πνεῦμα τὸ εὐθὲς εὐσεβῶς οἱ πιστοὶ
« σῶσον ἡμᾶς τοὺς εἰς σὲ πιστεύοντας »,
ἐν κατανύξει λέγοντες,
« ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἵνα σωθῇ ὁ προπάτωρ
σὺν τῇ Εὔᾳ ὁ Κύριος ἐκ παρθένου
νέος γέγονεν Ἀδὰμ χοϊκὸς
καὶ ἐθέωσεν ἡμᾶς τῇ κενώσει αὐτοῦ
μείνας ὃ ἦν, Θεὸς ἀναλλοίωτος,
καὶ τὴν τεκοῦσαν ἄφθορον,
ὥσπερ ἦν, διεφύλαξεν.

279-285 trop. om. Cw Cu Mb Sa: idem autem quartum in ordine prodit Q 279 σεπτὴν] σεπὴν Cf 282 σωρὸν Ce Q 284 πρεσβευτικῶς Cf Ce Q 285 σαῖς λιταῖς πρὸς τὸν Κύριον Q ταῖς πρὸς Θ. ἱ. σου Ce 286-292 trop. om. Cw Ce Cu Mb Sa 291 τοὺς] τοῖς Cf τῶν Q 292 κεκτημένους] -μένων Q 293-299 τριαδ. deest in Mb 295 προσκυνοῦντες Cf Cw Πατρὶ] τῷ Π. Cw 298 λέγοντας Ce Cu Sa 299 ἡμῶν om. Cf Cw Ce Sa 303 κενώσει] σαρκώσει Cu Q Sa σαρκὶ Mb 304 ἦν Ce ἣν Cu Mb Sa 305 καὶ τὴν: τὴν om. Sa καὶ τὴν] τὴν σὲ Mb 306 ἣν Cu Sa

---

300-303 I Cor. 15,45-49

f. 46v ᾠδὴ η'. *Ὑμνοῦσί σε*
στρατιαὶ ἀγγέλων,

Μυρίζουσιν
οἱ τῶν ἔργων πόνοι,
ἀστράπτουσι
δογμάτων σου οἱ λόγοι,
αἱ θαυματουργίαι
πανταχοῦ ἀπηχοῦνται,
θεράπον, Νικόλαε,
τοῦ Χριστοῦ ἱερομύστα.

Τὰ στίγματα
τοῦ Χριστοῦ βαστάσας,
Νικόλαε,
ψυχῇ καὶ τῇ σαρκί σου,
κοινωνὸς ἐγένου
τῶν σοφῶν ἀποστόλων·
διὸ καὶ τιμῶμέν σε
οἱ πιστοὶ ὡς ἱεράρχην.

Ἀνέτειλας
ὡς φωστὴρ ἐν κόσμῳ,
ἐφαίδρυνας
τὰ Μύρα τῆς Λυκίας
εὐσεβείας ἔργοις
καὶ θαυμάτων ἀκτῖσι,
Νικόλαε ἄδυτε,
ὁ λαμπτὴρ τῆς Ἐκκλησίας.

---

heirm. η' EE 14, n. 18, Andreae, idem integer in omnibus cdd. exhibetur heirm. 2 ἀγγέλων] τῶν ἀγγέλων Mb 310 δογμάτων σου om. Cf Cw Ce post θαυματουργίαι Ce profert: ἃς τελεῖς ἐν κόσμῳ 311 αἱ] ὡς Cu 312 ἀπηχοῦσι Sa 315 στήγματα Cu 323-330 trop. quintum in ordine instituit Q 329 ἄδυτε] ὅσιε Cu Mb Q Sa 328-330 καὶ θ. ἀ. Νικόλαε / λ. τῆς Ἐ. Cf Cw 330 ὁ om. Ce

---

315-316 Gal. 6,17

Μετέδωκας
τοῖς πεινῶσιν ἄρτον,
διένειμας
λαοῖς θεογνωσίαν
καὶ τοῖς ἀσθενοῦσιν
ἰαμάτων τὴν χάριν·
διό σε, Νικόλαε,
οἱ πιστοὶ ἀνευφημοῦμεν.

Πρὸς Κύριον
παρρησίαν ἔχων
ἱκέτευε,
Νικόλαε τρισμάκαρ,
ὑπὲρ τῶν τιμώντων
τὴν ἁγίαν σου μνήμην
ῥυσθῆναι τῶν θλίψεων
ἡμᾶς καὶ τῶν κινδύνων.

Ἱκέτευε
τὸν σωτῆρα πάντων,
Νικόλαε,
ῥυσθῆναι τῶν κινδύνων
τοὺς τελοῦντας πόθῳ
τὴν ἁγίαν σου μνήμην
καὶ τῶν περιστάσεων
…ν τοῦ ἀλλοτρίου.

τριαδ. Τρισάγιον
προσκυνῶ δεσπότην
ὡς Κύριον
καὶ κτίστην τῶν ἁπάντων,
διαιρῶν προσώποις,

331-338 trop. om. Cu Sa; idem tertium in ordine exstat in Q 333 διένειμες Cf Cw 334 θεογνωσίας Mb 339-346 trop. om. Cu Mb Sa 344 σου om. Cw 347-354 trop. om. Cw Cu Mb Sa 348 πάντων] πάτερ Q 351 πόθῳ] ἐν πίστει Q 353-354 ῥυσθῆναι τῶν θλίψεων / ἡμᾶς καὶ τῶν κινδύνων Q 355-362 τριαδ. om. Mb; idem atque sequens θεοτ. obliterata sunt in Cw

τῇ οὐσίᾳ συνάπτων·
Πατὴρ γὰρ Υἱός ἐστιν
ἡ Τριὰς καὶ θεῖον Πνεῦμα.

47 θεοτ. || Ὁ ὕψιστος
ἐκ μητρὸς παρθένου
γεγέννηται
δι' ἄκραν εὐσπλαγχνίαν
τῷ πατρὶ προσάγων
τὴν πεσοῦσαν εἰκόνα,
Ἀδὰμ τὸν προπάτορα
τῆς φθορᾶς ἀνακαινίζων.

ᾠδὴ θ'. *Τὴν ζωοδόχον πηγὴν τὴν ἀέναον*

Ἐν τῷ ναῷ αὐλιζόμενος, ὅσιε,
ἱερωσύνης στολὴν ἐνδυσάμενος,
ἱερὲ Νικόλαε,
τῷ Θεῷ προσέφερες
ὑπὲρ παντὸς τοῦ λαοῦ
δεκτὰς θυσίας
τῶν ψυχικῶν αὐτοὺς παθῶν ἐξαιρούμενος.

Ὡς ἐραστὴς τῆς σοφίας γενόμενος
καὶ τῆς ἁγίας Τριάδος, Νικόλαε,
λειτουργὸς εὐπρόσδεκτος,
f. 47v ἱε||ράρχης ὅσιος,
τῶν οἰκετῶν σου ἀεὶ
μὴ ἐπιλάθη
ὑπερευχόμενος ἡμῶν καὶ τῆς ποίμνης σου.

365 γεγένηται Cf 366 διάκραν Cf Cu Sa
heirm. θ' EE 14, n. 18, Andreae; heirm. integrum tradunt Cu Sa 371 αὐλιζόμενος, ὅσιε] τοῦ Θεοῦ αὐλιζόμενος Cu Mb Q Sa 372 ἱερωσύνη Cw 377 αὐτοὺς] αὐτοῦ Cw αὐτῶν Cu Mb 381 ἱεράρχα Cu Q 382 ἱκετῶν Cu Mb Q Sa

Τὰς τῶν δαιμόνων ἐπόρθησας φάλαγγας,
τοὺς τῶν αἱρέσεων θῆρας ἐδίωξας
τῷ ἁγίῳ πνεύματι
κραταιῶς φρουρούμενος,
ἱεροκῆρυξ Χριστοῦ·
διὸ τῆς ποίμνης
ὑπερμαχήσας τὸν ἐχθρὸν κατεπάτησας.

Ὡς μαθητὴς τοῦ Χριστοῦ, ἀξιάγαστε,
καὶ μιμητὴς γεγονὼς τοῖς παθήμασι
διὰ τῆς ἀσκήσεως
σεαυτὸν ἐσταύρωσας,
τὴν ἱεράν σου στολὴν
ἱερωτέραν
ἀπεργασάμενος, ποιμὴν ἱερώτατε.

Τὴν ἐκκλησίαν καλῶς ἐκυβέρνησας
ὀρθοδοξίᾳ τηρήσας τὴν ποίμνην σου,
ἱεράρχα ὅσιε,
ἀπελαύνων δαίμονας
καὶ θεραπεύων ψυχὰς
τῶν ἀσθενούντων
καὶ τῶν σωμάτων ἰατρεύων τὰ τραύματα.

Ἐκ πειρασμῶν καὶ κινδύνων καὶ θλίψεων
ταῖς πρὸς Θεὸν ἱκεσίαις σου λύτρωσαι

---

385 ἐπήρθησας Sa 388 κραταιὸς Sa φρουρούμενος] φραξάμενος Ce 392-398 trop. om. Cu Mb Sa 392-398, 399-405 trop. praepostero ordine disposita in Q 392 ἀξιάγαστος Ce ἀξιέραστος Q 395 ἑαυτὸν Cf Cw Ce 399-405 trop. om. Cu Sa 400 τηρήσας] στηρίξας Q 406-412 trop. om. Cw Cu Mb Sa

---

385 ANRICH, *Hagios Nikolaos*, 250: καὶ οὕτως ἐκποδὼν τὴν τῶν δαιμόνων πληθὺν ποιούμενος, καθαρᾶς ἀπολαύειν γαλήνης τῇ ποίμνῃ παρεῖχε.

387-388 ANRICH, *Hagios Nikolaos*, 324: τὸ δὲ ἅγιον πνεῦμα ἐστήριζεν αὐτὸν σφόδρα . . .

406-412 ANRICH, *Hagios Nikolaos*, 428: ὧν ταῖς πρὸς τὸ θεῖον ἐντεύξεσι καὶ ταῖς σαῖς, ὦ πάτερ, θεοδέκτοις δεήσεσι αἱρετικῆς ἁπάσης καὶ δαιμονικῆς ἐπεισφρήσεως μαστίγων τε νοσοποιῶν καὶ τῶν ἐν μέσῳ παγίδων καὶ οἷς ἀδοκήτως ἅμμασι πλέκονται ἄνθρωποι καὶ πάντων ὁμοῦ τῶν κινδύνων ῥυσθείημεν ἅπαντες. . .

τοὺς εἰς σὲ προστρέχοντας
ἐν ταῖς περιστάσεσι
καὶ τῶν βελῶν τοῦ ἐχθροῦ
καὶ τῶν παγίδων
τοὺς ἀνυμνοῦντάς σε πιστῶς ἐλευθέρωσον.

τριαδ. Τὸ συναΐδιον κράτος καὶ σύνθρονον,
τὸ τρισυπόστατον φῶς ἀνυμνήσωμεν
τὸν Πατέρα σέβοντες,
τὸν Υἱὸν δοξάζοντες
καὶ προσκυνοῦντες πιστῶς
τὸ θεῖον Πνεῦμα·
τρισσολαμπεῖ γὰρ ἡ μονὰς τῇ θεότητι.

θεοτ. Ὑψηλοτέρα ὑπάρχεις, πανάμωμε,
τῶν οὐρανῶν καὶ τῶν ἄνω δυνάμεων,
ὡς σαρκὶ κυήσασα
τῶν ἁπάντων Κύριον·
διό σε πάντες, ἁγνή,
ὡς θεοτόκον
ὁμολογοῦντες οἱ πιστοὶ μεγαλύνομεν.

413-419 τριαδ. om. Mb 413 κράτος] κάτος Ce 419 τρισολαμπῆ Sa τῆς θεότητος Cu Sa 424 ἁγνὴν Cu 426 οἱ om. Cf Cw Ce μεγαλύνομεν] μακαρίσωμεν Mb

6 DEC. *CANON* VI

IN SANCTUM NICOLAUM

Athon. Stavronikita 108 = Ap, ff. 102-117v
Vat. gr. 1070 = Vo, ff. 203-204
Crypt. Δ.α. XXVII = Cv, ff. 21-22v

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Δέησιν οἰκτράν, Νικόλαε, προσδέχου· Ἰωσήφ.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Διηνεκῶς
τῷ θείῳ θρόνῳ τῆς χάριτος
παρεστηκώς, Νικόλαε,
χάριν καὶ ἔλεος
δωρηθῆναι δυσώπει
τοῖς σὲ προσκαλουμένοις
πιστοῖς ἱκέταις σου.

Ἐπὶ τῆς γῆς
μέγαν προστάτην σε ἔδειξε
Θεὸς τοῖς κινδυνεύουσι·
διό μου πρόστηθι
ἐν νυκτὶ καὶ ἡμέρᾳ
φυλάττων με σκανδάλων
τοῦ πολεμήτορος.

---

tit. Ὁ κανὼν τοῦ ἁγίου Νικολάου οὗ ἡ ἀκροστιχίς ... Ap Κανὼν παρακλητικὸς εἰς τὸν ὅσιον πατέρα ἡμῶν Νικόλαον Vo
heirm. α' EE 37, n. 51, Cosmae 7 οἰκέταις σου Ap 9 προστάτην μέγαν Ap μέγαν προφήτην Cv 10 Θεὸς] Χριστὸς Cv 11 μου] μοι Ap πρόστιθει Cv 13 φυλάττων με] ῥυόμενος Vo

Ἡμερινὸν
ὥσπερ ἀστέρα γινώσκων σε
f. 102v || σαῖς φωτοβόλοις λάμψεσι
σκότους ῥυσθήσομαι
συμφορῶν καὶ κινδύνων
καὶ πάσης ἁμαρτίας,
πάτερ Νικόλαε.

θεοτ. * Σωματικῶν
ἀρρωστημάτων με λύτρωσαι
καὶ τῆς ψυχῆς μου ἴασαι
ἄδηλα τραύματα
καὶ πυρὸς αἰωνίου
ἐξάρπασόν με, κόρη
θεοχαρίτωτε.

f. 103v ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*
ἐν σοί, Κύριε,

Ἰάσεων πηγὴ
ὑπάρχων, ἅγιε,
τὰ πάθη
ἰάτρευσον τῆς ψυχῆς μου,
τὴν ζωήν μου περιφρούρησον
f. 104 ἀ||βλαβῆ με φυλάττων τὸν ποθοῦντά σε.

Νοός μου ἐκτροπὰς
ἐπανορθούμενος
ἐκ βλάβης
ὁρατῶν καὶ ἀοράτων
πολεμίων με διάσωσον
ὡς προστάτης μου μέγιστος, Νικόλαε.

15-21 trop. deest in Cv 16 γινώσκων σε] γνωρίζοντος Vo 17 σαῖς] ταῖς Vo vv. 18-21 om. Vo, spatio vacuo a scriba relicto 22-28 θεοτ. ETh 230; cfr. etiam infra canon. VIII, vv. 36-42 23 ἀρρωστημάτων] ἁμαρτημάτων Ap 27 κόρη] μόνη Cv Vo ETh 28 θεογεννήτρια Vo
heirm. γ' EE 39, n. 53, Cosmae 32 ἰάτρευσον] θεράπευσον Cv τὴν ψυχήν μου Cv 33 τὴν ζωήν μου] καὶ τὸν νοῦν μου Cv 34 φύλαττον Cv 35-40 trop. deest in Cv ὁρατῶν] παθῶν τε Ap

Ὁ μόνος ἀγαθὸς
σὲ ἀγαθότατον
προστάτην
ἀνθρώποις ἔδωκε, μάκαρ·
διὰ τοῦτο ἱκετεύω σε
ἐκ παντοίων κακῶν με ἐλευθέρωσον.

θεοτ. Ἰσχύς μου καὶ χαρὰ
καὶ τεῖχος ἄρρηκτον,
παρθένε,
βεβαία τε προστασία
σὺ ὑπάρχεις, παναμώμητε·
πειρασμῶν καὶ κινδύνων με διάσωσον.

f. 106 ᾠδὴ δ'. *Ὑμνῶ σε· ἀκοὴν γάρ, Κύριε,*

Κοσμήσας ἀρεταῖς, Νικόλαε,
f. 106ᵛ τὴν || καρδίαν κόσμος ἐδείχθης
ἱεραρχῶν τίμιος·
τὴν ἀκοσμίαν τῆς ψυχῆς μου διὸ
ἱκετεύω σε διάλυσον
καὶ κοσμικῶν σκανδάλων με διάσωσον.

Τὴν τρίβον τὴν ἐκεῖσε φέρουσαν
ἐξομάλισόν μοι, παμμάκαρ,
βιωτικοῦ κλύδωνος
κουφίζων με καὶ πρὸς λιμένα ζωῆς
ἐμβιβάζων με, Νικόλαε,
τὸν σὲ προστάτην μέγιστον πλουτήσαντα.

Ῥημάτων θεϊκῶν ὑπήκοε,
ἐπακούσας μου τῶν ῥημάτων

---

44 δέδωκε Cv Vo μάκαρ] πάτερ Vo 46 κακὸν Cv κακῶν με ἐλευθέρωσον] κινδύνων με διάσωσον Vo 48 καὶ ἀγαλλίαμα Cv Vo 49 καὶ τεῖχος Cv Vo 50 βεβαίαν καὶ προστασίαν Cv πειρασμὸν Vo

Post oden γ' κάθ. « Ἀναβὰς εἰς τὰ ὕψη τῶν ἀρετῶν », Anth I, τιδ', praebet Cv

heirm. δ' EE 38, n. 51, Cosmae 54 κόσμῳ Cv 62 κουφίζον Cv Vo 63 ἐμβιβάζον Vo 64 μεγίστων πλουτίσαντα Cv 65-70 trop. deest in Cv 65 ὑπήκουε Vo

σκανδάλων με λύτρωσαι
δαιμόνων τε καὶ παρανόμων ἀνδρῶν
καὶ παντοίας περιστάσεως
ἐπερχομένης, μέγιστε Νικόλαε.

θεοτ. Ἁγία θεοτόκε δέσποινα,
f. 107 ἐν νυκτί με || καὶ ἐν ἡμέρᾳ
ἁγίασον, δέομαι,
ὁδήγησον πρὸς σωτηρίαν πολλαῖς
ἁμαρτίαις περιπίπτοντα
καὶ καθ' ἑκάστην, πάναγνε, κλονούμενον.

f. 108 ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Νόμων Θεοῦ πληρωτά,
νόμοις με θείοις συντηρεῖν αἴτησαι
τῶν πονηρῶν
καὶ παρανομούντων
ἐξαίρων με ἐχθρῶν
δαιμόνων τε βλάβης, παμμάκαρ Νικόλαε.

Νέους ὡς πάλαι τοὺς τρεῖς
ἀπελυτρώσω ἐπιστάς, ἅγιε,
οὕτω κἀμὲ
πάσης ἐπηρείας
ταῖς σαῖς πρὸς τὸν Θεὸν
λύτρωσαι πρεσβείαις, θεόφρον Νικόλαε.

---

73 δέομαι] φρούρησον Cv Vo 76 καὶ προσβολαῖς δαιμόνων (κλονιζόμενος Cv) κλονυζόμενον Cv Vo

heirm. ε' EE 38, n. 51, Cosmae heirm. 1 χωρητὸς Vo 77 Νόμον Cv 78 νόμους με θείους (Vo) συμπληρῶν αἴ. Cv Vo 79 τὸν ἀγαθὸν Cv Vo 81 ἐξαίρων] ἐξελοῦ Cv Vo 82 βλάβεις Cv 83-88 trop. deest in Cv 86 ἐπηρείας] ἁμαρτίας Ap

---

83-84 ANRICH, *Hagios Nikolaos*, 281: οἱ δέ, ὁμοῦ ποιήσαντες δέησιν, οὕτως ἔλεγον· « Κύριε, κύριε, ὁ τοῦ σοῦ θεράποντος Νικολάου θεός, ὁ τοὺς τρεῖς ἄνδρας ἐν Μύροις ἀδίκου θανάτου ῥυσάμενος, ἐπάκουσον καὶ ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ διὰ τοῦ σοῦ θεράποντος Νικολάου ἐξελοῦ ἡμᾶς τοῦ πικροῦ τούτου θανάτου... »

Ἱερουργὲ τοῦ Θεοῦ,
ἐγγυητὰ ἁμαρτωλῶν μέγιστε,
θαυματουργέ,
τὸν ἀγαθοδότην
ἱκέτευε Θεὸν
f. 108v μή με καται‖σχῦναι ἐν ὥρᾳ τῆς κρίσεως.

θεοτ. Κυριοτόκε ἁγνή,
κυριευθέντα με δεινοῖς πταίσμασιν
ὡς ἀγαθὴ
πρόστηθι καὶ ῥῦσαι,
ὅπως σε ἀνυμνῶ
ψυχῇ καὶ καρδίᾳ, παρθένε, σῳζόμενος.

f. 109v ᾠδὴ ϛʹ. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ὁ τῶν Μύρων γενόμενος πρόεδρος
f. 110 ‖ καὶ εὐωδιάσας πιστῶν τὰ συστήματα,
ταῖς ἀγαθαῖς σου πράξεσι
δυσωδίας πταισμάτων με κάθαρον.

Λαμπροτέραν ἡλίου κτησάμενος,
πάτερ, τὴν καρδίαν σου ὅλον με φώτισον
τῶν πειρασμῶν καὶ θλίψεων
ἀπελαύνων τὸ σκότος, Νικόλαε.

Ἀπὸ πάσης με ῥῦσαι στενώσεως
πλάτος συμπαθείας ὡς ἔχων, Νικόλαε,
διὰ στενῆς ὁδεύειν με
ἐνισχύων ὁδοῦ πρὸς τὸν Κύριον.

---

90 ἀ. ἐ. (Vo) ἔνδοξε Cv 93 Θεὸν] Χριστὸν Vo 94 καταισχύνη Cv ἐν] ἐ Cv 96 δεινοῖς πταίσμασιν] πολλοῖς πάθεσιν Vo 98 πρόστηθη Cv 100 παρθένε] καὶ γλώττη (-σση Vo) Cv Vo

heirm. ϛʹ EE 34, n. 46, Joannis heirm. 1 ἀβύσσου Vo 101 Μύρων] Μαρτύρων Cv γενάμενος Cv 102 πιστῶν] ἡμῶν Cv συστήματα] φρονήματα Cv Vo 104 κάθαρον] λύτρωσον Cv -σαι Vo 105-108 trop. deest in Cv 110 πλάτος] πλοῦτος Cv 112 ἐνισχύον Cv ὁδοὺς Cv Vo

θεοτ. Ἐν παντί σε καιρῷ προσκαλούμενος
εὕροιμι βοήθειαν ἐξαιρουμένην με
τῆς φοβερᾶς κολάσεως,
παναγία παρθένε πανάμωμε.

f. 112 ᾠδὴ ζʹ. *Εἰκόνος χρυσῆς*

Πυρὶ πειρασμῶν
καθ᾽ ἑκάστην ὁμιλῶν, πάτερ Νικόλαε,
f. 112v μέσον παγίδων ‖ διαβαίνων τε,
ὥσπερ στρουθίον οἰκτρότατον,
σοῦ ὑπὸ τὴν σκέπην προστρέχω·
ἀβλαβῆ με συντήρησον
τὸν ἀγαθὸν ἐκδυσωπῶν Θεὸν καὶ Κύριον.

Ῥημάτων ἐμῶν
ἐπακούσας ἐν σπουδῇ, πάτερ Νικόλαε,
σπεῦσον ἐλθεῖν μοι εἰς βοήθειαν
χειμαζομένῳ ταῖς θλίψεσι
καὶ ταῖς δυσχερείαις τοῦ βίου
καὶ τῶν δαιμόνων κακώσεσιν,
ἵνα σῳζόμενος ὑμνῶ τὴν δυναστείαν σου.

Ὁ πάλαι ὀφθεὶς
ἐν ὀνείρῳ βασιλεῖ καὶ τοὺς ἀθῴους

---

114 εὕροιμι] εὑρόν σε Cv 116 καὶ παντοίας με θλίψεως (με θλίψεως] κακώσεως Vo) πάναγνε Cv Vo

Post oden ϛʹ κοντ. « Ἐν τοῖς Μύροις, ἅγιε » et οἶκ. « Ἀνυμνήσωμεν νῦν », MR II, 401, profert Cv; cfr. etiam supra canon. V

heirm. ζʹ EE 39, n. 53, Cosmae 119 μέσων Cv Vo διαβέννοντα Cv 121 προστρέχων Cv 126 μοι] σε Cv μου Vo 127 χη (χει Vo) μαζομένων Cv Vo 130 δυναστείαν] προστασίαν Cv Vo 131-137 trop. deest in Cv

---

131-133 ANRICH, *Hagios Nikolaos*, 74: ... ὁ ἅγιος Νικόλαος τῇ νυκτὶ ἐκείνῃ ἐφάνη τῷ βασιλεῖ καὶ λέγει αὐτῷ· « Κωνσταντῖνε, ἀνάστηθι καὶ ἀπόλυσον τοὺς τρεῖς ἄνδρας τοὺς στρατηλάτας, οὓς ἔχεις ἐν τῷ δεσμωτηρίῳ, ὅτι διεβλήθησαν ἀδίκως... »
... Τότε λέγει ὁ βασιλεύς· « Ἰδοὺ τοίνυν ἀπολύεσθε καὶ χάριν ἔχετε τῷ ἀνδρί· οὐκ ἐγὼ γὰρ χαρίζομαι ὑμῖν τὸ ζῆν, ἀλλ᾽ ὁ θεὸς καὶ ὃν ἐπεκαλέσασθε Νικόλαον... »

119-120 Ps. 123,7

μέλλοντας θνήσκειν λυτρωσάμενος,
πειρατηρίων με λύτρωσαι
τῶν ἐπερχομένων παντοίων
καὶ νοσημάτων τοῦ σώματος
καὶ ψυχικῶν ἀρρωστιῶν, πάτερ Νικόλαε.

f. 113 θεοτ. || Σὲ μόνην, ἁγνή,
ἐπιφέρω βοηθόν, σὲ ἐπιγράφομαι
παντὸς τοῦ βίου φυλακτήριον·
μή με παρίδῃς τὸν δοῦλόν σου,
μόνη προστασία τοῦ κόσμου,
ἀλλὰ σῶσόν με ψάλλοντα·
« εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα ».

f. 114ᵛ ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Δεσμεῖν καὶ λύειν εἰληφὼς
ἐξουσίαν ἐκ Θεοῦ, πάτερ θεόφρον,
τῶν παθῶν μου τὴν δέσιν
λῦσον ταῖς σαῖς προσευχαῖς
καὶ θείᾳ δέσμευσον ἀγάπῃ με
τοῦ ἐνανθρωπῆσαι θελήσαντος δεσπότου.

Ἐπισκοπῇ σου θεϊκῇ
ἐν ἡμέρᾳ καὶ νυκτὶ ἐπίσκεψαί με
ὁμαλίζων τὰς τρίβους
τῆς ταπεινῆς μου ψυχῆς,
φυλάττων ἄτρωτόν με, ἅγιε,
τῶν ἐπερχομένων τοῦ πονηροῦ σκανδάλων.

---

138 μόνην] προστάτην Cv ἁγνὴν Vo 144 εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν Cv Vo
heirm. η' EE 35, n. 47, Joannis 145 ἠλειφὼς Cv 147 παθῶν] κακῶν Ap Vo 149 καὶ θείαν ἀγάπην με δέσμευσον Cv 151 Ἐπισκοπήσεται ἐκοὶ Cv 156 σκανδάλου Cv

---

145-146 Matth. 16,19

Χεῖρά μοι δίδου, δυσωπῶ,
βοηθείας καὶ δεινῆς ἐξάρπασόν με
τῶν ἐχθρῶν ἐπηρείας,
ὡς νεανίας ποτὲ
θανάτου ἀδίκου, Νικόλαε,
ἵνα σε γεραίρω ὡς ἀγαθὸν προστάτην.

f. 115 ||Ὅταν καθίσῃς ὡς Θεὸς
τοῦ ποιῆσαι ἐπὶ γῆς δικαίαν κρίσιν
μὴ εἰσέλθῃς εἰς κρίσιν
μετὰ τοῦ δούλου σου,
ἀλλά με μερίδος ἀξίωσον
τῆς τῶν σωζομένων εὐχαῖς τοῦ ἱεράρχου.

θεοτ. Ὑπερφυεῖ σου τοκετῷ
ἐμεγάλυνας ἡμᾶς, θεογεννῆτορ,
σμικρυνθέντας μεγέθει
τῶν ἀνυποίστων κακῶν·
διό σε δυσωπῶ μεγάλυνον
ἐπ' ἐμὲ συνήθως, ἁγνή, τὰ σὰ ἐλέη.

f. 116ᵛ ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Ἱερωσύνης κανόνα
f. 117 καὶ πραότητος || τύπον
γινώσκων σε, Νικόλαε σοφέ,
τὸ κατ' ἐμοῦ ἐγειρόμενον
καθ' ἑκάστην ἡμέραν
κλυδώνιον παθῶν καὶ πειρασμῶν
κατευνάσας εὐχαῖς σου
συντήρησόν με ἄτρωτον.

Ὡς ἱερώτατον σκεῦος
δεκτικὸν θείου μύρου

157-162 trop. deest in Cv 159 ἐπηρείας] προσδοκίας Vo 163-168 trop. desideratur in Ap Cv 170 θεοκυῆτορ Vo 171 μεγέθη Cv 172 ἀνυποίστων] ἀνελπίστων Cv 173 σε] σαι Cv
heirm. θ' EE 34, n. 46, Joannis 177 γινώσκω Vo 180 κλειδόνιον Cv παθῶν] ὁμοῦ Cv 181 καταυνάσας Vo 183 Ὡς] Ὦ Cv

δι' οἶκτον κενωθέντος ἐπὶ γῆς
πάντων ἡμῶν εὐωδίασον
τὰς καρδίας, τῶν Μύρων
γενόμενος, σοφέ, ἀρχιερεύς,
πειρασμῶν τὸ δυσῶδες
διώκων ταῖς πρεσβείαις σου.

Σύ μου ἱλάρυνον, πάτερ,
τὴν ψυχὴν ἀοράτως
τῷ πλήθει κακουμένην τῶν δεινῶν,
σὺ τοὺς ἀγρίους μου πράυνον
πειρασμούς, οὓς ὁ πλάνος
ἡμέρας συγκινεῖ μοι καὶ νυκτός,
f. 117v || ἀγαθός μου προστάτης
δεικνύμενος, Νικόλαε.

Ἡ φοβερὰ τοῦ δεσπότου
καὶ φρικτὴ παρουσία
ἐγγίζει· τί ποιήσεις, ὦ ψυχή,
ἁμαρτιῶν πλῆθος ἔχουσα;
σπεῦσον οὖν πρὸ τοῦ τέλους
καὶ βόησον Κυρίῳ ἐκτενῶς·
« ταῖς εὐχαῖς Νικολάου
τοῦ ἱεράρχου σῶσόν με ».

θεοτ. * « Φεῖσαί μου, Κύριε, φεῖσαι,
ὅταν μέλλῃς με κρῖναι,
καὶ μὴ καταδικάσῃς με εἰς πῦρ,
μὴ τῷ θυμῷ σου ἐλέγξῃς με »
δυσωπεῖ σε παρθένος,
ἡ σὲ κυοφορήσασα, Χριστέ,
τῶν ἀγγέλων τὰ πλήθη
καὶ ὁ κλεινὸς Νικόλαος.

---

190 ταῖς πρεσβείαις] ἱκεσίαις Cv Vo 191-198 trop. deest in Cv 193 κακουμένην] τικομένην Vo 194 ἀγρίους] ἀμέτρους Vo 196 συνκινη Vo 199-206 trop. deest in Ap 199 τοῦ om. Cv 207-214 θεοτ. PaR 125 207 Φῦσαι Cv 209 καὶ om. Cv 211 παρθένε Cv 212 Χριστὲ] σαρκὶ Vo

---

210 Ps. 37,2

IN SANCTUM NICOLAUM

Crypt. Δ.α. XIV = Cf, ff. 48-53
Vallic. gr. E 54 = Ea, ff. 2-4v
Mess. gr. 135 = N, ff. 304v(308v)-314v(318v)
Vat. gr. 2012 = Vn, ff. 184-187

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Δέχου τὸν ὕμνον, Νικόλαε, παμμάκαρ.

Ἦχος β'.

ᾠδὴ α'. *Βυθοῦ ἀνεκάλυψε πυθμένα*

Δοχεῖον τοῦ πνεύματος ὑπάρχων
δώρησαί μοι λόγον ἐν ἀνοίξει
τοῦ ὑμνῆσαί σου θαυμάτων τὰ μεγέθη,
f. 48v || ἃ ἐνεργεῖς ἐν τῷ κόσμῳ
ἅπασι, πάτερ Νικόλαε.

Ἐν σοὶ τοὺς προσφεύγοντας προθύμως
πάσης ἐπηρείας διασώζεις
καὶ λυτροῦσαι καταιγίδος καὶ ἀνάγκης
συκοφαντίας καὶ βλάβης
ἅπαντας, πάτερ Νικόλαε.

Χαράν μοι ἀκούτισον, παμμάκαρ·
πέφευγα τῇ σκέπῃ σου γὰρ ὄντως

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Νικολάου Cf Ὁ κανὼν... φέρων ἀκροστιχίδα... Ea Ὁ κανὼν... οὗ ἡ ἀκροστιχίς, quam vero rubrica silet in N

heirm. α' EE 36, n. 49, Cosmae; heirm. omnes integros exhibent N Vn 3 σου] σῶν N θαυμάτων τὰ μεγέθη] τὰ θαύματα μεγέθη Ea 6-10 trop. deest in N 6 προστρέχοντας Ea 8 cfr. v. 13 9-10 καὶ πρὸς λυμένα γαλίνης / ὅρμησον πάτερ Vn (cfr. vv. 14-15) 10 cfr. v. 15 11 τρισμάκαρ Ea 12 σκέπις Vn ὄντος N

λυτρωθῆναι καταιγίδος καὶ ἀνάγκης
καὶ πρὸς γαλήνης λιμένα
ὅρμισον, πάτερ, Νικόλαε.

θεοτ. Ὁ πάντων δεσπόζων τῶν κτισμάτων
ἐν τῇ σῇ γαστρὶ ὑπερουσίως
κατοικήσας καὶ τεχθεὶς ἀνερμηνεύτως
καὶ μετὰ τόκον παρθένον
πάλιν σε διεφυλάξατο.

f. 49 ᾠδὴ γ'. *Ἰσχὺν ὁ διδοὺς*

Ὑδάτων ζωῆς
ἐν τῇ καρδίᾳ σου πηγὴ βρύουσα
βυθίζει θανάτου ἐνοχάς,
καθαίρει περιστάσεων,
Νικόλαε θεόπνευστε·
τὴν σὴν γὰρ καταφύγιον
πρεσβείαν ἔχοντες πάντες σωζόμεθα.

Τῷ μύρῳ, σοφέ,
τοῦ νοητοῦ πνευματικῶς χρίσματος
ἐδέξω σῇ θείᾳ κορυφῇ·
διὸ καὶ ποίμνης γέγονας
θεόδεκτον θυμίαμα
Ἀρείου τε τὴν δύσφημον
ὀσμὴν διέπτυσας τῆς ἀθεότητος.

θεοτ. Ὁ αἴρων ἀμνὸς
τὴν ἁμαρτίαν τοῦ παντός, πάναγνε,

14-15 συκοφαντίας καὶ βλάβης / ἅπαντας, πάτερ Νικόλαε N Vn (cfr. supra vv. 9-10) ὅρμησον cdd. 16 Ὁ] Ἡ N Ὦ Vn δεσπόζων τῶν] δεσπόζοντα Ea 18 κατοικεῖ Cf 19 παρθένον Vn: -ος cett. cdd. 20 σε διεφυλάξατο] διαφυλάττουσα Cf σε διάφυλάξατω Ea

heirm. γ' EE 36, n. 49, Cosmae, v. 8 omnino omisso 28 malim Τὸ μύρον 29 πνευματικῷ Cf -τικοῦ N Vn χρίσματι Cf 30 σῇ] σὺ N σοὶ Vn 32 θεότευκτον Ea

35-36 Joh. 1,29

ἐκ σοῦ ἐνεδύσατο Χριστὸς
τὸν ἄνθρωπον καὶ ἔσωσε
τὸν κόσμον ὡς φιλάνθρωπος·
διό σε ὡς μεσίτριαν
ἀνακηρύττομεν τῆς σωτηρίας ἡμῶν.

f. 49v ᾠδὴ δ'. *Ἀκήκοα, Κύριε,*

Νενίκηται ἅπασα
δαιμόνων ἡ φάλαγξ
τοῖς σοῖς τροπαίοις, μάκαρ·
ἀντὶ γὰρ θώρακος
ἡ πίστις σε ὁπλίζει,
ἐλπὶς ἀντὶ πάσης φαρέτρας,
ἀγάπη, τὸ ἄτρωτον ὅπλον
τῶν ἀρετῶν φρουροῦσά σε
προασπιστὴν
ἐκ τῶν κινδύνων δεικνύει σε.

Ὑπεύθυνον ὄντα με
τῇ ἀφεύκτῳ κρίσει
ἐκ πλήθους ἁμαρτίας,
σύ, ὡς τὴν ἄδικον

37 σοῦ] σοῦ γὰρ Cf Ea N ἀνεδύσατο Cf Ea 41-ττωμεν Vn τὴν σωτηρίαν Cf EaN

Post oden γ' hoc κάθ. profert N, quod ineditum videtur:

Ἦχος πλ. β'. *Τὴν ὑπὲρ ἡμῶν* Ὡς θαυματουργὸς / καὶ μέγας ἐν ἱερεῦσιν / ὡς χάριν πολλὴν / λαβών τε (λαβόντα cd.) παρὰ Κυρίου / ἀενάως πρέσβευε Χριστῷ τῷ Θεῷ / τῶν κινδύνων ἐκλυτρούμενος / πειρασμῶν δὲ ἐξαιρούμενος / καὶ φρουρῶν (φρουρεῖς cd.) τοὺς ἀνυμνοῦντάς σε, / ὦ Νικόλαε σοφέ, / Χριστὸν δυσώπει ἀεὶ / ὑπὲρ πάντων ἡμῶν.

Vn autem καθ. « Ἀναβὰς εἰς τὰ ὕψη τῶν ἀρετῶν », Anth I, τιδ', et « Τὸν σοφὸν ἱεράρχην ἀνευφημήσωμεν », GIB 91 praebet

heirm. δ' EE 36, n. 49, Cosmae 42 Νενίκητο Vn 43 φάλαξ cdd. 45 ἀντὶ γὰρ] καὶ ἀντὶ Ea 46 ὁπλίζει] ἐλπίζει Cf 47 ἐλπὶς] εὐθεῖς Ea 48 ἀγάπης Cf N 50 προασπιστὴν Vn: πίστει θερμῇ Cf EaN π. ἐλπὶς Vn 51 τῶν ἐκ cdd. κινδύνοις Cf N Vn κινδύνων Ea 53 διὰ φηύκτω Ea 54 ἐκ πλῆθος Cf

55-59 Cfr. canon. VI, vv. 92-98.

46-48 Cfr. I Cor. 13,2,13

φρουρὰν τῶν καταδίκων
τῇ σῇ ἀδιστάκτῳ πρεσβείᾳ
ἐνδίκως ἠνέῳξας, πάτερ,
καὶ διέλυσας θάνατον,
οὕτω κἀμὲ
τῆς τότε δίκης ἐξάρπασον.

θεοτ. [Θεώμενοι πόρρωθεν
οἱ θεῖοι προφῆται
τὸ σὸν μυστήριον, παρθένε,
τὸ ἀκατάληπτον
ἐν πνεύματί σε πύλην
φωτὸς αἰδίου προεῖπον,
λυχνίαν καὶ τράπεζαν ἄρτον
ζωῆς ἡμῖν κομίζουσαν·
σὺ γὰρ ναὸς
Θεοῦ, Μαρία, γεγένησαι.]

f. 50 ᾠδὴ ε΄. *Ἰησοῦς ὁ ζωῆς ἀρχηγὸς*

Μαθητῶν τοῦ Λόγου μαθητὰ
καὶ τῆς ἀληθείας ὑποφῆτα,
τῆς πίστεως ἡ βάσις,
τῆς λατρείας δὲ
τῆς ἀμώμου διδάσκαλε,
ἀσθενούντων ἐπίσκεψις
καὶ χειμαζομένων λιμήν,
τῶν ἐν ἀνάγκαις λύτρον,
ἐκ παντοίων με πειρασμῶν
διάσωσον, δέομαι.

62-71 θεοτ. expunxi, nam acr. non attinet 65 ἀκατάλειπτον N 67 προεῖπαν Ea προσφέρων Cf 69 ζωὴν Ea κομίζουσα Cf Ea 71 Μαρία] μητέρα Vn γεγέννησαι N -ννησε Ea
heirm. ε΄ EE 36, n. 49, Cosmae 72 μαθητὰ] μαθητὴς Cf Ea μαθητῶν Vn 78 λιμὴν om. Ea 79 λύτρων Ea 80 πειρασμῶν ἐκ παντοίων με N με] μαι Ea

---

66-67 Ez. 44,2 68 λυχνίαν Zach. 4,2 τράπεζαν Ez. 44,22

Νοητῇ τραπέζῃ παρεστὼς
καὶ χοροβατῶν τοῖς ἀσωμάτοις
ἀύλως, ἱεράρχα,
εὐτυχίας τε
τῆς ἐκεῖ ἀξιούμενος
τῶν τιμώντων σε πρόστηθι
καὶ ῥῦσαι πρεσβείαις σου
τοὺς ἐν ποικίλαις νόσοις
καὶ δυσφόροις περιφοραῖς
ἀεὶ ἐκλυτρούμενος.

θεοτ. Ὁ προφήτης σὲ θεοπτικῶς
πάλαι προϋπέγραψε πύλην,
ἐξ ἧς ἀρρήτῳ λόγῳ
διελήλυθεν
Ἰησοῦς ὁ ὑπέρθεος,
ὁ πρὸ τόκου φυλάξας σε,
παρθένε, ἀνέπαφον·
διὸ ταῖς σαῖς πρεσβείαις
ἱλαστήριόν μοι γενοῦ
πρὸς τὸν σὸν υἱὸν καὶ Θεόν.

f. 50v ᾠδὴ ς΄. *Ἡ φωνὴ τοῦ λόγου*

Νευρωθεὶς τῇ πίστει
καὶ ἀγάπῃ τὸν νοῦν
καὶ τῇ ἐλπίδι
τοῦ ὀρεκτοῦ δραξάμενος,
Τριάδος ὤφθης

---

83 χοροστατῶν Ea 84 ἀΰλων Cf Ea ἀϋλῶν Vn 86 τῆς] τοῖς Vn ἐκεῖ] ἑαυτῶν Ea 89 τοῖς Cf N ἐπικοίλοις Vn ποικίλοις Cf Ea 90 καὶ δειναῖς περιστάσεσιν N Vn 93 πάλαι] πάλιν Cf προϋπέγραψέν σε Ea 94 ἐξῆς Cf Vn ἀρρήτου λόγου Cf 95 δ. γὰρ Ea 96 Ἰησοῦς] Χριστὸς Ea 98 παρθένον ἀμώλυντον N Vn ἀνέπαφον] Μαρία Ea 99 ταῖς σσαῖς Vn 100-101 τοῦτον ἵλεον ποίησον, / ἁγνή, τοῖς οἰκέταις (ἰκέτες Vn) σου N Vn
heirm. ς΄ EE 36-37, n. 49, Cosmae 105 τῶν ὀρεκτῶν δε(δρε Vn)ξάμενος N Vn

---

92-96 Cfr. sup. vv. 66-67 102-104 Cfr. sup. vv. 46-48

θεραπευτὴς καὶ μύστης καὶ λάτρης πιστός·
ὅθεν καὶ εἴληφας
τελείων χαρίτων ἀμοιβάς,
οὐρανόφρον πάτερ Νικόλαε.

Νῦν φωτὸς ἀύλου
ἀπολαύων, σοφέ,
ὡς τὴν λαμπάδα
τῶν ἀρετῶν ἀνάψας φαιδρῶς
καὶ ταῖς φρονίμοις
συνεισελθὼν παρθένοις εἰς θείας αὐλάς,
δεῖξον πρεσβείαις σου
ἐλέους τῶν θείων οἰκτιρμῶν
τὴν ἐμὴν ἐλπίδα ἀκίνητον.

Ἰατρὸς νοσούντων
τῶν ἐν βίῳ παθῶν
ταῖς πρὸς Θεόν σου
καὶ ἀδιστάκτοις, πάτερ, εὐχαῖς
καὶ τῶν μωλώπων
τῶν ἐξ ἀπροσεξίας φυέντων μοι δεινῶς·
σὲ γὰρ ἐπίσταμαι
προστάτην ἐν λύπαις ψυχικαῖς
καὶ ἠπορημένων βοήθειαν.

θεοτ. Καταχρέως ὕμνοις
ἡ παρθένος, πιστοί,
ὡς μήτηρ ὄντως
τοῦ φυτουργοῦ τῆς κτίσεως
ἀνευφημείσθω·

107 θεραπευθῆς Vn καὶ μύστης om. Ea λάτρις Ea Vn λάτρησε Cf πιστῶς Cf Ea 109 πλουσίων χ.ἀ. N πλουσίως τὴν χάριν ἐκ Θεοῦ Vn τελεί Ea χαρίτων] χαρισμάτων Cf 118 ἐλαίω Ea N Vn οἰκτιρμῶν] ἐντολῶν Vn 119 ἐλπίδα] λαμπάδα N Vn ἀκοίμητον Ea N Vn 120 νοσούντων] γενοῦ μοι N Vn 122 ἐδείχθης, πάτερ N Vn τοῖς Cf 123 ταῖς ἐπαγρύπνοις σου προσευχαῖς N Vn 125 απρὸσαξίας Vn φοιέντων Ea φυέντα Vn 127 λύπαις] πύλαις Cf 128 ἀπορημένων Cf ὑποριμένων Ea Vn βοήθεια N Vn 130 τὴν παρθένον πιστοὶ N Vn 131 καὶ θεοτόκον N Vn 133 ἀνευφημοῦμεν N Vn

115-116 Matth. 25,10

τῷ τοκετῷ γὰρ ταύτης ἐρρύσθημεν φθορᾶς
καὶ ἀνεκλήθημεν
τῆς πάλαι πικρίας καὶ ἀρᾶς
τῇ τοῦ ξύλου γεύσει φυείσης ἡμῖν.

f. 51v ᾠδὴ ζ'. *Νέους εὐσεβεῖς*

Ὁ πάσας θερμῶς
τῶν πίστει καὶ πόθῳ προστρεχόντων σοι
πληρῶν αἰτήσεις καὶ κινδύνων
ἑτοίμως ἐξαιρούμενος
μὴ παύσῃ καὶ νῦν ὑπὲρ τῆς ποίμνης σου
ἅπασαν σπουδὴν
ἐνδεικνύμενος καὶ πάντας προσποιούμενος
πρὸς τὸν Κύριον
τοῦ ἐξελέσθαι πάντοτε
πειρασμῶν τοὺς ὑμνοῦντάς σε.

Λόγῳ προσηνεῖ
καὶ πράξει πιστῶς ἀναφανεὶς εὐμενής,
θανάτου ψῆφον παρρησίᾳ
κατάκριτον ἐκύρωσας,
κριτὴς καταστὰς τῷ εὐσεβεῖ βασιλεῖ·
ὅθεν ἐμφανῶς
πιστωσάμενος τῶν ὀνείρων τὴν ἔκβασιν
ἀνεκήρυττε
τοῖς καταδίκοις λύτρωσιν,
ἐκφυγὼν τῶν τοῦ μίσους δεινῶν.

135 ἀνελκύσθημεν Ea 137 φυείσης scripsi: φυήσει Cf Ea φυεῖς N Vn ἡμῖν] μοι Ea

Post oden ς' Κοντ. « Ἐν τοῖς Μύροις, ἅγιε » et οἶκ. « Ἀνυμνήσωμεν νῦν » praebent N Vn, quae vide supra in canon. V

heirm. ζ' EE 37, n. 49, Cosmae 138 Ὁ πᾶσι θερμὸς N Vn 140 κινδύνους Cf Vn 141 ἐξερούμενος Ea 144 προσκαλούμενος N Vn 148 προσηνεῖ] προσκυνῆ Cf προσυνῆ Ea προσηνῶς N 149 ἀναφανεὶς] ἀναμενῆς Cf εὐμενεῖς Ea εὐμενῶς corr. εὐμενῆς in N 150 θανάτω ψίφω N 151 ἀκατάκριτον Cf 152 καταστὰς] ἐπιστὰς N παραστὰς Vn 155 ἀνεκήρυττες Ea ἀνακήρυττεν Vn 156 τῆς N Vn καταδίκης Cf N Vn 157 ἐκφυγὸν N τῶν] τὸ Cf Ea δεινὸν Cf δεινῶς Ea

148-157 Cfr. canon. VI, vv. 145-147.

Ἀύλῳ πυρὶ
καὶ πνεύματι θείῳ πυρπολούμενος
εὐπρόσδεκτον ἐδείχθης
τοῦ Θεοῦ καλλιέρημα·
καὶ νῦν, θεουργὲ πάτερ Νικόλαε,
ἔχων πρὸς αὐτὸν
ἀνενδοίαστον παρρησίαν, ἱκέτευε
ἐν τῇ μνήμῃ σου
τῶν ἐπταισμένων ἄφεσιν
δωρηθῆναι τῇ ποίμνῃ σου.

θεοτ. Ἐξίσταται νοῦς
τῆς σῆς ἀπαγγεῖλαι τὸ μυστήριον
κυοφορίας, θεοτόκε,
καὶ συνέχεται γλῶσσα βροτῶν
τρανῶς ἐκλαλῆσαι τὰ τοῦ τόκου σου·
πῦρ γὰρ ὑπὲρ νοῦν
ἐν τῇ μήτρᾳ σου συλλαβοῦσα θεότητος,
ὡς ἡ βάτος πρίν,
f. 52 διετηρήθης || ἄφλεκτος,
ὄντως θαῦμα παράδοξον.

ᾠδὴ η΄. *Μυστήριον παράδοξον*

Παραδείσου τὴν εἴσοδον
παραχωρεῖ σοι τὰ νῶτα
στρέφουσα φλογίνη ῥομφαία
καὶ ζωῆς τοῦ ξύλου σοι
εὐκαίρως μεταδίδωσι·

158 Ἀΰλου φωτὶ N Ἀΰλου πυρὸς Vn 159 πνεύματος θείου Vn 160 εὐπρόσδεκτος Cf 161 καλλιέρησμα Ea 164 ἀνενδοίαστον om. Cf ἀνενδίαστων Ea -στον N Vn 167 τῇ ποίμνῃ σου] τοῖς δούλοιςσου Ea 169 ἀναγγεῖλε Ea 170 κυοφορίσας Cf 171 συνέχετο Vn 172 ἐκλαλῆσαι] ἐξαγγεῖλαι N Vn 176 διετήρησας Cf διετηρήθη Vn 177 ὄντος Vn
heirm. η΄ EE 37, n. 49, Cosmae 179 παραχωρή Ea Vn σοι] σου Cf 180 φλογίνην Ea 181 καὶ] τῆς Cf N Vn τοῦ ξύλου] τὸ ξύλον Cf N Vn σοι] σου Cf δὲ N 182 εὐκερὸς Vn

175 Ex. 3,2 178-181 Gen. 3,24

διὸ χαρᾶς τρανοτέρας
καὶ θείας ἀπολαύεις τοῦ κτίστου,
ὃν εὐλογοῦσι λαοὶ
καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἀπείρων ἀντιδόσεων
καὶ ἀμοιβῶν ἀκηράτων
ἔτυχες ὑπὲρ τῶν ἐν βίῳ
πεπραγμένων πόνων σου·
θαυμάτων γὰρ ἀπείληφας,
θεομακάριστε πάτερ,
τὴν χάριν καὶ πρεσβεύεις εὐτόνως
καὶ ἐκ ποικίλων ἀεὶ
σώζεις συμπτωμάτων τοὺς πίστει σε ὑμνοῦντας.

Μωσῆν ἐχαρακτήρισας
f. 52v τῇ πραοθύμῳ γαλή||νῃ
ὅλον τε Δαβὶδ ἀκακίᾳ·
διὰ τοῦτο γέγονας
ποιμένων ὑποτύπωσις,
δημαγωγὸς καὶ προστάτης
καὶ πάντων κηδεμὼν τῶν ἐν βίῳ,
τῶν ἀπορούντων λιμὴν
καὶ τῶν πλανωμένων εὐθεῖα ὄντως τρίβος.

θεοτ. Μόνην σε τὴν πανάμωμον
ἁγνὴν παρθένον μητέρα
ἔχοντες ἀεὶ προστασίαν
τῶν ἐχθρῶν τροπούμεθα
τὰς ἀοράτους φάλαγγας
καὶ ὁρατῶν περιστάσεις

183 διαχαρᾶς Ea 184 ἀπολαύσης Ea 186 post ὑπ(ερυψοῦσιν) orat. varie detruncant cdd. 190 σοι Ea 193 πρεσβεύειν Ea βραβεύεις N Vn εὐτόνως] συντόνως Ea N Vn 195 τοὺς σὲ ἀνευφημοῦντας Ea 196 Μωσῆς ἐχαρακτήρισεν Vn -ρησας cett. cdd. 198 ὅλον] ᾄδων Cf ἀκακίᾳ scripsi: ἀκακίαν cdd. 200 ποιμαίνων Ea ὑποτύπωσιν Cf 202 κ. π. κηδεμόνων τῶν βίω Ea 204 εὐθεῖαν ὄ. (ὄντως om. Cf) τρίβον Cf Ea 206 μητέρα om. Cf μητέρα παρθένον Ea Vn 210 περιστάσεις] ἐπιστάσεις Ea

καὶ πᾶσαν προσβολὴν ἐναντίων·
ὅθεν σε πάντες βροτοὶ
μόνην θεοτόκον πιστῶς ὁμολογοῦμεν.

ᾠδὴ θ'. *Ἀπορεῖ πᾶσα*
γλῶσσα εὐφημεῖν πρὸς ἀξίαν

Ἀποθεμένη
πᾶσαν πρὸς Θεόν, ὦ ψυχή μου,
τὴν σὴν ἐλπίδα,
πρόσελθε πιστῶς ἐν μετανοίᾳ, μεσιτείαν
τὴν πρὸς ἱλασμὸν καὶ ἄφεσιν
τῶν ἐγκλημάτων
τὸν θεουργὸν εὑροῦσα Νικόλαον θερμόν,
f. 53 ὅπως καὶ ‖ τῶν τοῦ βίου ῥυσθήσῃ νῦν περιστάσεων.

Καθηλώθη σου
σὰρξ μετὰ σαρκὸς θείῳ φόβῳ,
νοῦς δὲ διέστη
ὅλως πρὸς Θεὸν δι' ἐγκρατείας καὶ συνήφθης,
σῶμα πεφυκώς, ἀΰλοις χοροῖς·
διό με, πάτερ,
κεχερσωμένον λύπῃ παθῶν βιωτικῶν
σπεῦσον καὶ καρποφόρον ἀνάδειξον ταῖς πρεσβείαις σου.

Ἀνευφημείσθω
στόματι πιστῶν καὶ καρδίαις

211 καὶ πάσης προσβολῆς ἐναντίας Cf Vn καὶ -ας -ὰς -ίων N 212 βροτοὶ] πιστοὶ Ea N πιστεὶ Vn 213 πιστῶς] ἁγνὴ Ea

heirm. θ' EE 37, n. 49, Cosmae heirm. 2 εὐφημῆσαι Cf 217 μεσιτεία Ea N Vn 218 τὴν] καὶ Ea 220 θεουργῶν Ea εὑροῦσα] ὁρῶσα Cf 221 σκέπην, δι' ἧς τοῦ βίου ῥυσθῆναι τῶν περιστάσεων Ea ῥυσθήσῃ pro ῥυσθῇς Cf N (cfr. infra pp. 263 et 582: ἵνα ἕξεις, ἵνα γενήσεται ρησθῆναι Vn 222 Καθηλωθείς σοι Cf N Vn 223 μετὰ] κατὰ Ea N Vn θείῳ φόβῳ] θείου πόθου N Vn 224 διέστη] δι ἔτι Ea διέτει Vn 225 συνήφθη Vn 227 μοι Cf 228 κεχερσωμένων Cf λύπῃ] ὕλην Ea θλίψει N 231 στόματι] χείλεσιν Ea N Vn καρδίας Ea

ὁ ἱεράρχης,
ὡς θαυματουργὸς καὶ θεῖος κῆρυξ ἐν τῷ κόσμῳ
καὶ τῆς ἀληθείας πρόμαχος
καὶ καθαιρέτης
τῆς τοῦ Ἀρείου πλάνης καὶ σκέπη καὶ λιμὴν
πάντων τῶν ἐν κινδύνοις καὶ λύπαις καὶ περιστάσεσιν.

θεοτ. Ῥάβδον σε θείαν
εἶδε τυπικῶς Ἠσαΐας,
ὄρος δὲ πάλιν
βλέπει Δανιήλ, ἐξ οὗ, παρθένε, ἀπετμήθη
λίθος ἀλάξευτος Θεὸς
καί, τοὺς ἐν ᾅδῃ
μοχλοὺς συντρίψας, ἤνοιξε πᾶσι διὰ σοῦ
πύλην τῆς σωτηρίας τοῖς πίστει δοξολογοῦσί σε.

233 ἐν τῷ κόσμῳ] τῶν δογμάτων Ea 234 πρόβολος Ea N Vn 236 σκέπει Cf Ea Vn 237 πάντων τῶν ἐν κινδύνοις πελόντων καὶ περιστάσεων Ea πάντων τῶν] καὶ τὸν Cf καὶ περιστάσεσιν] ταχεῖα λύτρωσις Vn 239 ἴδεν Cf Ea Vn 241 ἐξ οὗ] ἐκ σοῦ Cf N Vn 242 λίθως ἀλοξεύτως λόγω Χριστὸς Ea λίθος ἀλοξεύτως Λόγος Θεὸς (Θεοῦ Vn) N Vn 244 διήνοιξεν Cf 245 πύλας Ea τῆς] καὶ N Vn τοῖς] τοὺς Vn

232-236 Anrich, *Hagios Nikolaos*, 126: Οὕτω μὲν οὖν ἐκεῖνος ἐφρόνει τε καὶ ἐδίδασκε τὸν περιούσιον τοῦ κυρίου λαὸν τῶν περὶ θεολογίας ἀντέχεσθαι δογμάτων, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας τῶν ἀθεωτάτων Ἀρειομανιτῶν ... κατ' ἐκεῖνο καιροῦ τὴν οἰκουμενικὴν ἐπικλυζόντων ὁλκάδα...

238-239 Is. 11,1 240-242 Dan. 2,35 243-244 Ps. 106,16

6 DEC.

CANON VIII

IN SANCTUM NICOLAUM

Synaxaria Selecta, 281-284: ..... Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων, πρότερον τῇ μοναδικῇ πολιτείᾳ διαπρέψας καὶ δι' ὑπερβάλλουσαν ἀρετὴν τὴν ἀρχιερωσύνην δεξάμενος. Ἐπεὶ δὲ τὰ χριστιανῶν ἦν πρεσβεύων καὶ τὴν εὐσέβειαν κηρύττων ἐλευθέρᾳ φωνῇ, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων τῆς πόλεως· καὶ πληγαῖς καὶ στρεβλώσεσι παρ' αὐτῶν ὑποβληθείς, τῇ εἱρκτῇ ἐναπορρίπτεται μετὰ τῶν ἄλλων χριστιανῶν. Τοῦ δὲ μεγάλου καὶ εὐσεβοῦς Κωνσταντίνου τὴν βασιλείαν τῶν Ῥωμαίων ψήφῳ Θεοῦ ὑποζωσαμένου, ἀφίενται οἱ κατάκλειστοι τῶν δεσμῶν· μεθ' ὧν καὶ ὁ μέγας Νικόλαος ἀφεθεὶς τὰ Μύρα κατέλαβεν. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος συναθροίζεται ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου· ἧς μέρος καὶ ὁ θαυμαστὸς Νικόλαος γίνεται. Οὗτος μὲν πολλὰ καὶ ἄλλα ἐποίησε θαύματα, ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Διέσωσε δὲ καὶ συκοφαντηθέντας ἄνδρας τρεῖς καὶ ἀδίκως μέλλοντας ἐξελθεῖν τῆς ζωῆς. Ὡς γὰρ τὸν ἐνστάντα καιρὸν ⟨καθ' ὃν⟩ ἔμελλον ἀποτέμνεσθαι ἐν φυλακῇ ὄντες ἔμαθον, τὸν ἅγιον εἰς βοήθειαν ἐπεκαλέσαντο, ὑπομνήσαντες αὐτὸν τοιαύτας εὐεργεσίας, ἃς ἐποίησε τρεῖς ἄνδρας ἐν τῇ Λυκίᾳ ἀναιρεῖσθαι μέλλοντας διασώσας. Ὀπτάνεται οὖν ὁ ἅγιος ὄναρ τῷ βασιλεῖ καὶ τῷ ὑπάρχῳ, τῷ μὲν ὑπάρχῳ ἐπιτιμῶν διὰ τὴν εἰς τοὺς ἄνδρας πρὸς τὸν βασιλέα διαβολήν, τὸν δὲ βασιλέα διδάσκων ὡς ἀνεύθυνοί εἰσιν καὶ διὰ φθόνον αὐτῷ τῆς καθοσιώσεως ἐγκλήματι ὑπεβλήθησαν. Ὅθεν αὐτοὺς λυτροῦται τῆς ἐπικειμένης ἀνάγκης· καὶ ἕτερα πλεῖστα τεράστια ἐκτελέσας καὶ ἱερῶς τὸν ὀρθόδοξον ποιμάνας λαὸν καὶ εἰς βαθὺ γῆρας ἐληλακὼς πρὸς Κύριον ἐξεδήμησεν, οὐδὲ μετὰ τέλος τοῦ ποιμνίου ἐπιλαθόμενος ἀλλὰ καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν καὶ ὥραν τὰς εὐεργεσίας αὐτοῦ τοῖς δεομένοις ἐπιδαψιλευόμενος.

Vallic. gr. E 54	= Ea, ff. 7-10^{v}
Sinait. gr. 592	= Σd, ff. 8^{v}-10^{v}
Crypt. Δ.α. XXIV	= Cy, ff. 19-22
Marc. gr. II, 166	= Z, ff. 138^{v}-139^{v}

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ
τῷ διελόντι θάλασσαν

Νῦν ἐξαιτῶ,
ὅσιε πάτερ Νικόλαε,
τὴν σὴν πρεσβείαν δοῦναί μοι
λόγῳ ὑμνῆσαί σου
τὸν ἐνάρετον βίον
καὶ ᾆσαι μετὰ τέλους
τὰ σὰ θαυμάσια.

Ἰδοὺ λοιπὸν
ἄρξομαι λέγειν τὰ θαύματα,
ἃ ὁ Θεὸς παρέσχε σοι
ἀπὸ γαστρὸς μητρός,
πῶς τεχθεὶς ἐκ τῆς Νόννας
ἔστης ἐπὶ τοὺς πόδας
ὡς δύο ὥρας ὀρθός.

---

tit. Ἕτερος κανὼν τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου Ea Οἱ κανόνες Σd heirm. α' EE 37-38, n. 51, Cosmae 1-14 rasurae causa non leguntur in Z 4 λόγῳ] ὅπως Σd 9 ἄρχομαι Cy 12 πῶς] ὡς Ea Νόννας] μήτρας Σd 13 ἔστης] καὶ στὰς Ea 14 ὀρθῶς Ea

---

8-14 Anrich, *Hagios Nikolaos*, 4: ... ηὐδόκησεν ὁ δεσπότης τῶν ὅλων κυοφορεῖσθαι ... παιδίον ἐκ πατρὸς μὲν Ἐπιφανίου, μητρὸς δὲ Νόννας. καὶ ἰδόντων τὸ παιδίον λίαν εὐάρεστον τῷ θεῷ ... ἐπωνόμασαν τὸ ὄνομα αὐτοῦ Νικόλαον. ἅμα γὰρ τῷ κυηθῆναι αὐτόν, ὄντα ἔτι ἐν τῇ σκάφῃ, τῇ τοῦ θεοῦ δυνάμει ἔστη ἐπὶ τοὺς πόδας αὐτοῦ ὀρθὸς ὡς ὥρας δύο.

Καταπλαγεὶς
ἐκ τούτου ὁ σὸς πατράδελφος
ἐνθέως προεφήτευσε·
« μέγα γενήσεται
ἐναντίον Κυρίου
τὸ βρέφος, οὗ ἡ κλῆσις
ἔσται Νικόλαος ».

Ὡς δὲ τροφὴν
ἔλαβες ἀπὸ μασθῶν τῆς μητρὸς
καὶ ἀνδρισθεὶς ἐν χάριτι
τρυφὴ ἐδόθη σοι
τῶν πανιέρων λόγων
καὶ μελετᾶν τὰ θεῖα
Χριστοῦ θαυμάσια.

Λοιπὸν πληρῶν
Παύλου τὰ θεῖα, μακάριε,
ἐκ βρέφους τὰ πανίερα
γράμματα ἔμαθες

---

16 ἐκ] τῆς Z 17 εὐθέως πρόὄρησε Σd ἐπροφύτευσεν Cy 18 μέγας κληθήσεται Σd μέγας Cy Z 20 βρέφος σου Ea βρέφουσου Z κλήσεις Ea κλίσις Cy 21 ἐστὶν Σd Νικόλαε Ea Z 22-28 trop. deest in Σd 22 τροφῆς Ea 23 ἔλαβεν Ea μασθὸν Ea 24 καὶ ἀνδρισθεὶς ἐν πνεύματι Cy ἀνδριθεὶς Ea ἀνδρυνθὲν Z 25 ἐπαιδαγώγησας Ea ἐδόθης τρόφιμος Z τρυφῆς Cy 26 τὸ πανίερον λόγον Ea τὸν ἀγῶνα τὸν θεῖον Z 28 θαυμάσια] τεράστεια Cy Z 29-35 trop. deest in Cy Z 30 τὰ θεῖα] τὸν λόγον Σd

---

15-21 ANRICH, *Hagios Nikolaos*, 4: ... καὶ ἔμφοβοι γενάμενοι οἱ γονεῖς αὐτοῦ ἐδόξασαν τὸν θεόν. καὶ ἀπελθόντες ἐν τῇ μονῇ τῶν Ἀκαλισσέων πρὸς τὸν ὅσιον ἄνδρα Νικόλαον, τὸν θεῖον τοῦ παιδίου, εἶπον αὐτῷ τὰ τῆς κυήσεως τοῦ παιδίου καὶ πῶς ὀρθὸς ἔστη ἐν τῇ σκάφῃ μέχρι δύο ὡρῶν. καὶ προσευξάμενος εἶπεν· « Δόξα σοι, ὁ θεός, ὅτι ἐγεννήθη ἡμῖν ἄνθρωπος δοῦλος τοῦ θεοῦ ». ... « Οὗτος γὰρ θελήματι θεοῦ ἐγεννήθη, ὃς δοξάσει τὸν θεὸν ἐν τῷ τόπῳ τούτῳ ».

22-28 ANRICH, *Hagios Nikolaos*, 115: Ἐπεὶ δὲ τεχθεὶς ὁ ἐκ κοιλίας μητρὸς θεῷ ἡγιασμένος Νικόλαος τῷ μητρῴῳ μαζῷ βρεφοπρεπῶς ἀπετρέφετο, δείκνυσι κἀνταῦθα ὁ κύριος, θαυματουργῶν συνήθως ἐν τοῖς αὐτῷ προεγνωσμένοις θεράπουσιν, ὁποῖος ἔσται τὴν πολιτείαν τῷ μετὰ ταῦτα βίῳ ὁ μέγας Νικόλαος.

30-32 II Tim. 3,15

ἀνδρισθεὶς δὲ ὁσίως,
Νικόλαε παμμάκαρ,
ἐπολιτεύθης καλῶς.

7v θεοτ. ‖ Ὑπὸ τῆς σῆς
χάριτος καταλαμπόμενος
χριστιανῶν ὁ ἔσχατος
νῦν ἀπετόλμησα
ἐν ᾠδαῖς ἀνυμνῆσαι
τὸν μέγαν ἱεράρχην
καὶ σὲ τὴν ἄχραντον.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ σώσας

Ἀνατραφεὶς καλῶς
γέγονας τέλειος
καὶ τῷ Κυρίῳ θέλων
εὐαρεστῆσαι, τρισμάκαρ,
καλῶς διέπρεψας
ἐν νηστείαις καὶ πόνοις,
Νικόλαε σοφέ·
ὅθεν τὸ φρόνημα τῆς σῆς
σαρκὸς ἀπονεκρώσας
ἐγένου ὡς ἀληθῶς
ἐπίγειος ἄγγελος.

Ὄντως, πανίερε,
γέγονας ἄγγελος,
ὅτι τῆς γῆς φροντίδας

---

33 ἀνδριν(υν Σd)θεὶς Ea 35 ἐπολιτεύσω Σd καλὸς Ea 36-42 aliud θεοτ. praebet Z: Σωματικῶν / ἀρρωστημάτων με λύτρωσαι, ETh 230; cfr. etiam sup. canon. VI, vv. 22-28 36 Ὑπὸ] Ἀπὸ Cy 39 νοεῖν ἐτόλμησα Σd 41 μέγαν] θεῖον Σd

heirm. β' EE 41, n. 55, Joannis 43-97 ode β' desideratur in Σd Cy Z

50-53, 54-55 ANRICH, *Hagios Nicolaos*, 154: Οὗτος τοίνυν ὁ ἐπίγειος ἄγγελος καὶ οὐράνιος ἄνθρωπος ...

παντοδαπῶν καταλείψας
ἐπολιτεύσω καλῶς
καὶ ζυγὸν ἁμαρτίας
ἐξέφυγες, σοφέ,
τὸν δὲ Κυρίου σου σταυρὸν
ἄρας ἐπὶ τῶν ὤμων
ἐπλήρωσας ἀληθῶς
τὰ τούτου προστάγματα.

Ὑπὸ τοῦ πνεύματος,
πάτερ, θαλπόμενος
τὰς τῶν παθῶν πυρώσεις
καὶ ἁμαρτίας τὴν φλόγα,
μάκαρ, κατέσβεσας
καὶ οὐρανοπολίτης
ἐδείχθης ἀληθῶς·
κατηξιώθης δέ, σοφέ,
ἐπὶ θρόνου καθίσαι,
καθέδρα πρεσβυτέρων,
ἱερουργῶν τῷ Θεῷ.

Νοῦν καθαρώτατον,
πάτερ, κτησάμενος
ναὸν Θεοῦ ἐνδόξως
ἀνοικοδόμησας μέγαν
τῆς παναγίας Σιὼν
ἀναιμάκτῳ θυσίᾳ
προσφέρων ἑαυτὸν
τῷ ἀρχιποίμενι Χριστῷ
καὶ ποιμάνας ὁσίως
τὸ ποίμνιον τοῦ Χριστοῦ
μέγας ὄντως γέγονας.

θεοτ. Μὴ ὑπερίδῃς με,
ἄχραντε δέσποινα,

77 κτισάμενος cd. 79 ἀνοικοδόμησας sic, cd., sine incremento, cf. Psaltes 202 81 ἀναιμάκτου θυσίας cd.

59 Gal. 5,1 61-62 Matth. 16,24; Marc. 8,34

τὸν ἁμαρτίας πάσης
πεπληρωμένον, τολμῶντα
ὕμνον προσάξαι σοι,
ἀλλὰ τράνωσον γλῶτταν
ἐμοῦ τοῦ εὐτελοῦς
καὶ καταξίωσον κἀμὲ
ἐπαξίως ὑμνῆσαι
Νικόλαον τὸν σοφὸν
καὶ σὲ τὴν πανύμνητον.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Ἡ ἄβυσσος τῶν σῶν
θαυμάτων, ὅσιε,
ἐκπλήττει
τοὺς πόθῳ ἀκηκοότας
τὰς ἰάσεις καὶ τὰ θαύματα,
ἃ ἐποίεις ἐν Μύροις, ἱερώτατε.

f. 8 || Τὰ θαύματα εἰπεῖν
γλῶσσα οὐ δύναται
ὡς ἔστιν
ἐπάξια διηγεῖσθαι·
ἀλλὰ πάντα καταλείψαντες
ἐρευνῶμεν πῶς λύει τοῦ θανάτου ὁρμάς.

Ἀφθόνως μοι δίδου,
σοφὲ Νικόλαε,
λαλῆσαι
τὴν δόξαν σου ἐν τῷ κόσμῳ

89 πάσης scripsi: πᾶσιν cd. 90 πεπληρωμένον scripsi metri causa: πληρωμένον cd. 91 προσάξε cd.

heirm. γ' EE 39, n. 53, Cosmae 98-103 trop. deest in Z 106 χωρεῖσε Z 107 ἐπάξιως Ea ἐπάξιον Cy ἐπαξίως Z 108 καλείψαντες Ea καταλήψαντες Z 109 ἐρευνῶν με Z πῶς] ὡς Ea λύεις Σd Cy 110-115, 116-121 trop. praepostero ordine prodit Z 110 δίδου] διδοὺς Ea Σd Z 112 τὴν δόξαν Cy 113 λαλῆσαι τὴν σὴν ἐν κόσμῳ Cy

καὶ κηρῦξαί σου τὰ θαύματα
ἔνδοθεν τοῦ ναοῦ σου, πολυθαύμαστε.

Σταθέντες, ἀδελφοί,
μικρὸν ἀκούσατε
τοὺς λόγους
ἐμοῦ τοῦ εὐτελεστάτου·
ἐξερεύξομαι γὰρ ῥήματα
πῶς κουφίζει Νικόλαος θανάτου ὁρμάς.

τριαδ. Νοός μου τὴν ἀχλὺν
ταῖς σαῖς λάμπρυνον
ἀκτῖσι,
τὸ ἄδυτον φῶς τοῦ κόσμου,
ὁμοούσιε τρισάναρχε,
ὁ Πατήρ, ὁ Υἱὸς καὶ Πνεῦμα ἅγιον.

θεοτ. Ὁ ἔσχατος πάντων
ἀνθρώπων, ἄχραντε
Μαρία,
ἐν πίστει σε μακαρίζω·
σὲ γὰρ πάντα τὰ συστήματα
μακαρίζειν ἀεὶ προανεφώνησαν.

ᾠδὴ δ'. *Τὴν ἐκ παρθένου σου γέννησιν*

Ἰδοὺ ὡς ἦλθεν ὁ ὅσιος
ἐν τῷ τόπῳ καὶ εὗρε

115 ἃ ἐποίεις ἐν Μύροις ἱερώτατε Z; cfr. supra v. 103 121 πῶς] ὡς Ea κοφήζει Ea ὁρμὴν Σd 122-127 in loco huius τριαδ., quod om. Cy Z, hoc trop. profert Σd: Τὸ ποίμνιον Χριστοῦ / ἐπισκεπτόμενος / ἐν Μύροις / τρεῖς φόνους ἄφνω ἀκούσας / ἐν τῇ πόλει ἐγγενάμενος (ἐνγενάμενος cd.) / τοῦ προφθάσαι δρομαίως κατεσπούδαζεν. 133 ὡς μητέρα Θεοῦ σε καταγγέλλουσιν Cy ἀεὶ] πιστῶς Σd σαφῶς Z προανεφώνησας Σd -σεν Z post oden γ' κάθ. «Ἀναβὰς εἰς τὰ ὕψη τῶν ἀρετῶν», Anth I, τιδ', praebent Σd Z; Σd vero et κάθ. «Τὴν πηγὴν τῶν θαυμάτων» profert, quod vide sup. in canon. V
heirm. δ' EE 43, n. 57, Andreae

134-141 ANRICH, *Hagios Nikolaos*, 69-70: ... δραμὼν οὖν εὐθὺς ὁ ἅγιος καὶ ἀποσπάσας τὸ ξίφος ἀπὸ τοῦ σπεκουλάτωρος ἔρριψε πόρρω. αὐτοὺς δὲ λύσας τῶν δεσμῶν ἤγαγεν ἐν τῇ πόλει...

δεδεμένους τοὺς ἄνδρας
λαβὼν τὸ ξίφος ἐκ τῆς χειρὸς τοῦ ὑπηρέτου
ἔρριψε μακρόθεν·
τοὺς δεσμίους δὲ λύσας
ἀπέλυσε
πορευθεὶς ἐν εἰρήνῃ.

Νῦν, ὡς τοὺς ἄνδρας ἀπέλυσεν,
εἰσελθὼν ἐν τῇ πόλει
ὁ ἐξαίσιος ἀνὴρ
τῷ ἡγεμόνι κατήγγειλε μὴ ποιεῖν φόνους·
οἱ δὲ στρατηλάται
ταῦτα πάντα ὁρῶντες
προσέπιπτον
τοῖς ποσὶ τοῦ ἁγίου.

Παραλαβὼν ὁ πανίερος
τοὺς τρεῖς στρατοπεδάρχας
συνευφράνθη μετ' αὐτῶν,
δοὺς δὲ αὐτοῖς τὴν εὐχὴν αὐτοῦ καὶ εὐλογίαν
ἔφη· « πορευθέντες
εἰς τὰ μέρη Φρυγίας,
διώξατε
πάντας τοὺς ἀλλοφύλους ».

137 χειρὸ Cy 138 μακρόθεν] πόρρωθεν Z 141 ἐν εἰρήνῃ παρευθὺς Cy πορευθεὶς] πορευθῆναι Ea Z ἐν εἰρήνῃ] ἐν χαρᾷ Z 143 ἐν τῇ πόλει] εἰς τὸ μέσον Σd 144 ἐξαίσιος] θεσπέσιος Cy Z 145 τὸν ἡγεμόνα Ea Σd κατήγγελλεν Cy παρήγγειλε Z 147 πάντα om. Z 153 αὐτοὺς Σd εὐλογήσας Σd 155 εἰς] καὶ Cy μέρει Cy Z 156 διώξαντες Cy

142-145 ANRICH, *Hagios Nikolaos*, 70: ἀκούσας δὲ ὁ ἡγεμὼν ... τὴν τοῦ ἁγίου παρουσίαν, δρομαίως ἐξελθὼν προσεκύνησεν αὐτόν. ὁ δὲ ἀπώσατο αὐτόν, λέγων τὰ ἄξια αὐτῷ, ἱερόσυλον καὶ αἱμοπότην ...
150-157 ANRICH, *Hagios Nikolaos*, 71: Οἱ δὲ στρατηλάται, μετὰ τοῦ ἁγιωτάτου ἐπισκόπου εὐωχηθέντες, παρεκάλεσαν αὐτόν, εὐχὴν τελέσαι ὑπὲρ αὐτῶν. λαβόντες δὲ παρ' αὐτοῦ εὐλογίας καὶ συνταξάμενοι αὐτῷ, ἀπέπλευσαν ἐκεῖθεν. καὶ κατήντησαν εἰς τὴν Φρυγίαν, καὶ κατειρήνευσαν τοὺς τόπους ἐκείνους ...

Ὡς τοὺς ἐχθροὺς ἐτροπώσαντο
ταῖς εὐχαῖς Νικολάου
f. 8v || ὑποστρέψαντες καλῶς
καὶ ἀναχθέντες ἐδέξαντο δοχὴν μεγάλην
ἐκ τοῦ βασιλέως
δῶρά τε καὶ ἀξίας
εἰληφότες
οἱ τρεῖς στρατοπεδάρχαι.

Λοιπὸν ὡς ἦσαν ἀμφότεροι
ἔνδον τοῦ παλατίου
εὐφραινόμενοι λαμπρῶς
φθόνος δὲ τούτοις ἐπέπεσεν ἐκ τῶν ἀθέσμων·
χρυσίον γὰρ δόντες
τῷ ἐπάρχῳ τῷ τότε
δεσμουμένους
καὶ τούτους ἀποκλείει.

Ἰδοὺ ὁ ἄναξ ἐκέλευσεν
Ἀβλαβίῳ τοὺς ἄνδρας

158-181 trop. desunt in Z 158-165 trop. om. Cy 160 ὑποστρέφοντες ἅμα Ea 161 ἀνεχθέντες Ea ἐδέχθησαν Σd 166 Λυπὸν Cy 169 τούτοις] ταύτοις Ea τούτους Σd ἀθέσμων] ἀφθόνως Σd 170 δόντες χρυσίον δὲ Cy χρυσίων Ea 171 ἐπάρχῳ] ὑπάρχον Σd τῷ τότε] νυνὶ γὰρ Ea 172 δεσμοκλείους Ea διὰ φθόνον Σd 173 δεσμῶν κλεῖον τοὺς ἄνδρας Σd πεποιήκασιν σαφῶς Cy 175 Ἀβλαβείω Σd

158-165 ANRICH, *Hagios Nikolaos*, 71: ... ἐκ μέσου ποιήσαντες πάντας τοὺς στασιάζοντας καὶ μαχίμους ... ἐπανῆλθον εἰς τὴν πανευδαίμονα Κωνσταντινούπολιν. καὶ μεγάλη αὐτοῖς ἀπαντὴ ἐγένετο ... ὡς ἐπινίκια καὶ τρόπαια φερόντων ... καὶ ἦσαν ἐν τῷ παλατίῳ ἐνδόξως τιμώμενοι.

166-173 ANRICH, *Hagios Nikolaos*, 71: Ζῆλος δὲ αὐτοῖς ἐκ τοῦ διαβόλου ἐγένετο ὑπὸ τῶν ἐκεῖσε στρατηλατῶν. καὶ ἔπεισαν Ἀβλάβιον τὸν ἔπαρχον, ὡς ὅτι ἐπίβουλοί εἰσι τῆς βασιλείας... ταῦτα εἰπόντες, ὑπισχνοῦνται αὐτῷ καὶ δῶρα δώσειν, χρυσίου λίτρας χιλίας ἑπτακοσίας.

174-181 ANRICH, *Hagios Nikolaos*, 73: ὁ δὲ βασιλεὺς ... ἐκέλευσεν αὐτοὺς διὰ τῆς νυκτὸς ξίφει ἀναιρεθῆναι. ὁ οὖν ἔπαρχος ἐπιτραπεὶς ἐξαπέστειλε πρὸς τὸν καπικλάριον ...

Ὁ δὲ καπικλάριος Ἱλαρίων ἀκούσας ἐλυπήθη λίαν, καὶ μετὰ δακρύων εἶπεν αὐτοῖς· « Ἄνδρες τίμιοι καὶ κύριοί μου... πλέον ἀλγῶ καὶ θλίβομαι λαλῶν μεθ' ὑμῶν, ὅτι ἀπ' ἀλλήλων ἤδη χωριζόμεθα, ἐπειδὴ ἐκελεύσθητε διὰ τῆς νυκτὸς ἀποθανεῖν ...»

σφάξαι ἀνεξετάστως·
ὁ δὲ δεσμάρχης εἰσέρχεται κλαίων καὶ λέγων
πρὸς τοὺς στρατιώτας·
« ἐκελεύσθητε, ἄνδρες,
ἐν τῷ ξίφει
ἐκτμηθῆναι τὰς κάρας ».

θεοτ. * Σωματικοῖς κατερρύπωσα
πάθεσι τὴν ψυχήν μου
ὁ πανάθλιος ἐγώ·
ἀλλ' ἐπὶ σοὶ γάρ, θεόνυμφε, πίστει προστρέχω,
δέξαι μου τὸν ὕμνον,
ἄκουσον τῆς φωνῆς μου
καὶ ἴασαι
τῆς ψυχῆς μου τὰ πάθη.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγός*

Τότε οἱ ἄνδρες οἱ τρεῖς
ὀλολυξάμενοι σφοδρῶς ἔκραζον
πρὸς τὸν Θεὸν
τύπτοντες τὰ στήθη,
σπασάμενοι κόνιν,

178 στρατηλάτας Σd Cy 179 ἐκελεύθητε Σd 180 διὰ ξήφους Cy 181 τμηθῆναι τὴν κεφαλὴν Σd 182-189 θεοτ. NTh 26 182 Σωματικῶς Ea Σd Cy 184 καὶ ὁ π. ἐ. Cy 185 ἀλλ' ἐπὶ σὲ τὴν ἀμώμητον Κόρη NTh γὰρ om. Σd Cy Z θεονύμφευτε Σd Cy Z 186 ὅθεν μή με παρίδης NTh 187 τῆς φωνῆς] τοῦ κλαυθμοῦ NTh 188 καὶ πρόσδεξαι Σd Cy Z NTh 189 τῆς ψ. τὸν στεναγμὸν Σd τὰ πάθη] τὸν (τὸν om. NTh) πόθον Cy NTh τὸν ὕμνον Z

heirm. ε΄ EE 38, n. 51, Cosmae 190 Τότε] Ὅτε Z οἱ τρεῖς] πικρῶς Cy 191 ὀλολυζόμενοι Σd σφοδρῶς] πικρῶς Σd Z εὐθὺς Cy ἔκραζον] ἔλεγον Z 193 τὸ στίθος Z

190-196 ANRICH, *Hagios Nikolaos*, 73: Οἱ δέ, ἀκούσαντες ταῦτα, ἔκλαυσαν πικρῶς, καὶ τὰς ἐσθῆτας αὐτῶν περιερρήξαντο, καὶ τρίχας αὐτῶν ἔτιλλον. καὶ κόνιν πασάμενοι ἀνεβόησαν κλαίοντες ...

ζητοῦντες ῥυσθῆναι
τῆς νῦν περιστάσεως.

Οἱ τρεῖς δακρύων πηγὰς
καταγαγόντες ἐπὶ γῆς ἔκλαιον,
εἷς δὲ αὐτῶν
μνησθεὶς τῶν θαυμάτων
τοῦ ὁσίου ἀνδρὸς
« Νικόλαε, σπεῦσον
καὶ σῶσον τοὺς δούλους σου ».

Ἀναλαβόντες εἰς νοῦν
πῶς διεσώθησαν οἱ τρεῖς πρότερον
ὡς ἐξ ἑνὸς
στόματος ἐβόων·
« πανάγιε Θεοῦ
Νικόλαε, σπεῦσον
καὶ σῶσον τοὺς δούλους σου ».

Νυκτὸς ὁ μέγας ἐλθὼν
καὶ ἐν ὀνείροις ἐπιστὰς ἔφησε
τῷ βασιλεῖ·

195 ῥυσθῆναι ἐβόουν Z 197 Οἱ] Ὁ Ea 198 καὶ κατακείμενοι εἰς γῆν ἔ. Ea καὶ ἀγαγόντες ἐ. γ. ἔ. Cy κατακείμενοι ἐν τῇ γῇ ἔχεον Z 203 τοὺς δούλους σου:] ἀνέκραζεν Σd 207 ἐβόουν cdd. 211-224 trop. om. Z 211 Νυκτὶ Σd

197-210 Anrich, *Hagios Nikolaos*, 73-74: Νεπωτιανὸς δέ, εἷς ἐξ αὐτῶν, εἰς ὑπόμνησιν ἐλθὼν ... ὅπως ἐρρύσατο τοὺς τρεῖς ἄνδρας τοὺς μέλλοντας ἤδη ἀναιρεῖσθαι, εἶπεν ὀδυρόμενος μετὰ πολλῶν δακρύων καὶ στεναγμῶν· « Κύριε ὁ θεὸς τοῦ δούλου σου Νικολάου, οἰκτείρησον ἡμᾶς διὰ τὴν εὐσπλαγχνίαν σου καὶ διὰ τὴν πρεσβείαν τοῦ ἀξίου σου θεράποντος Νικολάου· καὶ ὡς ἐποίησας δι' αὐτοῦ ἔλεος εἰς τοὺς τρεῖς ἄνδρας ἐκείνους τοὺς ἀναιτίως κατακριθέντας καὶ ἐρρύσω ἐκ θανάτου, οὕτω νῦν καὶ ἡμᾶς ἀνακάλεσαι, δυσωπηθεὶς ταῖς πρεσβείαις τοῦ ἁγίου σου τούτου ἱερέως ... »
211-217 Anrich, *Hagios Nikolaos*, 74: ... ὁ ἅγιος Νικόλαος τῇ νυκτὶ ἐκείνῃ ἐφάνη τῷ βασιλεῖ καὶ λέγει αὐτῷ· « Κωνσταντῖνε, ἀνάστηθι καὶ ἀπόλυσον τοὺς τρεῖς ἄνδρας τοὺς στρατηλάτας, οὓς ἔχεις ἐν τῷ δεσμωτηρίῳ, ὅτι διεβλήθησαν ἀδίκως ... »

« ἀνάστα σπουδαίως
καὶ οὓς ἐν τῇ φρουρᾷ
ἔχεις κατακλείστους
τρεῖς ἄνδρας ἀπόλυσον ».

Καταπλαγεὶς καὶ ἐκστὰς
ὁ βασιλεὺς μετὰ θυμοῦ ἔφησε·
f. 9 || « σὺ δὲ τίς εἶ
ὁ ταῦτά μοι λέγων; »
ὁ δέ· « τῆς Λυκίας
Μύρων μητροπόλεως
Νικόλαος λέγομαι ».

θεοτ. Νῦν σε, παρθένε ἁγνή,
ἐκ τοῦ αἰῶνος ἐκλεκτήν, ἄμωμον
νύμφην Θεοῦ,
καὶ Χριστοῦ μητέρα
καὶ σκεῦος ἐκλογῆς
Πνεύματος ἁγίου
γινώσκων δοξάζω σε.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἐπιστὰς τῷ ἐπάρχῳ ὁ ὅσιος,
« βεβλαμμένε », ἔφησε, « ταχὺ ἀνάστηθι

216 κατακλύστους Cy 218-224 trop. deest in Cy 223 μύρον Ea μύροις Σd μητροπόλις Ea 225 σοι Ea 226 ἐκλεκτὴ ἄμωμος Ea Cy 227 νύμφη Ea Cy Θεοῦ] Χριστοῦ Cy Z 228 Χριστοῦ] Θεοῦ Cy Z 231 πανάμωμε δέσποινα Σd γινώσκοντες σέβωμεν Z
heirm. ς' EE 34, n. 46, Joannis 232 ὑπάρχω Σd 233 τάχει Cy

218-224 Anrich, *Hagios Nikolaos*, 75: ... καὶ εἶπεν ὁ βασιλεύς· « Τίς εἶ σύ ...; » καὶ εἶπεν ἡ φωνὴ πρὸς αὐτόν· « Ἐγώ εἰμι Νικόλαος, ὁ ἁμαρτωλὸς ἐπίσκοπος, ὁ ὢν ἐν Μύροις τῆς Λυκίας μητροπόλει. »
232-235 Anrich, *Hagios Nikolaos*, 75: Καὶ πορευθεὶς ὤφθη τῷ ἐπάρχῳ, καὶ λέγει αὐτῷ· « Ἀβλάβιε, βεβλαμμένε τὸν νοῦν καὶ τὰς φρένας, ἀνάστα καὶ ἀπόλυσον τοὺς τρεῖς ἄνδρας τοὺς στρατηλάτας, οὓς ἔχεις ἐν τῷ δεσμωτηρίῳ... »

229 Act. 9,15

καὶ οὓς ἀδίκως ἔκλεισας
ἐν φρουρᾷ ἀναιτίους ἀπόλυσον ».

Ἐκβληθέντες φρουρᾶς οἱ ἀναίτιοι
ἦλθον ἐπὶ βήματος καὶ σταθέντες ἔκλαιον,
πρὸς οὓς ὁ ἄναξ ἔφησε·
« ποίαις μαγείαις ὑμῶν ⟨με⟩ ταράττετε; »

Θαμβηθέντες οὐδὲν ἀπεκρίναντο·
πάλιν δὲ ὁ ἄναξ πρὸς αὐτοὺς ἀνέκραξε·
« ποίαις μαγείαις, ἄνθρωποι,
ἐν ὀνείροις δεινῶς με ταράττετε; »

Ἀποκριθέντες τῷ ἄνακτι ἔφησαν·
« δέσποτα, ἡμεῖς δὲ μαγείας οὐκ ἐπιστάμεθα·
εἰ δέ τι διεπράξαμεν
κατὰ δὲ τοῦ σοῦ κράτους, θνηξώμεθα. »

---

234 ἀδίκως] ἀρτίως Z 235 ἀναιτίως Z post trop. « Ἐπιστὰς » hoc praebent Σd Z: Τὰ τοιαῦτα ὁ ἄναξ ὀνείρατα (ὄνειρά τε Σd) / σὺν τῷ Ἀβλαβίῳ ἰδόντες (ἰδῶτες Z) ἐξέστησαν, / πάραυτα δὲ κελεύεται (κελεύουσιν Σd) / ἔμπροσθεν τῆς συγκλήτου οἱ ἄνδρες ἐλθεῖν (σταθῆναι αὐτούς Z). 236 Ἐκβληθέντες] Ὡς ῥυσθέντες Σd Ἀθρυσθέντες Cy Ἐξελθόντες Z φρουρᾶ Cy 237 καὶ σταθέντες ἔκλαιον] ἔστησαν κλαίοντες Ea Cy καὶ στῶτες ἔλεγον Z 239 ποίαις μαγίαις εἴπωμεν / ἐν ὀνείροις ἡμᾶς συνταράττοντας Z 239 ποίαις μαγίαις ἄνθρωποι ἐν ὀνείροις δεινῶς με ταράττεται (cfr. infra v. 243) Ea ἐν ὀ. με νῦν συνταράττετε Cy με addidi metri sensusque causa 240-243 trop. om. Z 241 δὲ] τε Cy ἀνέκραζεν Ea ἀνέκραγε Σd 243 δεινῶς με] δι' ὅμε Σd Cy ταράττεται cdd. 244-247 trop. om. Cy Z 244 Ἀποκριθέντες] Ἀντειπόντες Σd 245 δ. ἡμεῖς μαγίας οὐκ οἴδαμεν Σd 246 εἰ] ἢ Ea τι] ἢ Ea 247 κατακράτους τοῦ σοῦ τε θ. Σd

---

236-239 ANRICH, *Hagios Nikolaos*, 75: Παραστάντων δὲ αὐτῶν εἶπεν αὐτοῖς ὁ βασιλεύς· « Λέγετέ μοι, ποίαις μαγείαις χρησάμενοι τοιαῦτα ἡμῖν ὀνείρατα ἐξαπεστείλατε; »

240-247 ANRICH, *Hagios Nikolaos*, 75-76: οἱ δὲ ἐσιώπων. καὶ πάλιν ἐκ δευτέρου ἐπερωτηθέντες διὰ Νεπωτιανοῦ ἀπεκρίθησαν· « Δέσποτα αὐτοκράτορ, ἡμεῖς μαγείαν οὐκ ἐπιστάμεθα· εἰ δὲ τοιαῦτα εὑρεθῶμεν διαπραξάμενοι ἢ ἄλλο τι φαῦλον κατὰ τοῦ κράτους ὑμῶν εἰς ἔννοιαν ἐλάβομεν, κεφαλικῇ, δέσποτα, ὑποπέσωμεν δίκῃ. »

θεοτ. Ἰδιώτης τῶν λόγων καὶ πάροικος
παρὰ πάντα ἄνθρωπον ὑπάρχω, ἄχραντε,
ὑπεραγία δέσποινα·
τῆς ψυχῆς τὰς δεήσεις μου πλήρωσον.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*
ἐν πεδίῳ Δεηρᾷ λατρευομένης

Ὑψώσας φωνὴν
καὶ πραΰνας τὸν θυμὸν ὁ ἄναξ τότε
φησὶ τοῖς ἄνδραις· « οἴδατέ τινα
Νικόλαον τῷ ὀνόματι; »
τότε ἐν χαρᾷ τε καὶ φόβῳ
οἱ δεσμῶται ἐβόησαν·
« σῶσον ἡμᾶς, υἱὲ Θεοῦ, ταῖς Νικολάου εὐχαῖς ».

Μεγάλως οἱ τρεῖς
ηὐχαρίστουν τῷ Θεῷ καὶ τῷ ὁσίῳ
μετὰ δακρύων καθικέτευον·
« σῶσον ἡμᾶς, ὦ Νικόλαε·
πρόφθασον ἡμᾶς καὶ ἐν τάχει

248-251 aliud θεοτ. profert Cy: Συμπαθείας τῆς σῆς με ἀξίωσον, MR III, 209 248 τῷ λόγῳ Σd Z πάροικος] πάνοικτρος Σd Z 249 ὑπάρχω, ἄχραντε] ἐγὼ αἰτοῦμαί σε Σd Z 251 τῆς ψ. μου τὴν δέησιν πρόσδεξαι Σd Z

post oden ς' κοντ. « Ἐν τοῖς Μύροις, ἅγιε » et οἶκ. « Ἀνυμνήσωμεν νῦν » praebent Σd Cy Z, quae vide supra in canon. V

heirm. ζ' EE 39, n. 53, Cosmae 252 φωνὴν] τὸν νοῦν Z φωνῆς Ea 253 ὁ ἄναξ τότε] τοῦ βασιλέως Ea ὁ βασιλεὺς γὰρ (γὰρ om. Z) Cy Z 254 ὁ πιστὸς οἴδατε τίναν Z φησὶν τοῖς ἄνδρες λέγει Ea Cy τοὺς ἄνδρας λέγει Σd 255 τῷ ὀνόματι] τούτω ὄνομα Cy 257 δεσμῶτες Ea Σd Z 258 ὑμᾶς Ea υἱὲ Θεοῦ] νῦν ὁ Θεὸς Cy 260 εὐχαρίστουν Ea Cy Z καὶ τῷ ὁσίῳ] μετὰ δακρύων Σd ὁσίῳ] ἁγίῳ Cy Z 261 μετὰ δακρύων] καὶ τῷ ἁγίῳ Σd 262-263 σπεῦσον, πανάγιε, πρόφθασον· / σῶσον καὶ ἡμᾶς ὡς ἐν Μύροις Σd Cy Z

252-258 ANRICH, *Hagios Nikolaos*, 76: . . . λέγει αὐτοῖς ὁ βασιλεύς· « Οἴδατέ τινα Νικόλαον οὕτω καλούμενον; » οἱ δὲ ἀκούσαντες τὸ ὄνομα Νικολάου, εὔθυμοι γενόμενοι εἶπον· « Κύριε ὁ θεὸς τοῦ ἁγίου Νικολάου . . . καὶ νῦν ἡμᾶς ἐξελοῦ τῶν προκειμένων κακῶν, ἀθῴους ὑπάρχοντας. »

ὡς τοὺς τρεῖς ἄνδρας διέσωσας
ἀδίκως μέλλοντας θανεῖν· ὄντως γὰρ δύνασαι ».

f. 9v || « Ἀφόβως ἡμῖν
διηγήσασθε », φησὶν ὁ βασιλεύς, « νῦν,
τίς ἔστιν οὗτος, ὃν ἐκ πίστεως
ἐπικαλεῖσθε Νικόλαον; »
τότε πρὸς αὐτὸν οἱ δεσμῶται·
« αὐτὸς ἐν Μύροις αὐλίζεται,
ὁ τῆς Μυρέων μητροπόλεως ἐπίσκοπος ».

Τὸ θαῦμα σφοδρῶς
ἐκπλαγεὶς ὁ βασιλεὺς τοῖς ἄνδραις λέγει·
« ἄπιτε· ὄντως οὐκ ἐγὼ ὑμῖν
τὸ ζῆν παρέχω, ἀλλ' ὃν ὑμεῖς
ἐπικαλεσάμενοι πίστει
Νικόλαόν τε τὸν ὅσιον·
λοιπὸν συντόμως πρὸς αὐτὸν νῦν ἐκπορεύεσθε ».

Ἀκούσαντες οὖν
οἱ τρεῖς ἄνδρες τῆς φωνῆς τοῦ βασιλέως
εὐχαριστοῦντες τῷ Θεῷ ἡμῶν
καὶ τῷ ἁγίῳ ἐλύθησαν
χεῖράς τε καὶ πόδας τῶν δεσμῶν
καὶ ἐξελθόντες ἐκραύγαζον·
« δόξα τῷ κράτει σου, Χριστέ, καὶ τῇ ἰσχύει σου ».

---

264 ὡς om. Σd Cy Z 266 Ὁ φόβος ἡμῖν Z 267 βασιλεύς, « νῦν] βασιλεύων Σd νῦν] γὰρ Cy ὁ πιστὸς Z 268 τίς ... οὗτος om. Σd 270 δεσμῶτες Ea Z 271 αὐτὸς] οὗτος Σd Cy Z 272 ὁ om. Σd Cy Z Μυρέων] Λυκαίων Σd Λικαέων Z 273-279 trop. om. Cy Z 274 τοὺς ἄνδρας Σd 275 ἄπιτε] τοῦτω γὰρ Ea 276 παρέχων Σd 278 ἱεράρχην Νικόλαον Σd 279 νῦν ἐ.] ταχὺ πορεύεσθε Σd 280-286 trop. om. Z 280 οὖν] νῦν Ea 281 ἄνδρες] παῖδες Cy 282 τὸν Θεὸν Ea 284 τῶν] ἐκ Σd Cy 285 καὶ om. Cy 286 εὐλογητὸς εἶ ὁ Θεὸς / ὁ τῶν πατέρων ἡμῶν Cy

---

266-272 Anrich, *Hagios Nikolaos*, 76: ... λέγει πάλιν ὁ βασιλεύς· « Εἴπατέ μοι, τίς ἐστιν οὗτος ὁ Νικόλαος καὶ εἰ διαφέρει ὑμῖν κατὰ γένος; » τότε Νεπωτιανὸς ἀπεκρίνατο, τίς ἐστιν ...

273-279 Anrich, *Hagios Nikolaos*, 76: Τότε λέγει ὁ βασιλεύς· « Ἰδοὺ τοίνυν ἀπολύεσθε καὶ χάριν ἔχετε τῷ ἀνδρί· οὐκ ἐγὼ γὰρ χαρίζομαι ὑμῖν τὸ ζῆν, ἀλλ' ὁ θεὸς καὶ ὃν ἐπεκαλέσασθε Νικόλαον... »

θεοτ. Κυρίως ἁγνή,
θεοτόκε, Μαριὰμ εὐλογημένη,
μὴ ὑπερίδης τοὺς οἰκέτας σου,
ἀλλὰ ἐν τάχει προφθάσασα
σῶσόν με παντοίας ἀνάγκης
καὶ ἀξίωσον ψάλλειν σοι·
« εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα ».

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ἐναλλαγῆναι πρὸς αὐτὸν
τὸν θεράποντα Χριστοῦ θέλων ὁ ἄναξ
πολυτίμητα σκεύη
καὶ κηριόλους χρυσοῦς
καὶ ἄλλο
χρυσοῦν εὐαγγέλιον
πέμπει τῷ ἁγίῳ
διὰ τῶν στρατηλάτων.

Νῦν τὰ ὑπάρχοντα αὐτῶν
διοικήσαντες καλῶς οἱ στρατιῶται,
ἀπελθόντες ἐν Μύροις
εὗρον τὸν ἅγιον νῦν
καὶ πόθῳ
τοῦτον κατησπάζοντο·
« διὰ σοῦ νῦν ζῶμεν·
δέξαι τὰ δῶρα ταῦτα ».

---

290 προφθάνουσα Z 291 με] ἐκ Σd Cy
heirm. η' EE 35, n. 47, Joannis 294 Ἀναλγῆναι Z αὐτὸν] Θεὸν Z 296 πολυτίμητον σκεῦος Z 297 κηριάπτας Z 298 καὶ ἄλλον Ea Z καὶ ὅλον Cy 301 στρατηλάτων: genitivus non rarus apud Byzantinos 303 στρατηλάται Σd Z 304 κατελθόντες Σd Cy Z 305 νῦν om. Σd Cy 306 καὶ τοῦτον Z 307 τοῦτον] πόθῳ Z κατασπάζονται Σd κατασπάζοντο Cy 308 νῦν] γὰρ Z

294-301 Anrich, *Hagios Nikolaos*, 77: ... ἔδωκεν αὐτοῖς κειμήλια, εὐαγγέλιον χρυσοῦν καὶ κηράπτας χρυσοῦς δύο καὶ ἄλλο σκεῦος χρυσοῦν διάλιθον, ἀπενέγκαι τῷ ἁγίῳ ἐκείνῳ ἀνδρὶ μετὰ καὶ γραμμάτων.

Παρ' ἐλπίδα θεωρῶν
ὁ θεσπέσιος ἀνὴρ τοὺς στρατηλάτας
ἐπηρώτα· « ὦ τέκνα,
τίνα συνέβη ὑμῖν; »
αὐτοὶ δέ,
πάντα ἀπαγγείλαντες,
κείραντες τὰς τρίχας
ἔμειναν τῷ ἁγίῳ.

f. 10 ‖ Ἰδοὺ πεπλήρωται, πιστοί,
τὸ παράδοξον ἀεὶ καὶ μέγα θαῦμα·
ἐπανέλθωμεν πάλιν,
ἐπεὶ καὶ ἄλλα πολλὰ
θαύματα
καὶ ὄντως τεράστια
τῇ Θεοῦ δυνάμει
Νικόλαος ἐποίει.

θεοτ. Ἡ ἐλπὶς τῶν γηγενῶν,
θεοτόκε Μαριάμ, σοῦ τὴν εἰκόνα
ἀσπαζόμεθα πάντες
καὶ καταισχύνομεν
αἱρέσεις

312 ἐπερώτα Ea Cy Z   313 τίνα συνέβη] τί ἐσυνέβη Ea Cy   τί δ συνέβη Σd   314 οὗτοι δὲ Cy   315 πάντα] τὸ πρὶν Cy   ἀναγγείλαντες Σd Cy Z   **317** ἐβίωσαν ἐνθέως Σd   ἔμενον Z   318-325 in loco huius trop., quod om. Z, hoc offert Cy; idem post « Ἰδοὺ πεπλήρωται » ponit Σd: Σιτοδοτήσας τὸν λαόν, / ὥσπερ πάλαι Ἰωσὴφ ὁ σώφρων (θεόφρων Σd), πάτερ, / ἐτιμήθης ὁσίως / συμβασιλεύων (- εύειν Cy) Χριστῷ / καὶ πάντας / κινδύνων καὶ θλίψεων / καὶ παντοίας βλάβης / λυτρούμενος εὐχαῖς σου.   318 πιστοὶ] λοιπὸν Σd   319 ἀεὶ] πιστοὶ Σd   324 τῇ] ᾆ Σd   326-333 aliud θεοτ. « Τὸ καταφύγιον ἡμῶν » profert Z, quod nonnullis variantibus in ETh 161 invenies   328 ἀσπαζόμενοι πίστει Cy   329 καὶ καταισχύνων ἀεὶ Σd   330 καὶ πάντων Ea

302-317 Anrich, *Hagios Nikolaos*, 77: Λαβόντες οὖν ταῦτα (τὰ δῶρα) οἱ ἄνδρες παρεγένοντο ἐν τῇ Λυκίᾳ, καὶ προσκυνήσαντες αὐτὸν διηγήσαντο τὰ συμβεβηκότα αὐτοῖς, καὶ ἐπέδωκαν αὐτῷ τὰ γράμματα τοῦ βασιλέως καὶ τὰ κειμήλια, καὶ ἀπεκείραντο τὰς κόμας . . .

ἀπίστων, θεόνυμφε,
τῶν μὴ κηρυττόντων
Θεὸν σαρκὶ τεχθέντα.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*
τὸν ἀρρήτῳ σοφίᾳ

Οἱ τῶν δογμάτων σου λόγοι
κατεγλύκαναν, πάτερ,
τὸ ποίμνιον, Νικόλαε σοφέ,
καὶ ὥσπερ λύρα τοῦ πνεύματος
ἐκδιώξας τοὺς λύκους
ὡδήγησας τὸ ποίμνιον Χριστοῦ
ἐπὶ πόαν δογμάτων
καὶ ὕδωρ τὸ τῆς γνώσεως.

Μύροις οἰκήσας, θεόφρον,
ἐμυρίσθης ἐνθέως
καὶ βρύεις τὰ εὐώδια τῆς σῆς
θήκης, Νικόλαε ὅσιε·
δι' ὃ μετ' εὐφροσύνης
μετέστης ἀπὸ γῆς εἰς οὐρανοὺς
καὶ ἐν δόξῃ μεγάλῃ
παρίστασαι Χριστῷ τῷ Θεῷ.

Ἐκ τῆς χειρὸς τοῦ Κυρίου
τὸ πολύτιμον στέφος

331 αἱρέσεις θεόμαχον Ea   πάντων τῶν θεομάχων Σd   333 μητέρα σε παρθένον Cy   Θεὸν] Χριστὸν Σd

heirm. θ' EE 34-35, n. 46, Joannis   335 κατεγλύκανας Ea   338 ἐκδιῶξαι Z   340 cfr. supra canon. V, vv. 98-99   341 καὶ ἐπὶ ὕ. γνώσεως Σd   καὶ] ἐφ' Cy   ἐδ Z   τὸ om. Z   344 βρύει Ea   τὰ εὐώδια] εὐωδίας ἐκ Σd   τὰ εἰσόδια Z   345 θήκης] νίκης Cy   ὅσιε] ἅγιε Cy   346 δι' οὗ Σd   347 μετέβης Z   εἰς] πρὸς Σd   οὐρανὸν Σd   349 τῷ Κυρίῳ παρίστασαι Σd   Χριστῷ τῷ Θεῷ] πρὸς Κύριον Cy   350 τῆς om. Σd   351 στέφος] σκεῦος Z

339 I Petr. ep. 5,2

ἐδέξω, τοῦ Κυρίου ἱερὲ
ἀρχιεράρχα Νικόλαε·
δι' ὃ πίστει καὶ πόθῳ
τιμῶμέν σου τὴν μνήμην εὐσεβῶς·
ἱκετεύων μὴ παύσῃ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Λύρα τοῦ πνεύματος ὄντως
καὶ κειμήλιον μέγα
ἐδείχθης, ἱεράρχα τοῦ Χριστοῦ,
καὶ στεφηφόρος παρίστασαι
τοῦ Κυρίου τῷ θρόνῳ
πρεσβεύων ὑπὲρ πάντων τῷ Χριστῷ
καὶ λυτροῦσαι κινδύνων
τοὺς ἐπικαλουμένους σε.

Σὺ τὸ πολύτιμον σκεῦος
ἐκλογῆς, ὡς ὁ Παῦλος,
ἐδείχθης τοῦ Χριστοῦ ἱερουργέ,
καὶ ἐκτελέσας τὸν δρόμον σου,
ἐναθλήσας τῇ πίστει,
μετέστης πρὸς τὴν ἄληκτον ζωὴν
σὺν ἀγγέλοις χορεύων·
μνημόνευε τῆς ποίμνης σου.

f. 10v || Ὥσπερ τοὺς ἄνδρας ἐρρύσω
ἐκ δεσμῶν τοῦ θανάτου,
Νικόλαε, καὶ νῦν ταῖς σαῖς εὐχαῖς
τὸν βασιλέα περίσωζε
καὶ παράσχου εἰρήνην

352 Κυρίου ἱερὲ] Χριστοῦ (Θεοῦ Cy Z) ἱερουργὲ Σd Cy Z 355 τὴν μ. σου τιμῶντες εὐ. Ea 356 ὃν μὴ παύσει Κυρίῳ Z 358-365 trop. om. Σd Cy Z 363 τὸν Χριστὸν Ea 366-373 trop. deest in Σd Z 366 Νῦν πολυτίμητον σκεῦος Cy 368 ἐ. τοῦ Κυρίου ἱερὲ Ea 374-381 trop. om. Z 374 Ὥσπερ τοὺς] Καὶ ὡς τοὺς Ea Ὡς τοὺς τρεῖς Σd 375 τοῦ] καὶ Σd Cy 376 Ν. θεράπων τοῦ Χριστοῦ Σd καὶ νῦν om. Cy

366-367 Cfr. sup. v. 229 369-370 II Tim. 4,7

τῷ κόσμῳ, ἱεράρχα τοῦ Χριστοῦ,
τὸν λαόν σου φυλάττων
ἐκ πάσης περιστάσεως.

θεοτ. Τὴν σὴν βοήθειαν μόνην,
θεοτόκε, παράσχου
καὶ νίκας κατ' ἐχθρῶν τῷ βασιλεῖ,
τὰς ἐκκλησίας εἰρήνευσον
τὸν λαόν σου φρουροῦσα,
πανάχραντε, ἐκ πάσης ἀπειλῆς·
σὲ γὰρ πίστει καὶ πόθῳ
δοξάζω τὴν ᾠδὴν ἐκπληρῶν.

379 τῷ κ. τοῦ Χριστοῦ ἱερουργὲ Cy

post « Ὥσπερ » hoc τριαδ. praebet Σd: Τὴν τρισήλιον δόξαν / τῆς ἀχράντου σου δόξης / δοξάζω, τὸν Πατέρα καὶ Υἱόν, / Πνεῦμα εὐθὲς συναΐδιον, / τὴν ὁμότιμον δόξαν / καὶ ἄκτιστον θεότητα ὑμνῶ, / τὴν φρουροῦσαν τὰ πάντα· / ὃν τρέμει οὐρανὸς καὶ ἡ γῆ. 382-389 aliud θεοτ. praebet Cy: Φεῖσαί μου, Κύριε, φεῖσαι, PaR 125; cfr. etiam canon. VI, vv. 228-235 382 Ἄχραντε μήτηρ παρθένε Σd Ἔσω τὸ σύστημα πάντων Z 383 παράσχου] παρθένε Z 384 καὶ δὸς τοῖς βασιλεῦσι νίκας (νίκας om. Ea) κατ' ἐχθρῶν Ea Z 385 εἰρήνευσον] σου στήριξον Σd 386 τῷ λαῷ Σd φρουροῦσα] φρουρᾷ Z

6 DEC.

CANON IX

IN SANCTUM NICOLAUM

Crypt. Δ.α. XIV = Cf, ff. 48ᵛ-53
Vallic. gr. E 54 = Ea, ff. 4ᵛ-7
Mess. gr. 135 = N, ff. 305(309)-315(319)
Meteor. Metamorph. 234 = Φa, ff. 81-87ᵛ

Ὁ κανὼν ἰαμβικὸς πεντάστιχος φέρων ἀκροστιχίδα·

* Ὕμνος παρ' ἡμῶν ἐκτεθείς σοι, παμμάκαρ,
Μύρων πρόεδρε καὶ τῶν πάντων προστάτα,
Νικόλαε, θεράπον Χριστοῦ καὶ μύστα,
Ὃν καὶ προσδέχου ὡς βραχύτατον δῶρον
Σαῖς σώζων εὐχαῖς τοὺς μέλπειν σε τολμῶντας.

Ἦχος β'.

ᾠδὴ α'. *Στείβει θαλάσσης κυματούμενον σάλῳ*

* Ὕψιστε μόνη πανσθενὴς θεαρχία
Μία τε φύσις καὶ τρισάνακτε δόξα,
Νεῦσον τοὺς μέλπειν τολμῶντας Νικολάου

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Νικολάου φέρων ... ὁμοῦ τὸ πᾶν στίχοι ρξ' κατ' ᾠδὴν στίχοι κδ' ὡς εἶναι κατ' ᾠδὴν ἀλλάγια γ' καὶ θ (εοτοκί)ον α' Cf Ἕτερος κανὼν τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου φέρων ἀκροστιχίδα... Ea Ἕτερος κανὼν φέρων ἀκροστιχίδα (π)εντάστιχον N Κανὼν εἰς τὸν ἅγιον Νικόλαον διὰ στίχων ἐνμέτρων οὗ ἡ ἀκροστιχὶς ... Ὁ κανὼν καὶ ἡ ἀκροστιχὶς πεντάστιχος Φa; trop. asterisco signata in J.B. PITRA, *Juris Ecclesiastici Graecorum Historia et Monumenta II*, Romae 1868, cum interpretatione latina invenies

acr. PITRA 354 1 Ὕμνοις Ea ἐκτεθείσοι Cf 2 Μύρον Ea 4 Ὃν] ὢν Ea δώρων N

heirm. α' EE 37, n. 50, Joannis Arclae; omnes heirm. integros praebent N Φa 1-10 PITRA 363 1 Ὑψίστη PITRA μόνε Φa πανσθενὲς PITRA 2 Μιᾶ N Φa τρισάναρχε Φa τρὶς ἄνακτε PITRA 3 τοὺς] τοῦ N τολμῶντος N τολμῶντας N.] Νικόλαον τολμῶντας Φa τ. Νικόλαον PITRA

Ὄρθρῳ φωτίσαι τὴν πανίερον μνήμην·
Σὺ γὰρ πέλεις φῶς καὶ σοφία καὶ γνῶσις.

* Πρόσδεξαι τοῦτον τὸν βραχύτατον λόγον,
Ἄριστε ἄνερ τοῦ Θεοῦ καὶ θεράπον,
Ῥώμην δὲ θείαν καὶ χάριν οὐρανόθεν
Ἦξαι δυσώπει τοῖς τολμῶσιν ἐν πόθῳ
Μέλπειν σε, θερμὲ ἐν κινδύνοις προστάτα.

* Ὥσπερ ἐκτήσω ἀρετῶν τὰ μεγέθη
Νοῦς ἐν ἀνθρώποις μὴ θαυμάσῃ πηλίκος·
Ἐν γὰρ τῇ τούτων σχολῇ καὶ πραγματείᾳ
f. 49 Κέκτησαι πάσας πανευ||φήμους τὰς κλήσεις·
Ταύταις λαμπρυνθεὶς καὶ φωτίζεις τὸν κόσμον.

θεοτ. * Ἐν σοὶ τὸ κλέος, μητροπάρθενε, πέλει·
Θεῖος γὰρ λόγος ἐν γαστρί σου σκηνώσας
Ἔλαμψεν αὖθις ἐν κόσμῳ σαρκοφόρος,
Ἵνα τὸν πάλαι παραβάσει φθαρέντα
Σώσας ὡς Θεὸς διὰ σοῦ ἀναπλάσῃ.

---

4 Ὄ. φωτίσαντι τρισαχράντῳ καὶ θείῳ Φa φωτίσαι τὴν Cf Ea N PITRA ὄρθρου N 5 πέλει Ea N PITRA γνῶσις] δόξα Ea PITRA γνῶσι Φa 8 ῥώμη τε θείαν Φa καὶ χάριν οὐρανόθεν] τολμῶντος Νικολάου N 9 ἦξε Ea ἧξε N ἥξειν Φa ἐκ πόθου Ea Φa PITRA 10 μέλπειν σε θερμὸν ἐν κινδύνοις προστάτην Φa ἐκ κινδύνοις Ea N PITRA 11-15 idem trop. multa differens profert Φa: Ὥνπερ ἐκτήσω ἀρετῶν τῷ μεγέθει / νῦν ἐν οὐρανοῖς μὴ θαυμάσει ἐν οἷος / ἔκ τε γὰρ θείας κινούμενος προνοίας / κέχρησε πάντων πανοσίας τὰς κλήσεις / τεῖχος γεγονῶς τῆς Χριστοῦ ἐκκλησίας (sic). 11-20 trop. PITRA 364 11 Ὅνπερ ἐκτίσω N 12 πηλίκος] ποικήλως N 13 τοῦτον Ea πραγματίαν. Φa 14 κέκλησαι Cf N Φa πανευφήμους] φερωνύμως Ea PITRA 15 Τούτοις N λαμπρυνθῇς PITRA φωτίζων N φωτίζῃς PITRA 16 μητροπάρθενε πέλει] τὸ μητρόθεον κόρη Φa πέλει] κόρη N 18 ἐν κόσμῳ] παρθένε Φa σαρκοφόρως Ea 19-20 Ἵν' ἀναπλάσῃ τὸν τῇ πλάνῃ φθαρέντα / σώζει διὰ σοῦ ὡς Θεὸς καὶ δεσπότης Φa 20 ἀναπλάσει Ea

---

17 Joh. 1,14

ᾠδὴ γ′. *Ὅσοι παλαιῶν ἐκλελύμεθα βρόχων*

Σέλας φαεινὸν καὶ τρισόλβιον δόξαν
Ὀπάζεις πάσῃ τῇ ὑφηλίῳ, πάτερ,
Ἱερατεύων καὶ ἐμφαίνων ἀρίστως
Πίστιν ἄσυλον καὶ δεικνύων πανσόφως
Ἃ βροτοῖς Χριστὸς ἡτοιμάσατο γέρα.

Μύρον νοητὸν ἐν τοῖς Μύροις ὑπάρχων
Μυρίζεις κόσμον τοῖς εὐώδεσι λόγοις,
Ἀρχιερέων ἐγκαλλώπισμα θεῖον,
Κῆρυξ ὅσιε καὶ φλογόμορφε στῦλε,
Αὔχημα γήρους καὶ στήριγμα ποιμένων.

Ῥώμην εἰληφὼς ἐκ προνοίας τῆς θείας
Μιμεῖσαι πάσας τὰς τῶν ἁγίων τρίβους
Ὑπὲρ τοὺς λίαν βεβηκότας κατ᾽ εἶδος
Ῥᾷον, πάνσοφε, ἀνιχνεύσω καὶ ταύτας,
Ὥσπερ θησαυρὸν κεκτημένος χρυσίου.

f. 49ᵛ θεοτ. || Νεῦσον πρὸς ἡμᾶς τοὺς οἰκείους σου δούλους,
Παρθένε μῆτερ εὐλογημένη μόνη·
Ῥᾳδίως πᾶσαν τῶν ἐχθρῶν πανοπλίαν,
Ὅπλα, θώρακα, τόξα, δόρατα, κράνος,
Ἔχοντες ἐν σοὶ τὰς ἐλπίδας συνθλῶμεν.

---

heirm. γ′ EE 37, n. 50, Joannis Arclae heirm. 1 Οσοὶ N 21 τρισόλβιον δόξαν] τρισήλιον γνῶσιν N δόξαν] γνῶσιν Φa 22 ὀπάζων πασι κατεφάνθης, πάτερ Φa πάσῃ] πάσιν Ea πᾶσι N 24 καὶ δεικνύων πανσόφως] τοῖς βροτοῖς καὶ δεικνύων Φa πανσόφων Ea 25 βροτοῖς] πιστοῖς Φa ἡτοιμάσατο γέρα] ἐξετοίμασεν ἔσθλα Ea ἐξ. αἴσθλα N ἐξη- ἔθλα Φa 26 νοητὸν] ὡς τερπνὸν Φa 27 μυρίζων κόσμον τῆς εὐωδίας ἄξιον Φa εὐωδέσι Ea N 28 βλύζεις ἰαμάτων τὴν χάριν, πάτερ Φa 29 καὶ φλογόμορφε] φλογόμορφε καὶ Φa 30 καύχημα πυρσὸς ἀληθοῦς εὐσεβείας Φa γείρους N ποιμαίνων Ea 31-35 trop. deest in N 31 θείας] ἄνω Φa 32 μιμῆσαι Cf Ea μιμήσων Φa πάσας] ὤφθης Φa 33 Ὑ. τῶν λ. -ότων κατέσχως (?) Φa κατ᾽ εἴδους Ea 34 πάνσοφε] ἁπάσας Φa ἀνιχνεύσας Cf Ea 35 θησαυρῶν Ea κεκτημένος] ἀνινεύσω Φa 36 τοὺς οἰκείους σου] σοὺς οἰκέτας καὶ Ea πιστούς σου καὶ N ἀγλαότιμε Φa δούλους] κόρη Φa 37 παρθενομῆτορ Φa μήτηρ Ea N μόνη] φθάσαι Φa 38 πάντων N πανοπλίαν] τὴν μανίαν Φa 39-40 Ὄντως γὰρ μόνη τῆς πίστεως σε πάντες / ἔχωμεν, σεμνή, ἀρραγέστατον ὅπλον Φa 39 δῶρά τε κράτος N 40 ἔχοντας Ea N συνθλάσαι Ea N

ᾠδὴ δ′. *Πυρσῷ καθαρθεὶς μυστικῆς θεωρίας*

Δεκτὸν κατιδὼν ἐν τοῖς δώροις τὸν Ἄβελ
Ῥοπῇ δὲ θείᾳ ἐκμιμούμενος τοῦτον
Εὔχρηστον θῦμα τῷ Θεῷ ἀνετέθης,
Κάρπωμα, ἀνάθημα κεκαθαρμένον,
Ἄυλος αὐτὸς γεγονὼς καρυκεία.

Ἰδοὺ καὶ Ἐνὼς κεκτημένος τὸν ζῆλον
Τὰς ἀποδείξεις ἐναργεῖς περιέχεις
Ὧνπερ ἐνθέως ἐναπέθου ἐλπίδων,
Νάματα χρυσόρρειθρα πρὸ τέλους βλύζων
Πᾶσι τοῖς πιστοῖς ὥσπερ καὶ μετὰ τέλος.

Ἀρίστως Ἐνὼχ κατιδὼν καὶ ζηλώσας
Νομὴν τὴν θείαν καὶ εὐχάριστον, πάτερ,
f. 50 Ταύτην || ἐκτήσω· ὅθεν καὶ εἰς αἰθέρα
Ὥσπερ ἀυλότατος ἐκ γῆς πυρσεύων
Νῦν πρὸς τὸν Θεὸν μεταστὰς ἀγλαΐζει.

---

heirm. δ′ EE 37, n. 50, Joannis Arclae 41 Δεκτῶν καθιδῶν Ea καθιδὼν N 42 Ῥωπεῖ Ea δὲ] τῇ Cf θεῖαι Ea 43 Εὔχριστον Ea N τῷ Θεῷ] πρὸς Θεὸν Ea N σεαυτὸν Φa ἀνετέθης] ἀνεθύσω Φa 45 αὐτὸς] αὐτῷ Ea N Θεῷ Φa 46 ἑνὸς Ea N Ἐνώχ Φa 47 ἐναργῶς Ea 48 ὥσπερ Ea Φa ἐλπίδας Φa 49 πρὸ τέλος Cf 50 καὶ] ζῶν Φa μετὰ τέλους Ea N Φa 51 Ἀμφοῖν σὺν αὐτοῖς τὸν Ἐνῶς κατοπτεύων Φa Ἀρίστως] Ἄριστος Cf Ea καθιδῶν Ea κατειδὼν N 52 Νομὴν] Μονὴν Cf τὴν] τε Ea εὐάρεστον Φa 53 Ταύτην ἐνθέως ἐζηλώσω καὶ αὖθις Φa ἐκτίσω N 54 πυρσεύσας Φa 55 πρὸς τὸν] δὲ πρὸς Ea μεταστὰς ἀγλαΐζει] καθαρῶς προσεδρεύεις Φa

---

41-45 Anrich, *Hagios Nikolaos*, 420: Ἄβελ ὁ δίκαιος ἐπὶ τοῖς ἔργοις αὐτοῦ ἐπῃνέθη· αὐτὸς δέ, δικαιότατε πάτερ, δῶρον ὅλον σεαυτὸν θεῷ τῷ ἀνενδεεῖ λογικῶς ἀνατέθεικας.

46-50 Anrich, *Hagios Nikolaos*, 420: Ἐνὼς ἤλπισεν ἐπὶ κύριον· αὐτὸς δὲ καὶ τῶν προαποκειμένων ἐλπίδων ἤδη τὰς ἀποδείξεις ἐναργεῖς, ἔτι κατὰ γῆς περιών, προαπείληφας.

51-55 Anrich, *Hagios Nikolaos*, 420: Ἐνὼχ εὐαρεστήσας θεῷ μετετέθη· αὐτὸς δέ, τὸ τῆς ψυχῆς φρόνημα ὅλον ἀπὸ γῆς εἰς οὐρανὸν μεταθήσας, ὅλος ἐξέστης θεῷ, τὰ ῥέοντα τῶν μενόντων ἀνταλλαξάμενος.

---

41 Gen. 4,4 46 Gen. 4,26 51 Gen. 5,24

θεοτ.

Παρθένε τὸν σὸν ἀνερμήνευτον τόκον
῾Ρητρεύων οἷος ἑρμηνεύσειεν λόγος;
῞Ον γὰρ ἀγγέλων φρίττουσιν αἱ δυνάμεις
Σύμμορφον τοῖς μέροψιν ἐνθέῳ σθένει
Τέτοκας Χριστόν, τῶν πταισμάτων τὸ λύτρον.

ᾠδὴ ε΄. *Ἐχθροῦ ζοφώδους καὶ βεβορβορωμένου*

Ἀθρῶν δὲ πάλιν τὸν Νῶε καὶ ζηλώσας
Τῆς τότε κόσμον κλυζούσης δυσσεβείας
῞Απασαν τὴν ποίμνην σου ἐρρύσω, πάτερ,
Νέαν ἐνδεικνύμενος τὴν ἐκκλησίαν
῎Ισως κιβωτὸν πλήρης ὀρθοτομίας.

Κεκαθαρμένος, Νικόλαε παμμάκαρ,
Ὀλβίως πάντας ξεναγῶν ἀνεδείχθης
Λόγοις ἐν τοῖς θείοις σου, σαυτὸν Θεῷ δε
῎Αγων ὁλοκάρπωσιν Ἰσαὰκ νέον,
῎Εργον Ἀβραὰμ ἐκτελῶν ἐν τῇ πίστει.

---

56 σὸν ἀνερμήνευτον] θεοσύλληπτον Φa 57 Ρητρεύειν Ea N οἷως Ea ἑρμηνεύσειεν] ἀναμέλψει ἐ Φa λόγοις Ea 58 ἀγγέλοις N 59 Σύμμορφος N 60 τὸ] τὸν Ea

heirm. ε΄ EE 37, n. 50, Joannis Arclae heirm. 1 ζοφώδη Ea N 61 Ἀθρῶν ὡς Νῶε ἐν λάρνακι ξυλίνῃ Φa τὸν] τῶ Ea 62 κόσμω Ea Φa βλυζούσης N Φa 64 ἐνδειξάμενος Φa 65 ἴσος N ὀρθοδοξίας Ea N ὀρθοδοξίαν Φa 66 παμμάκαρ] τρισμάκαρ Ea παμπάκαρ Cf ὑπάρχον Φa 67 ῎Ολβιος Ea N ἀνεδείχθης] ἐφάνθης Φa 68 ἐν τοῖς θείοις] τοῖς ἐνθέοις Φa αὐτὸν Cf 69 ῎Αλλον ὁλοκάθαρον ῾Ισωὰκ φέρων Φa νέων Cf 70 Ἐκτελῶν ἔργα ῾Αβραὰμ ἐν τῇ πίστει Φa ἔργων Ea

---

61-65 Anrich, *Hagios Nikolaos*, 420-421: Νῶε, δίκαιος ὤν, ἐπὶ ταῖς θυσίαις εὐαπόδεκτος γέγονεν, ἐπεὶ καὶ λάρνακι ξυλίνῃ ζώων ἀλόγων γένη διέσωζε, κατακλυσμοῦ τὴν γῆν συγκαλύψαντος· αὐτὸς δὲ θύματα καὶ ἱερεῖα λογικὰ τὰς μυστικὰς λατρείας προσφέρεις θεῷ, ἄλλην κιβωτὸν δεικνὺς τὴν Χριστοῦ ἐκκλησίαν, καθάπερ ζῷα πολυειδῆ τὰ γένη τῶν ἀνθρώπων, τῆς Ἀρειανικῆς ἐπικλυζούσης αἱρέσεως, διασῴζουσαν τῇ ὀρθοτομίᾳ τῶν λόγων σου.

66-70 Anrich, *Hagios Nikolaos*, 421: Ἀβραὰμ ἐπὶ φιλοξενίᾳ καὶ φιλοθεΐᾳ θαυμάζεται καὶ ἅμα, θῦμα δεκτὸν ἀθύτως τὸν ἐξ ἐπαγγελίας υἱὸν προσάγων θεῷ, μακαρίζεται· αὐτὸς δὲ Χριστὸν αὐτὸν ξεναγεῖς ἐσθίων... ὅλον ἱερὸν σεαυτὸν θεῷ προσάγων διὰ παντὸς ὁλοκάρπωμα...

f. 50ᵛ || Θεοσεβείας κανὼν καὶ εὐσεβείας
Ἐδείχθης πᾶσιν ὡς Ἰσαὰκ ὁ πάλαι
῾Ρᾷον ἐκλυτρούμενος ἐκ τῶν κινδύνων,
῞Αγιε Νικόλαε, ἀγγελοτρόπως
Πάντας τοὺς πρὸς σὲ καταφεύγοντας πίστει.

θεοτ.

Οἱ ἀθροισθέντες τῷ πόθῳ σου ἐνθέως,
Ναὲ καὶ θρόνε θεότευκτε, βοῶμεν·
« Χαίροις, παμμακάριστε, καὶ τοὺς πιστούς σου
῾Ρῦσαι ἐξ αἱρέσεως τῆς θεομάχου,
῞Ινα σου [τὴν] σεπτὴν προσκυνοῦμεν εἰκόνα ».

ᾠδὴ ς΄. *῾Ιμερτὸν ἐξέφηνε σὺν πανολβίῳ*

Συγκραθείς, ἀοίδιμε, τοῖς ἁπλουστέροις
Τρόποις, τὰ πάθη πτερνίσας τοῦ σώματος,
f. 51 ῞Ολος ὡρά||θης ὡς Ἰακὼβ ὁ μέγας
῾Υπὲρ νοῦν, Νικόλαε, ταῖς ἀρεταῖς σου
Κλῖμαξ νοερὰ πρὸς Θεὸν ἀνυψοῦσα.

---

71 Θησαυρισμένον δικαιοσύνης βίον Φa 72 Ἐδείχθης ἄλος Ἰσαάκ, ἱεράρχα Φa Ἰσαὰκ] Ἰακὼβ N 74 ἅγιε] ἅπαντας Φa 75 Πίστει τοὺς τὴν σὺν ἀναμέλπον (τας) μνήμην Φa 76 ῾Ως ἀθροισμένοι Ea N ῾Ω(ς) συνημμένοι Φa τῷ πόθῳ] τῷ τόκῳ Ea ἐνθέως] τῷ θείῳ Φa 80 ἵνα σου scripsi: ἵνσου Cf Ea ἥν σου N ἵν᾽ σου Φa τὴν metri causa expunxi

heirm. ς΄ EE 37, n. 50, Joannis Arclae 81 Συνκραθεῖς Ea Συνκραθείς N Συντραφείς Φa 82 Τρόποις παθῶν πτερνιστὴς ἀναδείκνυσαι Φa 83 ῞Ολος ὡράθης] ῎Οντως ζηλώσας Φa ὅλως Ea τὸν μέγαν Φa 84 Νικόλαε] δημάμενος Φa 85 Κλίμακα πιστοὺς πρὸς Θεὸν ἀνυψώσας Φa ἀνυψῶσα N

71-75 Anrich, *Hagios Nikolaos*, 421: Ἰσαὰκ ἐπὶ δικαιοσύνῃ δοξάζεται· αὐτὸς δέ, καθάπερ τις κανὼν δικαιοσύνης πανταχοῦ διατρέχων ἐν πνεύματι, σὺν παρρησίᾳ πολλῇ τοὺς ἀδικεῖν ἐθέλοντας ἐπέχεις....

81-85 Anrich, *Hagios Nikolaos*, 421: Ἰακὼβ ἁπλότητι τρόπων ... ἀοίδιμος, ᾧ καὶ κλῖμαξ ἑωρᾶτο εἰς οὐρανὸν φθάνουσα... αὐτὸς δὲ... οὐκ ἐνέλειπας καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενος καὶ οἷον ἐκ βαθμῶν εἰς βαθμοὺς καὶ ἀπὸ δόξης εἰς δόξαν μεταμορφούμενος καὶ ἀπὸ γῆς εἰς οὐρανοὺς θεωρητικῶς ἀναγόμενος.

'Ακακίαν ἄριστα δεδιδαγμένος
Ἵστασ' ὡς ἄσειστος στῦλος ἀκράδαντος,
Μάκαρ, ἀθλήσας ὡς ὁ 'Ιὼβ γενναίως,
Ὑπὲρ λίαν ἄτρωτος ὑπάρχων πάσαις
Σὺ ταῖς προσβολαῖς τῶν αἱρέσεων ὅλως.

Τὸν αἰσχρὸν καὶ δύστηνον τῆς ἁμαρτίας
Ἄρδην σωφρόνως ἰὸν βδελυξάμενος,
Ὅλος ὡράθης ὡς 'Ιωσὴφ ὁ σώφρων·
Νοερῶς τῷ λόγῳ δὲ πλοιοβατήσας
Κτείνοντος λιμοῦ σιτοδοτεῖς τὴν πόλιν.

θεοτ. 'Αγαθή, ὃν τέτοκας Θεὸν δυσώπει,
Ἵνα πρὸς σὲ τὰς ἐλπίδας οἱ θέμενοι
Πάντες ῥυσθῶμεν τῆς τοῦ ἐχθροῦ μανίας,
Ῥυπαρᾶς αἱρέσεως τῶν μισοχρίστων·
Ὄντως γὰρ ἐν σοί, θεοτόκε, θαρροῦμεν.

---

86 ἄριστον Ea Φa ἄριστος N δεδιδαγμένος] συνδεδομένος Φa 87 Ἵστασ'] πάτερ Ea ἵστασο Φa στῦλος] πύργος Φa ἀκράδαντος] καὶ ἕδρασμα Ea καὶ ἄτρεμας N ἀτρέμως Φa 88 Μάκαρ, ἀθλεύων ὡς 'Ιὼβ ὁ γενναῖος Φa ὁ 'Ιὼβ scripsi metri et sensus causa: 'Ιακὼβ cdd. γενναίος Ea 89 ὑπάρχων] ἐδείχθης N τελῶν ἐν Φa 91-95 trop. om. Φa 91 αἰσχρὸν] ἐχθρὸν Ea δύστινον Cf Ea 92 Ἄρδην] ἅπαν Ea N 93 ὅλως Cf N 94 Νοερῶς] νεοστὴ Ea 95 κτείναντος Ea κτίναντος N σιτῶδοτὴς Ea σιτοδοτῆς N τὴν] σου Ea 96-100 aliud θεοτ. profert Φa:

'Αλουργὶς θεόνυμφε παρθενομῆτορ,
Ἵστη Χριστοῦ τὸν Θεὸν ἱκετεύουσα
(Π)άντας ῥυσθῆναι τῆς προκειμένης κόσμῳ
Ῥυπαρᾶς αἱρέσεως καὶ κακοδόξου,
Ὅπως σε πιστοὶ ὀρθοδόξως ὑμνοῦμεν.

96 'Αγαθὴ] 'Ακλινῶς Ea N 97 οἱ θέμενοι] ἐθέμεθα N 99 μησοχρήστων N 100 ἐν σοὶ] εἰς σὲ Cf

---

86-90 ANRICH, *Hagios Nikolaos*, 421: 'Ιὼβ ἐπὶ ἀκακίᾳ ... περιφανέστατος· αὐτὸς δὲ οὐχὶ καὶ τοῦτον ἡμιλλήθης παραζηλῶσαι, ταῖς προσβολαῖς μὴ κατασεισθεὶς τῶν αἱρέσεων ... Cfr. etiam infra vv. 106-107.

91-95 ANRICH, *Hagios Nikolaos*, 422: 'Ιωσὴφ ἐπὶ σωφροσύνῃ καὶ σιτοδοσίᾳ περιβόητος· αὐτὸς δὲ ὅλον σαυτὸν σωφροσύνης εἰκόνισμα καὶ σιτοδοσίας ἐμπόρευμα τῇ ἐπαρχίᾳ Λυκίων τῷ διδασκαλίῳ τῆς μελιχρᾶς σου φωνῆς ἐχρημάτισας. 425: ...αὐτὸς σεαυτὸν καταφανῶς ἐπιβάτου δίκην ποτὲ τοῖς πλωτῆρσι παρέστησας, λιμοῦ... τὴν σὴν πιεζούσης μητρόπολιν ... ἐκείνους παραπλεῦσαι παρέπεισας, ἵνα πεινῶντα λαὸν διαθρέψῃς...

Κοντάκιον.

Ἦχος β'. Πρός· *Τοῖς τῶν αἱμάτων ⟨σου⟩ ῥείθροις, Δημήτριε,*

Τοῖς τῶν θαυμάτων σου ῥείθροις, Νικόλαε,

. . . .

⟨Ὁ οἶκος⟩.

Πρός· *Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,*

Μύρον ἐν Μύροις βλύσαν τὰ πάντα

. . . .

Ἕτερον κοντάκιον.

Ἦχος δ'. Πρός· *'Επεφάνης σήμερον*

Ἱεράρχα ὅσιε
καὶ θεομύστα,
ὁ τὰ Μύρα μυρίσας
τοῖς θείοις λόγοις σου τερπνῶς,
ἐν παρρησίᾳ βοῶμέν σοι·
« ὅθεν ἀξίως τιμῶμεν τὴν μνήμην σου ».

⟨Ὁ οἶκος⟩.

Πρός· *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Τίς οὕτως ἄλλος ἐπὶ γῆς
τῶν Μύρων ἱεράρχης

---

heirm. κοντ. MR I, 531

Κοντ. et οἶκ., quae om. Ea N Φa, vide supra in canon. V, p. 67; κοντ. « 'Εν τοῖς Μύροις, ἅγιε » et οἶκ. « 'Ανυμνήσωμεν νῦν », quae praebet N, vide supra in canon. V, p. 67

heirm. ἑτέρου κοντ. et οἶκ. MR III, 150 οἶκ. 1 οὗτος Cf

f. 51v ἡγία||σε τὰ Μύρα
τῇ ἀγαθότητι τῇ σῇ;
σὺ καὶ τοὺς δεσμώτας
ἐκ θανάτου τοῦ πικροῦ ἐρρύσω, παμμακάριστε·
νῖκος γὰρ λαοῦ ἐδείχθης, Νικόλαε·
σὺ καὶ Ἀβλαβίῳ ἐπιστὰς ἐν ὀνείροις·
« βεβλαμμένε, ἀναστὰς ἀπόλυσον τοὺς στρατηλάτας·
ἀθῷοι γάρ εἰσι τοῦ θνήσκειν ἐξαίφνης
τῇ ἀδίκῳ σου σφαγῇ·
ἅπαξ σοι εἶπον »·
δεῦρο οὖν, σοφέ,
καὶ γνώρισον, ἵνα λέξω·
« ὅθεν ἀξίως τιμῶμεν τὴν μνήμην σου ».

f. 52 ᾠδὴ ζ'. *Ἔφλεξε ῥείθρῳ τῶν δρακόντων τὰς κάρας*

Σὺ καὶ τὸν θεῖον προζηλώσας Μωσέα
Δεινῶς Βελίαρ Φαραὼ ἐπικλύζεις
Ἕλκων ἐκ νόμου πρὸς Θεὸν καὶ δεικνύων
Χρησιμώτατον λαὸν καὶ ἁμαρτίας
Ὅλον θείαις σου πρεσβείαις λυτρούμενος.

---

heirm. ζ' EE 37, n. 50, Joannis Arclae 101 ἐζήλωσας Ea N προζηλώσαν Φa 102 Δεινὸν Ea Φa Φαραὼ ἐπικλύζεις] Φ. ἐνβυθίζει Ea ἐπικλύζων ἐδείχθης Φa 103 ἐκ νόμου] εὔχρηστον Φa 104 Χρησιμώτατον] χρησιμεύοντα Φa 105 Ὅλον πλύνων δὲ ταῖς θείαις πρεσβείαις σου Φa πρεσβείαις] λιταῖς Ea λυτρούμεθα Cf ἐκλυτρούμενος Ea.

101-105 ANRICH, *Hagios Nikolaos*, 422: Μωϋσῆς ... θεὸς Φαραὼ καὶ τοῦ Ἰσραὴλ δημαγωγὸς ἀναγράφεται· αὐτὸς δέ, πανόλβιε πάτερ... νομοθετῶν παντὶ τῷ λαῷ τῶν φαύλων ἀπέχεσθαι πράξεων, καὶ τὰς τῶν παθῶν ἐπαναστάσεις ὡς ἄλλην Φαραώνιον δύναμιν ὑποβρύχιον τῷ πελάγει τῶν σῶν κατορθωμάτων ποιούμενος.

Ὑφ' ἓν ἐν πίστει, ἐλπίδι καὶ ἀγάπῃ
Ὡς κράνῳ, τόξῳ, θυρεῷ κεχρημένος
Σὺ ἐζήλωσας τὸν Δαβὶδ καὶ ἐν ταύταις
Βεβηλώσασαν λαὸν ἐν ἁμαρτίαις
Ῥᾷστα ὤλεσας θεὰν τὴν Ἀρτέμιδα.

Ἄμφω δὲ τούτους Ἠλιοῦ καὶ τὸν ζῆλον
Χρησίμως ὤφθης σεαυτῷ ἐρανίζων,
Ὕβριν ἅπασαν παρρησίᾳ ἐπάγων
Τοῖς ἀδίκοις φονευταῖς τῶν ἀναιτίων,
Αὖθις τούτους δὲ θανάτου λυτρούμενος.

θεοτ. Τίς σοῦ, παρθένε, θεολόχευτε κόρη,
Οὐ φρίττει βλέπων τὸν πανόλβιον τόκον;
Νῦν ἐξ ὕψους γὰρ τοῖς ἐν σκότει βροτείοις
Διὰ σοῦ ὁ ἐκτομεὺς τῆς ἁμαρτίας,
Ὥσπερ ἥλιος, Χριστὸς ἐξανέτειλεν.

---

106 Ὑφὲν ἡ πίστις ἡ ἐλπὶς καὶ ἀγάπη Φa Ὑφεν ἐν Ea Ὑφὲν ἐν N 107 ὡς θώραξ δόρυ θηρεὸς ἀνδρυθεῖσα Φa ὡς κρανοτόξον θυραιὸν Ea κεκτημένος Ea N 108-109 Σύ, Νικόλαε, ὡς Δαβὶδ τῷ γενναίῳ / βεβήλοις τε τὸν λαὸν ἁμαρτίαις Φa 109 Βεβηλώσαντα Ea N 110 Ῥᾶον Ea N Φa θέαν Ea θεαντὴν N 111 Ἄφω δὲ τούτου Ἠλιοῦ τε τὸν ζῆλον Φa τούτοις cdd. καὶ] τε Ea 112 Χρήσιμος N Φa ἑαυτῶ Ea N ἑαυτὸν Φa ἐρανίζον Ea ἐρανίσων N ἐρανίσας Φa 113 Ὕβριν om. Ea παρρησίαν Ea N Φa 114 Τοῖς] ταῖς Ea ἀνατίων Φa 115 Αὖθις] Λυθεῖς Ea τούτοις Ea δὲ τούτους Φa λυτρούμενος] ῥυώμενος Ea ῥυόμενος N ῥυσάμενος Φa 116 Τίς σου τὸν τόκον τὸν παράδοξον μέλπειν Φa θεολόγχευτε Ea 117 Οὐκ ἀπορήσει, θεολόχευτε κόρη Φa 118 Τοῖς ἐν σκότει βροτείοις] καθημένους ἐν σκότει Φa 119 ἐκτομεὺς] λυτρωτὴς Ea N Φa

---

106-107 ANRICH, *Hagios Nikolaos*, 423: διό, τῷ μὲν κράνῳ τῆς πίστεως τὰς προσβολὰς τῶν παθῶν ἀποκρουσάμενος, πέτρας δίκην ἀτρέμας... ἵστασο... ἀσπίδι δὲ τῇ ἀσείστῳ κεχρημένος ἐλπίδι, καὶ τοὺς βάλλειν τολμῶντας ὑπαντιάζων ἀντιτοξεύεις.

110 ANRICH, *Hagios Nikolaos*, 127-128: ... γίνεταί τις αὐτῷ θεόθεν ἔμπνευσις ... τὸν ὑπολειφθέντα ναὸν τῆς Ἀρτέμιδος ... καταβαλεῖν ... καὶ οὐ μόνον τὰ μετέωρα αὐτοῦ πρὸς γῆν καταστρέφει, ἀλλὰ καὶ αὐτὰ τὰ θεμέλια ἀνασκάψας, τοὺς αὐτόθι ἐννεοττεύοντας δαίμονας φυγάδας ἀποδεικνύει·

114-115 ANRICH, *Hagios Nikolaos*, 129: ... ὑπὲρ τῶν τριῶν ἀνδρῶν ... κἀκείνους μέν, θνήσκειν μέλλοντας ... τοῦ θανάτου ἐρρύσατο ...

118-120 Is. 9,1; Luc. 1,78-79

f. 52v ᾠδὴ η΄. *Ἐλευθέρα μὲν ἡ κτίσις γνωρίζεται*

Ῥητορεύων μὲν τοῖς θείοις σου δόγμασιν
Ὀλβίως βροτοῖς τὴν τρισσόθεον δόξαν
Νῦν προσεδρεύεις καθαρῶς τῷ δεσπότῃ
Σὺ ἐν ὑψίστοις, Νικόλαε ὅσιε·
Αὐτὸν αἴτησαι εἰρηνεῦσαι τὸν κόσμον.

Ἰδοὺ καθεξῆς τοὺς μύστας καὶ ῥήτορας
Σοφοὺς τοῦ Χριστοῦ καὶ θείους ἀποστόλους
Σὺ προεζηλώσας, σοφὲ ἱεροκῆρυξ,
Ὥσπερ κἀκεῖνοι πανσόφως ἐκήρυξας
Ζωὴν ἅπασι καὶ ἀμείνονα τρίβον.

Ὡς κατ' εἶδος μὲν ἐν λόγοις καὶ πράξεσι
Νομίμως ζηλῶν καὶ μιμούμενος πίστει
Εὗρες τὴν χάριν τὴν ἄληκτον καὶ θείαν
Ὕπερθεν, πάτερ σοφὲ ἱερώτατε,
Χριστὸν πάντοτε σὺν αὐτοῖς ἀπολαύων.

θεοτ. Ἀποροῦντες μὲν ὑμνεῖν σε, παντάνασσα,
Ἰδοὺ πρὸς τὴν σὴν καταφεύγομεν σκέπην·

heirm. η΄ EE 37, n. 50, Joannis Arclae 121 Ῥητορεύομεν Cf -εύωμεν Ea Ῥήτορες ἐσμὲν Φa 122 ὄλβιος N Φa βροτοῖς] βότρυς Φa τρισόθεον Ea Φa 123 Νῦν τῷ δεσπότῃ καθαρῶς προσεδρεύεις Φa προεδρεύεις Ea 124 Συνηδριμένος, Νικόλαε πύρσιε Ea Σὺ ἡδρυμένος, Νικόλαε πύρσιε N Σὺ ἐν ἱδρύνθης, Νικόλαε πάνσοφε Φa 125 Αἰνῶν Κύριον προφητῶν συγχωρεύεις (συγχορείαις N) Ea N; v. om. Φa 126-135 alia trop. profert Φa: Ἰωάννης μὲν βαπτίζων ἐν ὕδατι / σαφῶς τὸν λαὸν μετάνοιαν ἐβόα / σὺ δὲ ὡς τύπος ἐναργὴς μετανοίας / ᾧ (ὢ cd.) καὶ ἐμπρέπων ἐκήρυξας τοῖς πᾶσι / ζῆν τὴν ἄριστον πρὸς Θεὸν πολιτείαν. Ὡς τὴν χάριν δὲ τὴν ἐκ πνεύματος θείου / νομίμως ζηλῶν τοὺς θείους ἀποστόλους, / ἔνδοξε, ὤφθης κηρύσσων ἐν τῷ κόσμῳ / ὑμνεῖν Πατέρα τὸν ἄναρχον ἐντόνως / Χριστὸν Λόγον τε καὶ πανάγιον Πνεῦμα. 128 πρὸς ζηλώσας Cf N σοφοὺς Cf 129 πανσόφους Cf ἐκήρυξαν N 130 ἅπασαν N 131 κατεῖδος Cf κατεἶδος Ea κατείδος N ἐν] καὶ Ea 132 πίστει] πάντας Cf Ea 134 ἱρότατε N 135 Χριστῷ Ea N πάντοτο N σὺν αὐτοῖς ἀπολαύων] συναπολάων Cf 136 μὲν] νῦν Φa παντάνασσα] τρισάνασσα Ea N κατ' ἀξίαν Φa 137 καταφεύγω Φa

123 Anrich, *Hagios Nikolaos*, 426: ... νῦν ποιμαίνεις ... ἡμᾶς ... καθαρῶς τῷ καθαρῷ προσεδρεύων θεῷ ...

Σὺ δὲ ἀφράστως, ὃν τέτοκας σωτῆρα,
Τοῦτον δυσώπει ἀπαύστως, πανάχραντε,
Ὀρθήν, ἄσυλον φρουρηθῆναι τὴν πίστιν.

f. 53 ᾠδὴ θ΄. *Ὢ τῶν ὑπὲρ νοῦν τοῦ τόκου σου θαυμάτων*

Ὕπερθεν ἀεὶ τοὺς δούλους σου λυτροῦσαι
Σὺ ὡς ἄγγελος ἄσαρκος χρηματίσας
Μεγάλων, πάτερ, πειρασμῶν καὶ κινδύνων,
Ἐλέγχων παρρησίᾳ καὶ βασιλέων
Λύτταν ζέουσαν πρὸς τὸν ἄδικον φόνον.

Πᾶσι προφανῶς τοῖς πόθῳ σε τιμῶσιν
Εὐχαῖς προφθάνεις ὅλως καὶ παρεμφαίνῃ
— Ἰδοὺ γὰρ ὄντως καὶ τοῦ φόνου τὴν μῆνιν —
Νικόλαε, οἱ σκέπην σε κεκτημένοι
Σὴν ἐπίκουρον εὕρομεν προστασίαν.

138 Σὺ δέ, παρθένε, ὃν τέτοκας ἀφράστως Φa 139 Τοῦτον εὐτόνως, πανάχραντε, δυσώπει Φa ἀπαύστως, πανάχραντε] θεοτόκε, ἀπαύστως Ea 140 φρουρηθῆναι] τηρηθῆναι Φa
heirm. θ΄ EE 37, n. 50, Joannis Arclae 141-160 ode θ΄ omnino differt in Φa, sed non aliena est ab acrostichide: Ὕμνον εὐτελῆ, Νικόλαε, τολμῶντες / Σοὶ προσφέρομεν (-ωμεν cd.)· καὶ γὰρ τοὺς πάντας ῥύεις / Μεγάλων αὖθις πειρασμῶν καὶ κινδύνων / Ἐλέγχων πάλιν θράσος βασιλέων / Λύτταν ἀθέου πάσης φιλαργυρίας. Πᾶσι τοῖς πρὸς σὲ ἐκ πόθου ἑλκομένοις / Εὖ (Εὖ scripsi propter acr.: Σὺ cd.) πάντοτε νέμεις ἐπι//κουρίαν· / Ἰδοὺ γὰρ ὄντως καὶ ἡμεῖς τῆς (τῇ cd.) τοιᾶσδε, / Νικόλαε, τὴν πεῖραν εἰληφότες / Προσφέρομεν ὕμνον εὐχαριστίας. ⟨Ε............ / Τ............ / Ο.................. / Λ.................. / Μ..................⟩. Ὅσοι πρὸς τὸν σὸν θεότευκτον, παρθένε / Νύμφη πάναγνε, οἶκον λελαμπρυσμένον / Τὸν σὸν υἱόν τε καὶ Θεὸν καὶ σωτῆρα / Αὐτὸν δοξολογοῦντες ὡς εὐεργέτην / Σοὶ προσφέρομεν ὕμνον εὐχαριστίας. 141 λύτρωσαι Cf 142 Σὺς Cf χρηματίζων Ea N 144 παρρησίαν Ea βασιλέα N 145 Λύτταν ἄθλιον (ἄθεον N) πάσης μισανθρωπίας Ea N 146 τιμῶσιν] ζητοῦσιν Ea N 147 εὐχαῖς προφθάνεις] εὐπροφθάνιστε Ea εὖ προφθάνεις τε N παρεμφαίνων Ea -νεις N 148 φόνου τὴν μῆνιν] μίσους τὴν πεῖραν Ea N 149 Νικόλαε, τῇ σκέπῃ σου εἰληφότες Ea Νικόλαε, τοὺς σκέπην σου εἰληφότας N 150 Σὴν] Σὲ Ea N εὕρομεν προστασίαν] εὕρημε καὶ προστάτην Ea εὕρωμεν καὶ προστάτην N

144-145 Cfr. canon. VIII, vv. 211-217.

Ἔχων πρὸς Θεὸν φαιδρὰν τὴν παρρησίαν
Τήν τε θείαν καὶ ἄληκτον εὐφροσύνην
Οὐκ ἀπολείπῃ τῶν πιστῶν σου καὶ δούλων,
Λαμπρύνεις, φρυκτωρεῖς δὲ καὶ τρανοτέρως
Μᾶλλον ἅπαντας, ὅσιε, κατοπτεύεις.

θεοτ. Ὡς σὺ πρὸς Θεὸν καὶ ὢν καὶ προσεδρεύων
Νῦν τῇ θείᾳ Τριάδι καὶ παναγίᾳ,
Τῇ θεοτόκῳ καὶ τοῖς πᾶσιν ἁγίοις
f. 53v || Ἀεί σου τοὺς τελοῦντας τὴν θείαν μνήμην
Σαῖς ἐντεύξεσι φρούρει, σῶζε καὶ σκέπε.

---

153 ἀπολοίπης Ea 154 λαμπρύνων Cf N φρυκτωρεῖς δὲ] φρυκτωρίαις Cf τρανοτέρω N 155 ὅσιε, κατοπτεύεις] σώζεις καὶ καθοπτεύεις Ea N 156 Ὡς σὺ πρὸς Θεὸν scripsi: Ὅλως σὺν Θεῷ Cf N Ὅλος πρὸς Θεὸν Ea ὢν N 157 καὶ] τῇ Cf 159 Ἀεὶ τοὺς τελοῦντάς σου Ea τοῖς τελοῦσι N 160 σῶζε φρούρει καὶ σκέπε Ea N

IN SANCTUM NICOLAUM

Mess. gr. 139 = Ma, ff. 98v-101v
Palat. gr. 138 = L, ff. 292v-294v
Paris. gr. 1621 = Ph, ff. 58-61v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Δέχου τὸν ὕμνον, Νικόλαε τρισμάκαρ.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Δοθήτω μοι ἄνωθεν
ταῖς σαῖς πρεσβείαις, Νικόλαε,
τοῦ πνεύματος ἔλλαμψις
καὶ θείων λόγων ἰσχὺς
ἐπαξίως σου
τὴν μνήμην εὐφημῆσαι
τὴν ὄντως πανίερον,
θεομακάριστε.

Ἐπέβης ὀχήματος
τῶν ἀρετῶν σου, Νικόλαε,
καὶ γῆθεν ἀνέδραμες
πρὸς τὰ οὐράνια
καὶ παρέστηκας
ἐνώπιον Κυρίου

---

tit. nomen hymnographi Θεοφάνους in marg. cd. Ma indicatur Ἕτερος κανὼν οὗ ἡ ἀκροστιχίς... et in marg. Γαβριὴλ L Εἰς τὸν ὄρθρον μετὰ τὴν συνήθη στιχολογίαν... ψάλλομεν κανόνας τρεῖς... Ph

heirm. α' EE 99, n. 141, Joannis 9 ὀχήματι Ma Ph 11 διέδραμες Ma Ph

ποικίλοις χαρίσμασιν
ὡραϊζόμενος.

Χορεύουσιν, ἔνδοξε,
τὰ τῶν ἀγγέλων στρατεύματα
καὶ κόσμου τὰ πέρατα
πανηγυρίζουσι
σέ, Νικόλαε,
τὸν ἄριστον προστάτην
πλησίον θεώμενα
τοῦ παντοκράτορος.

Ὅλος ἐνδιαίτημα
φωτὸς τοῦ θείου γενόμενος,
παμμάκαρ Νικόλαε,
ταῖς τῶν θαυμάτων αὐγαῖς
τὴν κατήφειαν
ἐλαύνεις τῶν ἀνθρώπων,
f. 99 χαρᾶς ἀ||νατέλλεις δὲ
τὴν ὡραιότητα.

θεοτ. Ὑπερέβης, ἄχραντε,
τῶν οὐρανίων δυνάμεων
τὰς τάξεις, κυήσασα
τὸν παντοκράτορα
καὶ τῆς κτίσεως
κυρία ἀνεδείχθης
πάντας διασῴζουσα
τοὺς ἀνυμνοῦντάς σε.

ᾠδὴ γ'. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε,*

Τὸ θεῖον ἀξίωμα κοσμήσας
τῆς ἱεραρχίας τοῦ Χριστοῦ,
πεποικιλμένος χάριτι,

22 ἄριστον] ῥύστην καὶ L 23 θεώμενα] δεόμενα Ma 29 κατειφίαν Ma 30 τῶν] τὴν Ma Ph
heirm. γ' EE 100, n. 141, Joannis

συλλειτουργεῖς, μακάριε,
ταῖς ἀσωμάτοις τάξεσιν
ἐν τοῖς ὑψίστοις, Νικόλαε.

Οὐρανὸς δεξάμενος τὸ πνεῦμα
τὸ σὸν καταυγάζει τοὺς πιστούς,
τὸ καθαρὸν δὲ σκῆνός σου
ἡ ἐκκλησία φέρουσα
ταῖς μυροδότοις βλύσεσι
ζωὴν πηγάζει τοῖς πέρασι.

Νικήσας τὸν κόσμον, ἱεράρχα,
τῆς νίκης τὸ στέφος ἐκ Θεοῦ
ἀπείληφας, Νικόλαε,
ὡς νικητὴς πανάριστος,
νυνὶ δὲ τὰ οὐράνια
περιπολεύεις βασίλεια.

Ὕμνοις ἀλαλάζουσι δικαίων
τὰ πνεύματα σήμερον ἐν σοί·
ἐν ἐκκλησίᾳ χαίρει δὲ
τῶν ἱερέων σύλλογος
καὶ πᾶς ὁ κόσμος ᾄδει σου
τὰ μεγαλεῖα, Νικόλαε.

θεοτ. Μέγα καὶ παράδοξον, παρθένε,
φρικτῶς τὸ τελούμενον ἐν σοί·
καινοτομεῖς τὰς φύσεις γὰρ
παρθένος διαμείνασα
μετὰ τὸν τόκον, ἄχραντε·
διό σε πάντες γεραίρομεν.

44 μακάριε] Νικόλαε L 46 Νικόλαε] μακάριε L 52 πηγάζεις cdd. 57 νυνὶ δὲ] καὶ νῦν πρὸς Ma Ph 61 ἐν] ἡ Ph L 62 τῶν] καὶ L 66 φρικτὸς Ma φρικτὸν Ph L 67 κενοτομεῖς Ma 68 δειαμείνασα Ma post oden γ' Ph eadem καθ. profert quae transtulimus in canon. V: Ἀναβὰς εἰς τὰ ὕψη τῶν ἀρετῶν et Τὴν πηγὴν τῶν θαυμάτων

ᾠδὴ δʹ. *Ὁ καθήμενος ἐν δόξῃ*

Νόμον θείων ἐνταλμάτων
πρακτικῶς φυλαξάμενος,
μιμητὴς ἐδείχθης
τοῦ νομοθετήσαντος, ἔνδοξε,
δικαιοσύνην θεσπίζων
περιάγεσθαι
τοὺς κραυγάζοντας·
« δόξα, Χριστέ, τῇ δυνάμει σου ».

Ὁ Θεός σε θαυμαστώσας
ἐν ἁγίοις, Νικόλαε,
ταῖς τερατουργίαις
ὄντως ἐν τῷ κόσμῳ ἐδόξασε·
σὲ ταχινὸν γὰρ προστάτην
ἐδωρήσατο
τοῖς κραυγάζουσι·
« δόξα, Χριστέ, τῇ δυνάμει σου ».

Νεμομένην σου τὴν ποίμνην
θηριώδη ὠμότητα
τῇ ποιμαντικῇ σου
ῥάβδῳ, ὦ Νικόλαε, ἤλασας,
ἀπὸ θανάτου ἀθῴους
λυτρωσάμενος
ἀνακράζοντας·
« δόξα, Χριστέ, τῇ δυνάμει σου ».

Νεκρωθῆναι λογισθέντας
ἀδικίας ψηφίσματι
τῇ σῇ προστασίᾳ
ἄνδρας διεσώσω, Νικόλαε,

heirm. δʹ EE 95, n. 135, Joannis 75 δικαιοσύνης Ma δικαιοσύνη L 76 περιάγεσθε Ma 78, 86, 94, 102 post δ(όξα) orat. varie detruncant cdd. 79 σε] ὁ L 80 ἐν ἁγίοις] ὑπὲρ λόγον L Ph 81 ταῖς] σὲ L 83 σὲ] καὶ L γὰρ] σε L 87-94 trop. om. Ma 91 ἀθώους ἀπὸ θ. Ph 93 τοὺς κραυ(γάζοντας) L 96 ἀδικίας] ἀκιδίας Ma

καὶ ἡγεμόνας ἐλέγξας
f. 99v || τῆς κακώσεως
ἀνεκραύγαζες·
« δόξα, Χριστέ, τῇ δυνάμει σου ».

θεοτ. Ἰδού, καθὼς προηγγέλθη,
ἡ παρθένος συνέλαβε
τὸν Θεὸν τῶν ὅλων
καὶ σαρκὶ τῷ κόσμῳ ἐκύησε
πλάνης, φθορᾶς καὶ κινδύνων
διασώζουσα
τοὺς κραυγάζοντας·
« δόξα, Χριστέ, τῇ δυνάμει σου ».

ᾠδὴ εʹ. *Ἐξέστη τὰ σύμπαντα*

Καινὰ καὶ παράδοξα
καὶ θαυμαστά, Νικόλαε,
κόσμῳ ἐπεδείξω θείοις πόνοις
δικαιοσύνης
ὡς ἱερεὺς ἀληθῶς
νόμων ἀντεχόμενος στερρῶς,
τῶν τυραννουμένων δὲ
προϊστάμενος ἄριστα.

Ὁλόφωτον στῦλόν σε
καὶ ἱερὸν ἀνάθημα
ἔχουσα Χριστοῦ ἡ ἐκκλησία
μέγα κομπάζει
ταῖς τῶν θαυμάτων αὐγαῖς
πάντας καταυγάζουσα φαιδρῶς
πίστει τοὺς ὑμνοῦντάς σε,
ἱεράρχα Νικόλαε.

heirm. εʹ EE 100, n. 141, Joannis 115 ἱερούς Ma ἀληθὴς Ph 116 νόμον Ma Ph 117 δὲ] σὺ Ph τε L 124 καταυγάζουσα] καταυγάζεις γὰρ L

103-106 Is. 7, 14

Λεγεῶνες σήμερον
ἀγγέλων σε δεξάμεναι
τάξεις τῶν δικαίων τε, παμμάκαρ,
πεποικιλμένον
ταῖς ἱεραῖς καλλοναῖς
τῶν ἐννόμων πράξεων Θεοῦ
ὕμνησαν, Νικόλαε,
σὺν ἡμῖν ἑορτάζουσαι.

θεοτ. Ἁγίων τὸν ἅγιον,
ὑπεραγία, τέτοκας
πάντας ἁγιάζοντα τοὺς πίστει
σὲ θεοτόκον
ὁμολογοῦντας, ἁγνή,
τὴν ἁγιωτέραν τοῦ παντὸς
πάντων τε βοήθειαν,
θεοτόκε πανύμνητε.

ᾠδὴ ς′. *Τὴν θείαν ταύτην καὶ πάντιμον*

Ἐν ὕμνοις πάντες κροτήσωμεν
τελοῦντες ἑορτὴν οἱ θεόφρονες
τοῦ ἱεράρχου λαμπρὰν
δοξολογοῦντες τὸν Κύριον,
τὸν δι' αὐτοῦ τὴν χάριν
ἡμῖν βραβεύοντα.

Τὸν μέγαν πάντες προστάτην ἡμῶν
Νικόλαον φαιδρῶς ἑορτάζοντες
ὑμνολογήσωμεν,

---

128 σοι L δεξάμενοι L 130 -ων L 131 καλλοναῖς] ἀρεταῖς Ph 132 ἐννόμων] ἐνθέων L Θεὸν Ph 135 τὸν ἅγιον] τῶν ἁγίων Ma 139 ἁγνὴ] σεμνὴ L 140 ἁγιωτέρα Ph 141 πάντων τε] πάντοτε Ma Ph 142 θεομῆτορ L

heirm. ς′ EE 100, n. 141, Joannis 149 πάντων Ma Ph 151 δοξολογήσωμεν L

**αἶνον Θεῷ ἀναφέροντες,
τῷ δι' αὐτοῦ κινδύνων
ἐκλυτρουμένῳ ἡμᾶς.**

**Ῥομφαίαν δίστομον ἤμβλυνας
κατὰ τῶν ἀνευθύνων ἣν ἔλαβεν
ἡ τῶν ἀδίκων φθορά,
ἀλλὰ καὶ νῦν, ὦ Νικόλαε,
f. 100 τῶν || καθ' ἡμῶν φρονούντων
ἔμφραξον στόματα.**

Ἰδοὺ καιρὸς ἑορτάσιμος,
ἡμέρα πανηγύρεως σήμερον,
πάντες χορεύσωμεν
ὕμνοις Νικόλαον στέφοντες,
τὸν ἀληθῆ προστάτην
ἡμῶν καὶ πρόμαχον.

θεοτ. Σὲ προστασίαν κεκτήμεθα
καὶ καύχημα καὶ τεῖχος ἀκράδαντον,
θεογεννήτρια,
καὶ κατ' ἐχθρῶν ὅπλον ἄτρεπτον·
διὸ μὴ καταισχύνῃς
τοὺς σὲ δοξάζοντας.

Κοντάκιον.

Ἦχος δ′. Πρός· *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως*

Ὁ ἐπινίκιος αὐλός, ἱεράρχα,
....

---

152 ἀναπέμποντες L 153 τὸν Ph 154 ἡμᾶς λυτρούμενον Ma Ph 156 ἣν Ma 157 φθορὰ] φορὰ Ph 159 φθονούντων Ph φονώντων L 161 ἑορτάσιμος] -σωμεν L 167 Σὲ] Σὲ πάντες Ma 170 ὅπλον ἄτρεπτον] ἀμυντήριον L

---

155 Ps. 149,6; Cant. 3,8

Ὁ οἶκος.

Πρός· *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Ὡς τῆς σοφίας ἀρχηγὸς

. . . .

ᾠδὴ ζ′. *Οὐκ ἐλάτρευσαν τὴν κτίσιν οἱ θεόφρονες*

Μετ' ἀγγέλων σε, Νικόλαε, χορεύοντα
ὁ τῶν ἁγίων χορὸς
ἐν τοῖς ὑψίστοις ὁρῶν
σὺν ἡμῖν ἐφύμνιον
ᾠδὴν προσᾴδει βοῶν·
« ὑπερύμνητε,
ὁ τῶν πατέρων Κύριος
καὶ Θεός, εὐλογητὸς εἶ ».

Ἀκαταίσχυντον προστάτην σε γινώσκοντες
οἱ στρατηλάται σαφῶς
περιπεσόντες δεινοῖς
οὐδαμῶς ἀπήλπισαν
Θεῷ βοῶντες σὺν σοί·
« ὑπερύμνητε,
ὁ τῶν πατέρων Κύριος
καὶ Θεός, εὐλογητὸς εἶ ».

f. 100v ‖ Κατεκλόνησε τοῦ κράτους τὴν εὐσέβειαν
τῶν βασκαινόντων ῥοπὴ
ἀθῴους ἄγουσα τρεῖς

Κοντ. et οἶκ. TRM II, 77; κονδ. «Ἐν τοῖς Μύροις, ἅγιε,» et οἶκ. «Ἀνυμνήσωμεν νῦν» praebet Ph, quae vide supra in canon. V

heirm. ζ′ EE 100, n. 141, Joannis heirm. 1 τῇ κτίσει EE 173 Μετὰ ἀγγέλων Ma χορεύοντα om. Ph 177 χορείαν ἄγει β. Ma Ph προσάδειν L 178, 186, 194, 202 post ὑπερύμνητε orat. varie abrumpitur 184 οὐδόλως L 185 σὺν] ἐν Ph 189 Κατεκλόνησαν Ma 190 βασκενόντων Ma ῥοπῇ cdd.

181-188 Cfr. canon. VIII, vv. 197-203.

πρὸς φόνον· ἀλλ' ἔσωσας
ἀναβοῶντας αὐτούς·
« ὑπερύμνητε,
ὁ τῶν πατέρων Κύριος
καὶ Θεός, εὐλογητὸς εἶ ».

Ἀπὸ βάθους σοι ψυχῆς βοῶντες εὗρόν σε,
μάκαρ Νικόλαε,
ἐπιστασίᾳ φρικτῇ
βοηθὸν ἐν θλίψεσιν
οἱ φθόνῳ θνήσκοντες·
ὑπερύμνητε,
ὁ τῶν πατέρων Κύριος
καὶ Θεός, εὐλογητὸς εἶ.

θεοτ. Ῥήσεις πάλαι σε, παρθένε, προκατήγγειλαν
προφητικαὶ τοῦ Θεοῦ
μητέρα ἔσεσθαι,
ἡμεῖς δὲ θεώμενοι
τούτων τὴν ἔκβασιν
ἀναμέλπομεν·
« εὐλογημένος, πάναγνε,
ὁ καρπὸς τῆς κοιλίας σου ».

ᾠδὴ η′. *Ἄκουε, κόρη παρθένε ἁγνή,*

« Ἄκουε, ἄναξ », φησὶν ἐπιστὰς
Νικόλαος τῷ βασιλεῖ,
« Βουλῇ ματαίᾳ

197 σοι om. L 198 μάκαρ] πάτερ L 202 ὑπερύμνητε] καὶ ἐκραύγαζον Ph ὅθεν ἔψαλλον L 207 μ. σε ἔσεσθαι Ph 208 δὲ om. L 210 ἀναμέλπωμεν Ph 211-212 in horum loco vv. 203-204 repetunt L Ph 212 post καρπὸς orat. detruncat Ma

heirm. η′ EE 100, n. 141, Joannis post ᾠδὴ η′ haec praebet Ma: φέρ(ουσα) ἀκρ(οστιχίδα) τήνδε κατὰ ἀλφάβητον ἰω(άννου) (μον)αχ(οῦ) 213-278 ode η′ dialogum continet Νικολ(άου) et Βασ(ιλέως), quorum nomina scriba cd. Ma in marg. indicavit 215 Βουλὴν ματαίαν Ma Ph

213-219 Cfr. canon. VIII, vv. 211-217.

205-207 Cfr. sup. vv. 103-106

κακίας τῶν πονηρῶν
Γενναίους τρεῖς ἄνδρας, οὓς κατέκρινας σὺ
Διὰ φθόνον συσχεθέντας, νῦν
μὴ ἀδίκως θανεῖν παραδῷς,
ἀλλ' ἄνες τούτοις βοᾶν·
'εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας' ».

« Εἰπὲ προδήλως τίς εἶ ὁ λαλῶν »,
ἀντέφησεν ὁ βασιλεύς·
« Ζωὴν κελεύεις
πῶς δώσω τοῖς τὴν ἐμὴν
Ἠθετηκόσι ζωὴν πονηρῶς;
Θέλω γνῶναι δὲ πῶς ὤφθης μοι
θαρρήσας ἐν θαλάμῳ ἐλθεῖν,
ἵνα βοῶ μετὰ σοῦ·
'εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας' ».

« Ἰδού σοι λέγω, πιστὲ βασιλεῦ,
Νικόλαός εἰμι ἐγὼ
Κοσμῶν ἐν Μύροις
τὸν θρόνον τὸν ἱερόν,
Λαλοῦντι δέ σοι μὴ ἀπίστει μοι νῦν·
Μέγα γάρ σου τὸ ἀτόπημα

217 τρεῖς ἄνδρας, οὓς] τοὺς τρεῖς οὕσπερ L   κατέκρινας σὺ] προέκρινας νῦν Ma   218 νῦν] δε L   219 ἀδίκως μὴ θανάτῳ προδῷς L   τοῦ θανεῖν Ph   220 τούτους Ph   221, 232, 243, 254, 264, 276 post εὐλο(γεῖτε) orat. varie detruncatur   227 πῶς] ὅπως Ma   228 πονηρὸς Ma   229 γνῶναι δὲ] γνώνεμαι Ma   235 σοι λέγω] σοὶ λέγεις Ma   σὺ λέγω Ph   237 κόσμον Ma   239 νῦν om. Ph   240 σοι Ma Ph

224-230 ANRICH, *Hagios Nikolaos*, 75: καὶ εἶπεν ὁ βασιλεύς· « Τίς εἶ σύ, καὶ πῶς εἰσῆλθες ὧδε εἰς τὸ ἐμὸν παλάτιον τῇ ὥρᾳ ταύτῃ; »

235-238 Cfr. canon. VIII, vv. 218-224.

239-241 ANRICH, *Hagios Nikolaos*, 74: « . . . ἀπόλυσον τοὺς τρεῖς ἄνδρας . . . εἰ δὲ παρακούσῃς μου, πόλεμόν σοι συνάψω . . . ἔντευξιν ποιησάμενος κατὰ σοῦ ἐπὶ τοῦ μεγάλου βασιλέως Χριστοῦ. »

εἰ τούτοις οὐκ ἐάσεις τὸ ζῆν,
ἵνα βοῶσι σὺν σοί·
'εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας' ».

« Νόμου κακίας ἀπόστηθι νῦν,
Ἀβλάβιε ὦ ἡγεμών, »
Ξενίζων τοῦτον
ἐβόα ὁ ἱερεύς·
« Ὁ δόλος γὰρ πηρώσας ὄμματα σὰ
Πονηρῶς τοὺς τρεῖς κατέκρινε
θανεῖν ἀθῴους ὄντας αὐτούς·
ἀλλ' ἄφες τούτους βοᾶν·
« εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

« Ῥήματα πῶς ταῦτα φθέγγει μοι νῦν;
εἰπὲ τίς εἶ, πῶς δὲ θαρρῶν
Συχνῶς κελεύεις;
πῶς ἦλθές μοι ἐπιστάς; »
f. 101 « Τί || μοι, ὦ ἡγεμών, ἀπιστεῖς;
Ὑποδείξω σοι τὸ ὄνομα·
Νικόλαος τῶν Μύρων εἰμί·
διὸ καὶ βόα πεισθείς·
'εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας' ».

241 εἰ] ἂν Ph   ἡ Ma   τούτους Ma   ἐάσεις] χαρίσῃ L   τὸ] τοῦ Ph   ζῆ L   246 Νόμων L   248 τούτῳ Ma   250 γὰρ] καὶ γ. L   πηρώσας] ὁ π. Ph   πειρώσας Ma   251 πονηρὸς Ma   κατέκρινας Ph   252 αὐτοὺς] νυνὶ Ma   253 ἄφες] ἄνες Ph   257 πῶς ταῦτα φθέγγει] φθέγγῃ τοσαῦτα L   258 πῶς δὲ] ὁ ὧδε Ph   259 συχνὰ Ma Ph   κελεύει Ma   κελεύων Ph   260 πῶς ἦλθες] προῆλθες Ma Ph   261 Τί δὲ Ph L   μοι, ὦ ἡγεμὼν] με ὁ ἡ. Ma   μοι] μ. ὅλως L   263 τῶν] ὁ L   264 καὶ βόα] ἐβόα Ma Ph

246-252 Cfr. canon. VIII, vv. 232-235.

Φωνῆς ὡς ἤκουσαν κλήσεως σῆς,
Νικόλαε, οἱ ἐν δεσμοῖς
Χαρᾶς πλησθέντες
εὐθέως τῷ βασιλεῖ
Ψυχαγωγοῦντες ἀπαγγέλλουσιν
Ὡς θαυμάσια τὰ ἔργα σου
καὶ παρ᾽ αὐτοῦ λαβόντες τὸ ζῆν
ἀνέκραζον διὰ σοῦ·
« εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ᾽. *Ἅπας γηγενὴς*
σκιρτάτω τῷ πνεύματι

Χαίροις, τοῦ Θεοῦ
λειτουργέ, Νικόλαε,
καὶ παναοίδιμε,
χαίροις, ἐγκαλλώπισμα
τῶν ἱερέων,
δικαίων καύχημα,
τῆς ἐκκλησίας στήριγμα,

---

268 κλίσεως Ma 272 Ψυχαγωγηθέντες L ἀνήγγειλάν σοι Ma Ph 273 τὰ ἔργα σου] ἐποίησας L Ph 274 παρ᾽ αὐτοῦ] παρευθὺ L τὸ] τοῦ Ph ζεῖν Ma 275 διὰ σοῦ] εὐσεβῶς L μετὰ σοῦ Ph Post trop. « Φωνῆς ὡς ἤκουσαν » hoc θεοτ. profert L:

Φωσφόρος θρόνος τοῦ πάντων Θεοῦ
ὑπάρχουσα, μῆτερ ἁγνή,
Χερσὶν ὡς τοῦτον
βαστάσασα ἱεραῖς,
Ψυχὴν τὴν ἐμὴν φωταγώγησον νῦν
Ὡραιότητα φαντάζεσθαι
τοῦ τόκου τοῦ ἀχράντου σου,
ἵνα βοῶ ἐν χαρᾷ·
« εὐλογεῖτε πάντα τὰ ἔργα (τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας) ».

heirm. θ᾽ EE 100, n. 141, Joannis 281 ἀξιοθαύμαστε L 285 στήριγμα] ἔρεισμα Ph

τῶν μοναζόντων κρηπίς,
δεομένων
χορηγὸς οὐράνιος
καὶ προστάτης θερμὸς τῶν ὑμνούντων σε.

Ἄδει σὺν ἡμῖν
ἱερὰ μητρόπολις
τῶν Μύρων σήμερον
θησαυρὸν πολύτιμον
ἐγκεκτημένη,
ἐξ οὗ προέρχεται
ναμάτων δίκην δαψιλῶν
μύρα θεόβρυτα
τοῖς βοῶσι·
« χαίροις, παμμάκαριστε
ἱεράρχα Χριστοῦ, ὦ Νικόλαε ».

Ῥεῖθρον διαυγὲς
ἡ σορὸς προχέουσα
τοῦ σοῦ σκηνώματος
πᾶσαν καταρδεύει μὲν
τὴν ἐκκλησίαν,
πᾶσι παρέχει δὲ
ἀναψυχὴν ἐκ πειρασμῶν
ταῖς μυροπνόοις ὀδμαῖς
τοῖς βοῶσι·
« χαίροις, παμμακάριστε
ἱεράρχα Χριστοῦ, ὦ Νικόλαε ».

Ἴδε τοὺς τὴν σὴν
ἐκ πόθου τελοῦντας νῦν

---

288 οὐράνιος] σωτήριος L 289 θερμῶς Ma 292 τῶν Μύρων] Μυρέων L 294 ἐνκεκτημένη Ma σὲ κεκτημένη L 295 προέρχεται: fort. scribendum προχέεται 296 δίκην] θείων Ph 297 θεόρρυτα Ma Ph 300 Χριστοῦ, ὦ] Κυρίου L 302 ἡ] εἰ Ma 304 π. καταρδεύουσα L 306 πᾶσαν π. ἡμῖν L 308 τοῖς Ma μυριπνόοις Ph ὀδμαῖς] ὁρμαῖς Ma 311, 322 Χριστοῦ, ὦ] Κυρίου L Ph 312 Ἴδε τῶν πρὸς σὲ Ma Ph 313 πόθῳ τῶν τελούντων σου Ma πόθῳ ἐκτελούντων σου Ph

τὴν μνήμην, ἔνδοξε·
χάριν οὐρανόθεν δὲ
τῷ πλέξαντί σοι
τὸν ὕμνον βράβευσον
καὶ ἐκ παθῶν καὶ συμφορᾶς
λύτρῶσαι πάντας ἡμᾶς
τοὺς βοῶντας·
« χαίροις, παμμακάριστε
ἱεράρχα Χριστοῦ, ὦ Νικόλαε ».

θεοτ. Σὺ εἶ τῶν πιστῶν
τὸ μέγα προσφύγιον,
f. 101ᵛ παρθένε ἄ|| χραντε,
σὺ εἶ ἡ βοήθεια
καὶ σκέπη πάντων
τῶν προστρεχόντων σοι·
ἀλλὰ διάσωσον ἡμᾶς
ἐκ τῆς μελλούσης ὀργῆς
σοὶ βοῶντας·
« χαίροις, παμμακάριστε
θεοτόκε, ἁγνή, ἀειπάρθενε ».

315 χάριν οὐρανόθεν] χαίροις ὁ οὐρανόθεν Ma 318 συμφορῶν L 326 εἶ ἡ] ἡμῶν L ἡ om. Ma 328 σοι] εἰς σὲ L 329 διὸ ἡμᾶς δ. L 331 σὺ Ma τοὺς L

IN SANCTUM NICOLAUM

Crypt. Δ.α. XIV = Cf, ff. 75ᵛ-80ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν μέγαν Νικόλαον ὕμνοις γεραίρω.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος*

Τὸν μέγαν καὶ θαυμαστὸν Νικόλαον
ὡς περιβόητον
τερατουργὸν ὑμνήσωμεν, λαοί,
ἐν εὐσήμῳ ἡμέρᾳ πιστῶς
τῆς αὐτοῦ μεταστάσεως
Χριστὸν τὸν Κύριον δοξάζοντες.

Ὁ σάρκα καθυποτάξας πνεύματι
f. 76 ταῖς ὑψηλαῖς ἀ|| ρεταῖς
καὶ τῶν παθῶν ὀλέσας τὴν ἰσχύν,
πατροπάτορ Νικόλαε,
χαίροις· χαρᾶς γὰρ πρόξενος
τοῖς σὲ ποθοῦσι πέλεις, ἅγιε.

Νυμφίος τῆς ἐκκλησίας εὔσχημος
καὶ κόσμος ἄριστος
τῇ πρὸς Θεόν σου σκέπῃ πεφυκώς,

tit. Ἕτερος κανὼν τοῦ ὁσίου Νικολάου φέρων ...
heirm. α' ΕΕ 94, n. 133, Joannis Menda relata cd. Δ.α. XIV tribuantur 11 χαρὰν 15 σκέπει

ἱεράρχα Νικόλαε,
καταγλαΐζεις ἅπαντας
τῇ ὡραιότητι τῶν ἔργων σου.

θεοτ. *˜ Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι
ἐκ θείου Πνεύματος
τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν
καὶ σαρκὶ ἀπεκύησας
τὸν ἐκ πατρὸς ἀμήτορα
καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος

Μίμησιν ἔνθεον
λόγου καὶ πράξεως
καταλείψας, πάτερ,
εἰς γενεὰν καὶ γενεὰν ὤφθης φωστήρων φωστήρ,
ποιμὴν ποιμένων, σοφέ,
τηλαυγέστατος στῦλος
καὶ πυρίμορφος στήλη
f. 76v || ἀληθείας, θεομακάριστε.

Ἔνδον βλυστάνουσαν
ἐν τῇ καρδίᾳ σου
τοῦ Θεοῦ τὴν χάριν
ἔχων ἐξέβλυσας ζωῆς ἐκ τῆς κοιλίας τῆς σῆς
ποταμοὺς ὕδατος
ἀνεξάντλητος· ὅθεν
τῶν θαυμάτων νάματα
ἀπαντλοῦμεν, πάτερ Νικόλαε.

19-24 θεοτ. MR I, 79; AHG VIII, 168; cfr. etiam infra canon. XXI, vv. 19-24
heirm. β' EE 104, n. 147, Andreae heirm. 3 ὁ Λόγος: ὁ om. EE
36 ἐξέβλυσεν

36-37 Prov. 18,4; Joh. 7,38

Γνώσεως μύστην σε
καὶ διακρίσεως
ἀκραιφνοῦς καὶ θείας
δόξης καὶ χάριτος υἱὸν ἀνέδειξέ σε Χριστὸς
δι' ἀρετῆς πρακτικῆς,
ὡς Μωσέα τοῦ κλήρου,
ὑποφῆτα τοῦ λόγου,
μυστολέκτα πάτερ Νικόλαε.

θεοτ. Λέλυται, πέπαυται
πάλαι ἡ τῆς Εὔας
καταδίκη ὄντως
τῷ σῷ ἀχράντῳ τοκετῷ, θεοκυῆτορ· ἐκ σοῦ
γὰρ ἡμῖν ἤνθησεν
εὐλογίας ἀπαρχή,
ὁ Χριστὸς καὶ υἱός σου,
ἡ γλυκύτης τοῦ παντὸς καὶ Κύριος.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἀγάλλεται ἡ πληθὺς
τῶν ὀρθοδόξων καὶ σκιρτᾷ πνεύματι
f. 77 || ἐν τῇ σεπτῇ μνήμῃ σου,
πάτερ μυστιπόλε Νικόλαε.

Νικήσας ἀσκητικῶς
τὰς τοῦ Βελίαρ μηχανὰς γέγονας
φῶς φαεινὸν ἄδυτον,
πάτερ μυστιπόλε Νικόλαε.

Νικόλαον τὸν σοφὸν
σὺν Εὐλαλίᾳ τῇ Χριστοῦ μάρτυρι
ὕμνοις, πιστοί, στέψωμεν
καὶ ἐν ἐγκωμίοις δοξάσωμεν.

---

46 τὸν κλῆρον 53 ἤνθισεν 54 fort. scribendum ἀπαρχὴ εὐλογίας metri causa
heirm. γ' EE 94, n. 133, Joannis 64 cfr. v. 60

θεοτ. Τὸ « χαῖρέ » σοι καὶ ἡμεῖς
ὥσπερ ὁ ἄγγελος τὸ πρὶν λέγομεν·
τέτοκας γάρ, ἄχραντε,
τὸν τὴν ἁμαρτίαν ἐξαίροντα.

f. 77v ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ἰατῆρα καὶ φωστῆρά σε τῶν νοσούντων
ὁ Ἰησοῦς ἀνέδειξε,
Νικόλαε πάτερ·
ὅθεν ἐκτελοῦντές σου
τὴν κοίμησιν σήμερον
ἀνυμνολογοῦμεν τὴν χάριν σου.

Κατέλιπας κόσμον καὶ τὰ ἐν κόσμῳ
καὶ τὸν σταυρὸν ἐπ' ὤμων σου
ἀράμενος, πάτερ,
Θεῷ ἠκολούθησας
κραυγάζων, Νικόλαε,
« δόξα τῇ δυνάμει σου, Κύριε ».

Ὁ βίος σου θεῖος καὶ φωτοφόρος·
ταῖς ἀρεταῖς γὰρ ἤστραψας
ὡς ἄδυτον φέγγος,
ἱερὲ Νικόλαε,
φωτίζων τὰ σύμπαντα
καὶ τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

θεοτ. * Ὁ ἐκ μὴ ὄντων τὰ πάντα θείᾳ δυνάμει
δημιουργῶν γεγέννηται
f. 78 ἐκ σοῦ, ‖ θεομῆτορ,
κόσμον καταλάμπων φαιδρῶς
ἀκτῖσι θεότητος
καὶ θεογνωσίας λαμπρότητι.

Post oden γ' vacuum spatium scriba reliquit, fort. per κάθ.
heirm. δ' EE 94, n. 133, Joannis 91-96 θεοτ. MR III, 413
96 λαμπρότησι MR

69-70 Luc. 1, 28 80-81 Matth. 16,24

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*

Λύτρωσαι χαλεπῆς
ἀσθενείας μου, δέομαι,
σύ, Κύριε ὁ Θεός μου,
Νικολάου ἐντεύξει
τοῦ θείου ἱεράρχου σου.

Ἄνελε τοὺς ἐχθροὺς
τῆς ψυχῆς μου καὶ πόντισον
σύ, Κύριε, ὁ Θεός μου,
Νικολάου δεήσει
τοῦ σοφοῦ σου θεράποντος.

Ὅπλισον τῷ σταυρῷ
κατ' ἐχθρῶν με τὸν δείλαιον
σύ, Κύριε, ὁ Θεός μου,
Νικολάου πρεσβείαις
τοῦ ὁσίου καὶ σῶσόν με.

θεοτ. * Σὲ ὅπλον ἀρραγὲς
κατ' ἐχθρῶν προβαλλόμεθα,
σὲ ἄγκυραν καὶ ἐλπίδα
τῆς ἡμῶν σωτηρίας,
θεόνυμφε, κεκτήμεθα.

f. 78v ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Νίκησον
τῆς ταπεινῆς ψυχῆς μου τὸ ῥάθυμον
ταῖς Νικολάου πρεσβείαις,

---

heirm. ε' EE 94, n. 133, Joannis 97 Λυτρώσας 100 ἐντεύξεις corr. in -ει 112-116 θεοτ. MR I, 81; AHG VIII, 170; cfr. etiam in hoc vol. pp. 282-283
heirm. ς' EE 94, n. 133, Joannis

114-115 Hebr. 6,18-19

ἀγαθὲ Θεέ μου, ἵνα ὑμνῶ σε
καὶ δοξάζω
ἐν μετανοίᾳ χαίρων ὁ ἄθλιος.

Ὕψωσον
πρὸς τὸν Θεόν, Νικόλαε ὅσιε,
τὴν ἱερὰν προσευχήν σου
τοῖς πιστοῖς αἰτούμενος σωτηρίαν
καὶ εἰρήνην
τοῖς ἐκτελοῦσι πόθῳ τὴν μνήμην σου.

Μέμνησο
ἐν οὐρανοῖς Χριστῷ παριστάμενος
σὺν τοῖς ἀγγέλοις ἐν δόξῃ,
θαυμαστὲ Νικόλαε, μυστολέκτα,
θεορρῆμον,
τῶν ἐκτελούντων πόθῳ τὴν μνήμην σου.

θεοτ. * Ὢ θαῦμα,
τῶν ἁπάντων θαυμάτων καινότερον!
ὅτι παρθένος ἐν μήτρᾳ
τὸν τὰ σύμπαντα περιέχοντα
ἀπειράνδρως
συλλαβοῦσα οὐκ ἐστενοχώρησεν.

f. 79 ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Νυκτομαχοῦσαν
τὴν ταπεινὴν ψυχήν μου φώτισον
θείαις προσευχαῖς σου, πάτερ θαυματουργέ,
καὶ ἀξίωσον ἐπᾴδειν νῦν·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

heirm. ζ' EE 94, n. 133, Joannis

134 τοῖς ἐκτελοῦσι cd.; cfr. v. 128   135-140 θεοτ. MR I, 82; AHG VIII, 171; cfr. etiam in hoc vol. p. 284   138 περιέχοντα MR περιέποντα cd.   145, 151 post εὐ(λογημένος) orat. detruncatur

Οἱ τοῦ ὁσίου
ἐπιποθοῦντες τὰ χαρίσματα,
f. 79v δεῦτε ‖ καθαρᾷ καρδίᾳ τε καὶ ψυχῇ
ἄκος λάβετε κραυγάζοντες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

⟨I— — ⁄— —
— — — ⁄— — ⁄— — ⁄— — —
⁄— — — — ⁄— — ⁄— — — — — ⁄—
— — ⁄— — — — ⁄— — —
— — — ⁄— — —
— — — ⁄— — ⁄— — — ⁄— — —⟩.

Σὺν Νικολάῳ
καὶ Εὐλαλίᾳ μέλπω Ἄμφιον
ὕμνοις καὶ Κυρῖνον σήμερον γεγηθὼς
καὶ Φιλάδελφον τοὺς μάρτυρας
λύσιν τῶν πράξεων
παρὰ Θεοῦ εὑρᾶσθαι αἰτούμενος.

Γαληνιῶσαν
τὴν ταπεινὴν ψυχήν μου φύλαττε,
σῶτερ, τοῦ ἐχθροῦ ἐκ πάσης ἐπιδρομῆς
ταῖς πρεσβείαις τῶν ἁγίων σου·
σὺ αἰνετὸς γὰρ εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

θεοτ. * Τὸ τοῦ ὑψίστου
ἡγιασμένον θεῖον σκήνωμα
χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά,
θεοτόκε, τοῖς κραυγάζουσιν·
« εὐλογημένη σὺ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε ».

153-158 deest trop., quod inc. I . . .   164 αἰτούμενος scripsi: -νοι cd.   170 post τ(ῆς) orat. detruncatur   171-176 θεοτ. MR I, 83; AHG VIII, 172; cfr. etiam in hoc vol. p. 285   175 post εὐ(λογημένη) orat. detruncatur

171-172 Ps. 45,5

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Εὔφρανον χαρᾶς πνευματικῆς
τὴν παναθλίαν μου
ψυχήν, Νικόλαε,
ἐπὶ τῇ μνήμῃ σου λύτρωσιν
τῶν πταισμάτων παρεχόμενος
f. 80 ταῖς εὐπροσδέ||κτοις σου εὐχαῖς,
ἵνα ἀπαύστως βοῶ·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Ῥῦσαι ἀπὸ πάσης ἀπειλῆς
τοὺς ἐκτελοῦντάς σου
τὴν θείαν κοίμησιν,
ὦ ὡραιότατε, πάνσοφε,
ἀξιύμνητε Νικόλαε,
τῷ ποιητῇ καὶ πλαστουργῷ
Θεῷ κραυγάζοντας·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Ἄνοιξόν μοι θύρας ζωηράς,
σῶτερ, ὡς εὔσπλαγχνος,
τῆς μακαρίας Ἐδὲμ
δεκταῖς δεήσεσι, Κύριε,
Νικολάου τοῦ ὁσίου σου,
ἵνα κραυγάζω ἐν χαρᾷ
σὺν τοῖς ἁγίοις ἀεί·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

---

heirm. η' EE 94, n. 133, Joannis 184, 193, 202 post εὐλ(ογεῖτε) orat. detruncatur

θεοτ. * Σὺ μόνη ἐν πάσαις γενεαῖς,
παρθένε ἄχραντε,
μήτηρ ἐδείχθης Θεοῦ,
σὺ τῆς θεότητος γέγονας
ἐνδιαίτημα, πανάμωμε,
μὴ φλογισθεῖσα τῷ πυρὶ
τοῦ ἀπροσίτου φωτός·
ὅθεν πάντες
σὲ εὐλογοῦμεν, Μαρία θεόνυμφε.

f. 80v ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ἴαμα ὑπάρχεις, τρισμάκαρ,
ψυχωφελὲς τοῖς ἐν ἀνάγκαις,
πάτερ ἱερώτατε σοφέ·
διό σε πάντες ἐγκωμιάζομεν
ἐν θεηγόροις ᾄσμασι
Χριστὸν ὑμνοῦντες τὸν Θεὸν ἡμῶν.

Ῥώννυσι Νικόλαος πάντως
τοὺς προσιόντας ἀδιστάκτως
ἐν τῷ παγκλεεῖ αὐτοῦ ναῷ
καὶ διασώζει πάσης ἀνάγκης αὐτοὺς
ὡς μιμητὴς πανάριστος
Θεοῦ τοῦ μόνου καὶ σωτῆρος ἡμῶν.

Ὢ τῆς μακαρίας σου δόξης,
παρὰ Κυρίου ἧς ἐφεῦρες,

204-212 θεοτ. MR I, 84; AHG VIII, 173-174; cfr. etiam in hoc vol. p. 286
heirm. θ' EE 94, n. 133, Joannis

219-224 ANRICH, *Hagios Nikolaos*, 185: ... ἴστε γὰρ ἅπαντες τοῦ κοσμορύστου καὶ θαυματουργοῦ Νικολάου τὰ καθ' ἑκάστην εἰς ἅπαντας παραδοξοποιούμενα θαύματα, καὶ πῶς ὁ τούτου ναὸς ἐν ὅλῳ τῷ κόσμῳ ἰατρεῖον καθέστηκεν καὶ θεραπεῖον τοῖς πάσχουσιν ἀκεσώδυνον.

ἅγιε Νικόλαε σοφέ,
Χριστοῦ θεράπον θαυμασιώτατε,
δι᾽ ἧς τοὺς ἐκτελοῦντάς σου
χαροποιεῖς τὴν θείαν κοίμησιν.

θεοτ. * Σειρὰς τῶν ἐμῶν νῦν πταισμάτων
λῦσον, παρθένε θεοτόκε,
ἡ τῆς εὐσπλαγχνίας τὴν πηγὴν
τεκοῦσα μόνη, θεομακάριστε,
καὶ θυμηδίας ἔμπλησον,
ὅπως ἀξίως μεγαλύνω σε.

231-236 θεοτ. MR I, 85; cfr. etiam infra canon. XX, vv. 545-550
234 θεοχαρίτωτε MR

6 DEC. *CANON* XII

IN SANCTUM NICOLAUM

Crypt. B.β. IV = Cw, ff. 27v-33v
Vat. gr. 1072 = Wo, ff. 197-200

Ἕτερος κανὼν τοῦ ἁγίου Νικολάου·
ποίημα Γεωργίου μοναχοῦ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Γένους βροτείου, προστάτα
θαυματουργέ,
ἱερὲ Νικόλαε,
ἐκ κινδύνων χαλεπῶν
καὶ τῆς κατεχούσης με δεινῆς
κατηφείας καὶ ὀργῆς
ῥῦσαι καὶ σῶσόν με.

Γλώσσης δολίας ἀνθρώπων
ἐκ πονηρῶν,
ἀπὸ πάσης θλίψεως
καὶ παντοίων πειρασμῶν,
f. 28 θαυ||μαστὲ Νικόλαε, τὸν σοὶ
προσφυγόντα ἐκ ψυχῆς
οἴκτειρον, σῶσόν με.

tit. Κανὼν τοῦ παναγίου Νικολάου Wo nomen hymnographi Γεωργίου ex omnium trop. singularum odarum litteris initialibus deducitur
heirm. α' EE 159, n. 224, Joannis 3 ἱερευς Cw 4 ἐκ] ἐν Cw 5 κατεχούσῃ Cw 8-14, 15-21, trop. praepostero ordine profert Wo 8 Γλώσσῃ Cw Γλώσσαις δολείαις Wo 11 ἐκ π. θλίψεων Wo 12 των Wo 13 προσφυγῶτα Cw

Γέγονας πᾶσι προσφόρως
προασπιστής,
κυβερνήτης πλέουσι,
θαλαττεύουσι λιμήν,
τοῖς νοσοῦσι μέγας ἰατρός,
θλιβομένων χαρμονή,
πάτερ Νικόλαε.

θεοτ. Γέλως προκείμενος πᾶσι,
μήτηρ Θεοῦ,
καὶ ἐχθροῖς ἐπίχαρμα
μὴ παρίδῃς με, ἁγνή,
ἡ προστάτις πάντων καὶ ἐλπίς,
ἀλλὰ πρόφθασον ταχύ,
ῥῦσαι καὶ σῶσόν με.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σὺ*

Ἐν Μύροις, πάτερ, κατοικῶν
πανταχοῦ διατρέχεις
καὶ ζῶν καὶ μετὰ τέλος,
φανερῶς καὶ ἀφανῶς,
ὕπαρ καὶ ὄναρ, σοφέ,
τὰ μεγάλα
ἐκτελῶν θαυμάσια.

f. 28ᵛ || Εὑρίσκῃ πᾶσι πανταχοῦ
βοηθὸς ἐν κινδύνοις,
ἰατρὸς ἐν ταῖς νόσοις,
ἐν ἀπόροις πορισμὸς
ὀξέως ἐπικουρῶν
σοῖς οἰκέταις,
μέγιστε Νικόλαε.

---

15 προσφόρος Cw 16 πρὸς ἀσπιστὴς Cw 17 κυβερνίτοις Cw 18 λειμῆν Cw 19 τοῖς νοσοῦσι] ἀσθενούντων Wo 20 χαρμονῇ Wo 25 ἁγνὴ] πιστῶν Wo 26 προστάτη Cw 27 ἀλλὰ] μᾶλλον Wo
heirm. γ' EE 159, n. 224, Joannis 31 τέλους cdd. 35 ἐνεργῶν θ. Wo θαυμασία Cw 37 ἐν] ἐκ Wo 38 τοῖς cdd.

Ἐκ πάσης θλίψεως ἐχθρῶν,
ἐκ χειλέων ἀδίκων,
ἀπὸ γλώσσης δολίας,
ἐξ ἀνθρώπων πονηρῶν,
ἐκ πάσης ἄλλης ὀργῆς
ταῖς εὐχαῖς σου
ῥῦσαί με, Νικόλαε.

θεοτ. Ἐλπὶς καὶ σκέπη καὶ λιμήν,
τεῖχος καὶ προστασία,
θεοτόκε παρθένε,
τοῖς οἰκέταις σου γενοῦ
ἐξ ἐπηρείας ἐχθρῶν
καὶ ἀνάγκης
σῴζουσα πρεσβείαις σου.

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Ὡράθης μέγιστος
προστάτης, ἅγιε,
ἐν γῇ καὶ ἐν θαλάσσῃ
τῶν σὲ πιστῶς
f. 29 καλούντων ἐξ ὅλης ψυ||χῆς·
μὴ ὑπερίδῃς οὖν κἀμέ,
σπεῦσον, σῶσόν με, Νικόλαε.

Ὡς ἔχων σύνθρονον
ἀεὶ τὸ δύνασθαι
τῇ θελήσει, παμμάκαρ,
καὶ βοηθὸς
ἕτοιμος γενόμενος
τῷ σὲ καλοῦντι ἐκ ψυχῆς
σπεῦσον, σῶσόν με, Νικόλαε.

---

45 ἀπὸ] ὑπὸ Wo
heirm. δ' EE 159, n. 224, Joannis 57 μέγιστος] δύναμις Wo 62 μὶ ὑπερίδις Cw 63 κινδυνεύοντι μακάριε Wo σπεῦσῶσον Cw 64 σύνδρομον Wo 65 τῶ Cw 67 καὶ sup. lin. Wo 69 τοῖς σὲ καλοῦσιν ἐκ ψ. Wo τῷ σὲ] τῶ ῥ σε Cw

Ὡς πάλαι ἔσωσας
ἐπιστασίᾳ φρικτῇ
ἐκ δεσμῶν καὶ θανάτου
ἄνδρας τοὺς τρεῖς,
ἅγιε Νικόλαε,
οὕτω καὶ νῦν τὴν καθ' ἡμῶν
τῶν ἐχθρῶν λῦσον ἐπήρειαν.

θεοτ.
Ὡς φῶς ἀπρόσιτον,
παρθένε, τέξασα
καὶ φωτὸς οὖσα μήτηρ
τὸν σκοτασμὸν
λῦσον τῆς καρδίας μου
καὶ τῷ φωτὶ τῶν ἐντολῶν
τοῦ Θεοῦ με καταφαίδρυνον.

f. 29v || ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ῥύστης ὀξύτατός μοι γενοῦ
ἐξ ἐχθρῶν ὀργίλων πονηρῶν,
θερμὲ προστάτα Νικόλαε,
ἐπανισταμένων
κατὰ τοῦ δούλου σου,
καὶ τούτων τὰς ἐνέδρας
ἀπράκτους ποίησον.

Ῥάβδῳ πρεσβείας σου κραταιᾶς
σύντριψον τὰ βέλη καὶ τόξα
καὶ τὰς βουλὰς διασκέδασον
τῶν ἐνεδρευόντων
κατὰ τοῦ δούλου σου
καὶ τούτων τὰς ἐνέδρας
ἀπράκτους ποίησον.

71 ἔσωσας] ἔλυσας Cw 76 οὕτως Cw 77 τὸν Cw 80 οὖσα μήτηρ] ἐν τῇ μηρ̅ (sic) Cw 83 τωλῶν: sup. lin. manus recentior supplevit (ἐν) τωλῶν in Cw 84 – φέδρυνον Cw
heirm. ε' EE 159, n. 224, Joannis μου Wo 96-98: cfr. supra vv. 89-91

Ῥανίσι θείων σου πρεσβειῶν
σβέσον τὴν ἀκάθεκτον φλόγα
τῶν πειρασμῶν μου, Νικόλαε,
θραῦσον καταιγίδας
σάλου τῶν θλίψεων
καὶ σῶσόν με γαλήνῃ
ταῖς προστασίαις σου.

θεοτ.
f. 30
Ῥήμασι θείοις τοῦ Γαβριὴλ
κόσμου δε||ξαμένη τὴν χαρὰν
καὶ τὴν κατήφειαν λύσασα,
θλῖψιν καὶ ὀδύνην
ἐκ τῆς ψυχῆς μου, σεμνή,
ἀφάνισον, παρθένε,
καὶ βλάβης ῥῦσαί με.

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

Γνωστὸν τὸ σὸν ὄνομα
ἐν τοῖς πέρασιν ἐστὶν
ἐν συμφοραῖς καλούμενον
δεινοῖς ἐπιβοώμενον πανταχοῦ,
μέγιστε Νικόλαε,
καὶ τὴν λύσιν παρέχον
τῶν κολάσεων.

Γνωστή σου ἡ πρόνοια
τοῖς ἐγγὺς καὶ τοῖς μακράν,
πλουσίοις τε καὶ πένησι,
βασιλεῦσι καὶ ἄρχουσι προφανῶς,
Νικόλαε, δείκνυται
τοῖς σὲ πίστει καλοῦσιν
ἐξ ὀνόματος.

100 φλόγαν Cw 101 μου sup. lin. in Wo 102 καταιγίδα Wo 104 με γαλήνῃ: fort. scribendum ἐν γαλήνῃ 105 τῇ προστασίᾳ σου Wo 106 τοῦ] ὁ Cw 107 κόσμον Cw 110 σεμνῇ Cw
heirm. ς' EE 159, n. 224, Joannis 115 -μενος Wo 118 παρέχων Wo 119 τῶν αἰτήσεων Wo 121 ἐνγγῇ Cw 122 πλουτοῦσι Wo τε om. Cw 125 σὲ] ἐν Cw

Γνωστὴ τοῖς ἐχθροῖς ἡμῶν
νῦν γενέσθω ἡ θερμὴ
ἐν τάχει προστασία σου·
γνώτωσαν ὅτι ὄντως μετὰ Θεόν,
f. 30v || ἅγιε Νικόλαε,
σὺ ἡμῶν προστατεύεις
καταισχύνων αὐτούς.

Γαλήνην μοι δώρησαι
διαπλέοντι, σοφέ,
τοῦ βίου τὸ κλυδώνιον·
ἰδοὺ γὰρ ὡς κυμάτων ζάλη σφοδρῶν
πειρασμῶν συνέχεια
ἐπ' ἐμὲ ἐπανέστη
καὶ βυθίζει με.

θεοτ. Γνωστὴ ἡμῖν, φάνηθι,
ἐν ἀνάγκαις βοηθός,
ἐν τοῖς κινδύνοις πρόμαχος,
ἐν θλίψει παραμύθιον, ἀγαθή,
ἐν ταῖς νόσοις ἴασις
καὶ λιμὴν τῶν ἐν ζάλῃ
τῶν τοῦ βίου κακῶν.

Τὸ κοντάκιον τοῦ ἁγίου Νικολάου.

Ἦχος πλ. δ'. ⟨Πρός· *Τῇ ὑπερμάχῳ στρατηγῷ*⟩

Τῇ ὑπερμάχῳ κραταιᾷ ἀντιλήψει σου
....

129 τάχη Cw 130 ὄντος Cw 131 ἅγι: sup. lin. altera manus complevit ἅγι(ε) in Cw 132 προστατεύη Wo 133 κατεσχύνον Cw 135 διὰ πλέοντι Cw 137 ζάλει σφοδρῶ Cw 141 Γνωστὶ Cw 142 ἀνάγκες Cw 144 θλίψι Cw ἀγαθῆ Cw 145 τοῖς cdd.

Post oden ϛ' hoc κάθ. (τροπ. cd.) profert Wo: Ἦχος πλ. β'. Πρός· *Τῆς εὐσπλαγχνίας τὴν πύλην* Τῶν ἰαμάτων τοὺς κρουνοὺς / ὄμβρισον ἡμῖν, τερατουργέ, σημειοφόρε· / ἐλπίδας τὰς ἡμῶν μὴ ἀποστρέψῃς κενάς· / τῶν θλίψεων / καὶ νῦν προφθάσας λύτρω(σον)· / σὺ γὰρ εἶ θερμὸς προστάτης, / Νικόλαε, τοῦ κόσμου.

heirm. κοντ. non exstat in cd. Κοντ. et οἰκ. ed. in PAS I, 613-614

f. 31 Ὁ οἶκος.

Πρός· *Ἄγγελος πρωτοστάτης*

Ἅγιε θεοφόρε,
....

f. 31v ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον*

Ἰατρεῖον ὁ ναός σου ἀναδέδεικται
ψυχῶν τε καὶ σωμάτων ἡμῶν,
ἐν ᾧ προστρέχων
δυσωπῶ τὴν ἴασιν λαβεῖν
πρεσβείαις σου καὶ τῶν λυπηρῶν
ἀπαλλαγήν, θαυματουργέ,
θᾶττον κομίσασθαι.

Ἰαμάτων θησαυρὸν καὶ καταφύγιον
ἔδειξε σὴν εἰκόνα Χριστός,
ἐν ᾗ προστρέχων
ἐκ καρδίας κράζω σοι πιστῶς·
f. 32 « θαυμάστωσον νῦν, || θαυματουργέ,
τὰ σὰ ἐλέη ἐν ἐμοὶ
τῶν πρεσβειῶν, δυσωπῶ ».

Ἱλασμὸν ἁμαρτημάτων ἡμῖν αἴτησαι,
λύσιν κακῶν δωρούμενος
καὶ διόρθωσιν
τῶν ἀτόπων πράξεων ἡμῶν
καὶ νόσων δεινῶν ἀπαλλαγὴν
καὶ χορηγίαν τῶν καλῶν,
πάτερ Νικόλαε.

heirm. ζ' EE 159, n. 224, Joannis 149 τε καὶ] καὶ τῶν Wo 150 προσ-τρέχον Cw 152 τῶ Cw 155 Ἰμάτων Wo θησαυρῶν Cw 156 εἰκόναν Cw 157 ᾗ] εἶ Cw 158 ἐκ] ἐν Cw 159-207 difficillime leguntur in Cw; folium enim 32 cd. palimpsestum patet 160 τῶ σῶ ἐλέει ἐπεμοι Cw 162 ἡμῖν om. Cw 166 νῶσον Cw ἀπαλλαγῆς Cw

θεοτ. Ἰδοὺ νῦν τεθαρρηκὼς τῇ εὐσπλαγχνίᾳ σου,
μήτηρ τοῦ φιλανθρώπου Θεοῦ,
σοὶ νῦν προστρέχω·
μὴ ἀπώσῃ με τὸν ἐναγῆ,
ἀλλ᾽ οἴκτειρον, σῶσον, ἀγαθή,
λύσιν παρέχουσα κακῶν
ἐπερχομένων μοι.

ᾠδὴ η΄. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ὁ θλιβόμενος ἅπας
σὲ εἰς πρεσβείαν καλεῖ
βοηθὸν ἐν κινδύνοις,
προστάτην ἐν συμφοραῖς,
ἐν νόσοις ἰατρὸν
f. 32v || καὶ θερμὸν ἀντιλήπτορα
νέμοντα τὰς δόσεις
προσφόρως τοῖς αἰτοῦσιν.

Οὐκ ἠστόχησεν ὅστις
σὲ νῦν ἐξ ὀνόματος
ἀδιστάκτῳ τῇ πίστει,
μάκαρ, ἐκάλεσεν,
ἀλλὰ τῆς θερμῆς
προστασίας σου ἔτυχε·
μή με οὖν παρίδῃς,
Νικόλαε τρισμάκαρ.

Οἱ πτωχοὶ τὸν τροφέα,
πλουτοῦντες τὸν στηριγμόν,
ὀρφανοὶ τὸν πατέρα,

169 εὐσπλαγνία Cw 171 σὺ Cw σὲ Wo 173 ἀγαθῆ Cw
heirm. η΄ EE 159, n. 224, Joannis vv. 176-180 altera manu scripti sunt in Cw 178 ἐν] ἐκ Wo 180 ἰατρῶν Cw 182 δώσεις Cw 183 προσφόρος τοῖς ἐτοῦσι Cw 184 ὅστις] τις Cw 185 fort. scribendum σὲ ἐξ ὀνόματος νῦν metri causa 186 τῇ] τὶ Cw 189 ἔτυχες Wo 193 πλουτούντων ὁ στηριγμὸς Cw

τὸν ἰατρὸν ἀσθενεῖς,
οἱ ἐν συμφοραῖς
τὸν προστάτην Νικόλαον
σὲ ἐπικαλοῦνται
καὶ σώζονται, παμμάκαρ.

Οἱ τυφλοὶ τὸν φωστῆρα,
τὸν ῥύστην οἱ ἐν δεινοῖς,
χωλοὶ τὴν βακτηρίαν,
οἱ θλιβεροὶ τὴν χαράν,
οἱ ἐν πειρασμοῖς
τὸν θερμὸν ἀντιλήπτορα
σὲ ἐπικαλοῦνται
καὶ σώζονται, παμμάκαρ.

θεοτ. Οὐρανίου ἐξ ὕψους,
μήτηρ Χριστοῦ τοῦ Θεοῦ,
ἐπιβλέψασα πρόσσχες
τῇ ταπεινώσει μου·
πλῆθος γὰρ ἐχθρῶν
ἐξ ὕψους πολεμεῖ με δεινῶς·
σπεῦσον, ἐξελοῦ με
τὸν σόν, παρθένε, δοῦλον.

ᾠδὴ θ΄. *Ἀπορεῖ πᾶσα γλῶσσα*

f. 33 || Ὑπὸ πταισμάτων
πλῆθος συσχεθεὶς τῶν κινδύνων
ἐλήφθην βρόχοις·
θλίψεις καὶ ἀνάγκαι γὰρ ποικίλαι

195 τῶν ἰατρῶν Cw 199 παμμάκαρ scripsi: πα ... vix dispicitur in Cw λιταῖς σου Wo 200-207 trop. deest in Cw 209 Χριστοῦ τοῦ] ὑψίστου Wo 211 τῇ om. Cw 214 ἐξελοῦ με] ἐξελέσθαι Wo 215 τῶν σῶν π. δοῦλων Cw
heirm. θ΄ deest in EE; hunc in MR I, 313 invenies 217 πλήθη Wo 219 ἀνάγκες γὰρ ποικίλαις Cw

εὗροσάν με,
ἅγιε θερμὲ Νικόλαε,
μή με παρίδῃς
ἠπορημένον· σοὶ γὰρ προστρέχω ἐξαιτῶν
λύσιν
τῶν πειρασμῶν καὶ τῶν πόνων
εὑρεῖν τὴν ἴασιν.

Ὑπὲρ λαοῦ σου
ἔθου τὴν ψυχήν, ἱεράρχα,
καὶ τοὺς ἀθῴους
ἔσωσας θανάτου στρατηλάτας·
καὶ νῦν σπεῦσον,
ἅγιε θερμὲ Νικόλαε,
τῆς κατεχούσης
⟨— –́⟩ θανατηφόρου λυτρώσασθαι κἀμέ·
πλῆθος
ἐχθρῶν μοι γὰρ ἐπανέστη
τοῦ θανατῶσαί με.

Ὑπὸ κακίας,
φθόνου, βασκανίας καὶ ζήλου
ἄνδρες αἱμάτων
καὶ δολιοτήτων ἐκμανέντες
τὰς δολίας
γλώσσας κατ᾽ ἐμοῦ ἠκόνησαν
καὶ συλλαβέσθαι
ζητοῦσι τὴν ψυχήν μου, Νικόλαε σοφέ·
σπεῦσον
καὶ μὴ μελλήσῃς τῆς βλάβης
τούτων με ῥύσασθαι.

226 ὕασιν Cw ἄνεσιν Wo 227-237 trop. deest in Cw 234 duae syllabae desiderantur; fort. complendum ὀργῆς secundum vv. 5-6 239 φθόνοβασκανίας Cw 241 καὶ δολιότητος ἐμμανέντες Cw 247 μελλήσις Cw

240-241 Ps. 5,7 243 Ps. 63,4; 139,4.

θεοτ. Ὑπὲρ ἀνθρώπων,
κόρη, παγγενοῦς σωτηρίας
ἐκ σοῦ ἐτέχθη
Λόγος τοῦ Θεοῦ σεσαρκωμένος
f. 33v καὶ τῷ κόσ||μῳ
μόνην σωτηρίαν ἔθετο
σέ, θεοτόκε·
διό με σωτηρίας ἀξίωσον τυχεῖν
λύσιν
τῶν δυσχερῶν μοι βραβεύουσα
ταῖς πρεσβείαις σου.

253 τῶν Cw 254 μόνη Cw 258 μου Wo

6 DEC. *CANON* XIII

IN SANCTUM NICOLAUM

Crypt. Δ.α. XXIV	= Cy,	ff. 22-24ᵛ
Paris. Suppl. gr. 32	= Sa,	ff. 107ᵛ-108ᵛ
Paris. gr. 928	= T,	pp. 245-249
Athon. Konstamonitou 31	= Al,	ff. 207-211
Meteor. Metamorph. 473	= Φb,	ff. 35-38ᵛ

Ὁ κανών.

⟨Ἐν τοῖς θεοτοκίοις· Νικολάου⟩.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Κύματι θαλάσσης*

Πάτερ θεοφόρε,
πατέρων ἀκρότης,
σοφὲ Νικόλαε,
μὴ ὑπερίδης με
καταφυγόντα τῇ σκέπῃ
τὸν ἀνάξιον καὶ ἄθλιον
τῇ θερμῇ πρεσβείᾳ σου
τυχεῖν με τῆς ἰάσεως.

Μή με ἀποστρέψῃς
θλιβόμενον, πάτερ,

---

tit. Ἕτερος κανὼν εἰς τὸν ὅσιον πατέρα ἡμῶν Νικόλαον Cy Ἕτερος κανὼν τοῦ ἁγίου Νικολάου Sa Τῇ αὐτῇ ἡμέρᾳ ἕτερος κανὼν εἰς τὸν ἅγιον Νικόλαον T Κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον Νικόλαον (Φb) ψαλλόμενος τῇ Δ^η ἑσπέρας εἰς τὸ ἀπόδειπνον Al Canon in fine Menaei manu recentiore scriptus est in Al; nomen hymnographi Νικολάου e θεοτ. litteris primis deducitur

heirm. α' EE 165, n. 232, Cassiae 5 καταφυγώτα Cy καταφυγῶν σου Al 5-8 τὸν προσφυγόντα τῇ σκέπῃ / τῇ θερμῇ σου τὸν ἀνάξιον· / ἀλλὰ ταῖς πρεσβείαις σου / τύχοιμι τῆς αἰτήσεως Φb 6 καὶ ἄθλιον] ἱκέτην σου Al 7 θερμῇ] σεπτῇ Sa T Al σου om. Sa 8 τυχεῖν με τῆς αἰτήσεως Sa T Al τύχιμοι Cy 9-16, 17-24 trop. inverso ordine praebent Sa T Al Φb 9 ἀποστρέψῃς] ἀπορρίψῃς Φb

τῆς ἀντιλήψεως
τῆς σῆς τὸν ἄσωτον·
μὴ ἐγκακήσῃς ἀκούων
τῆς φωνῆς τῆς ἀναξίας μου·
ὅσα θέλεις δύνασαι,
ἐπίσκεψαί με, ἅγιε.

Ἅρπασον χειρῶν με
ἀδίκων ἀνθρώπων
καὶ διαφύλαξον,
πάτερ Νικόλαε·
ὅτι ἰδοὺ ὥσπερ κύνες
ὠρυόμενοι ζητοῦσί με
ἀπολέσαι, ἅγιε·
ἐλέησον τὸν δοῦλόν σου.

22ᵛ θεοτ. || Νεῦσον, παναγία,
ἁγία ἁγίων,
παρθένε δέσποινα,
χριστιανῶν ἡ ἐλπίς,
τῇ ἀναξίᾳ δεήσει
τοῦ ἱκέτου σου ἐπάκουσον,
ἀσθενῆ ἀνάστησον
καὶ σῶσόν με τὸν δοῦλόν σου.

ᾠδὴ γ'. *Σὲ τὸν ἐπὶ ὑδάτων ἑδράσαντα*

Ἀσθενοῦντά με, πάτερ,
ἀνάστησον
ἀπεγνωσμένον ὄντα

---

13 μὴ ἐνκακήσεις ἀκούειν Sa ἐκκακή (-ί-Φb) σῃς Cy T Al 15 ὅσα] ὅσα γὰρ Al Φb 16 ἐπίσκεψέ με Al 17 Ἐξάρπασον Sa χειρὸς T 18 ἀνθρώπων ἀδίκων Al 19-20 inverso ordine collocant Sa T Al 20 πάτερ] σοφὲ Al 22 ὠρυόμενη Sa 24 ἐλέησον] ἀλλ' οἴκτειρον Al 25 Νεῦσον] Σπεῦσον Φb 27 δέσποινα] ἄχραντε Al Φb 28 textus a χριστιανῶν usque ad v. 31 desideratur in Cy 29-31 differunt in Φb: ἐπὶ τῇ νῦν ἀναξίᾳ / (— — ⏑́) ψαι παρακλήσει μου / τὴν ἀνάγκην (⏑́ — —) 30 οἰκέτου T Al 31 νοσοῦντα ἁγίασον Sa ἀσθενοῦντα ἴασαι T Al 32 δοῦλόν σου] δείλαιον Sa

heirm. γ' EE 164, n. 231, Cassiae heirm. 1 ἑδράσαντα] κρεμάσαντα EE

ὡς ὁ Χριστὸς τὴν παῖδα
τοῦ Ἰαείρου ἀνέστησεν,
οὕτω κἀμὲ τὸν δοῦλόν σου,
πατέρων ἄριστε,
σῶσον, ἅγιε Νικόλαε.

Ἰδοὺ ἐπέστη ἡ ὥρα,
ψυχὴ ταπεινή,
τοῦ βίου μετελθεῖν σε·
ἰδοὺ τὸ τέλος ἧξεν·
ἰδοὺ τὰς χεῖρας ἐκτείνουσα
εἰς οὐρανὸν καὶ ὄμματα
« μὴ ὑπερίδῃς με »,
κρᾶξον, « ἅγιε Νικόλαε ».

Ἐλέησόν με, βοῶ σοι,
πανάγιε,
ἀπεγνωσμένον ὄντα
ὑπὸ τῶν συγγενῶν μου,
ὑπὸ ἰδίων καὶ φίλων μου·
αὐτὸς μὴ ὑπερίδῃς με
δεινῶς στενάζοντα,
σῶσον, ἅγιε Νικόλαε.

θεοτ. Ἴασαί με, θεοτόκε,
ἡ πάντων πιστῶν
ἐλπὶς καὶ προστασία,

36-39 in sedem vv. 52-55 collocat Cy 37 τοῦ] τῆς Cy 38 ἰδοὺ γὰρ τεστει (sic) κράζω σοι Φb κἀμὲ] με T δοῦλόν σου] δείλαιον Sa 40 σῶσόν με ἅ. Ν. Al 41-48, 49-56 trop. praepostero ordine praebet Φb, qui et postea repetit trop. « Ἐλέησον » 44 ἧξεν] ἦλθεν Sa T Al Φb 45 καὶ νῦν τὰς χεῖράς σου ἔκτεινον Al ἐκτείνουσα] ἐκτείνω σοι Cy ἐκτείνης συχνῶς Sa ἐκτεῖνασυχνῶς T 46 συχνῶς καὶ ὄμ. Φb 47-48 καὶ κράξον λέγουσα· / « σπεῦσον, ἅγιε, βοήθει μοι » Al 48 κράζων Cy κράζον Sa 51 ἀπογνωσθέντα (ἀπεγνωσθέντα Al) ὅλως Sa T Al Φb 53 ἰδίων] οἰκείων Φb 54 αὐτὸς] σὺ οὖν Φb 55 θερμῶς κραυγάζοντα Φb 57 με om. T Al Φb 58 πιστῶν] ἐλπὶς Al Φb 59 καὶ σωτηρία κόσμου Φb ἐλπὶς] πιστῶν Al προστασία] σωτηρία Al

---

36-37 Marc. 5,22-43; Luc. 8,41-56

ἡ βοηθὸς καὶ σκέπη
τῶν θλιβομένων ἀνάστησον
τῇ ἀσθενείᾳ κείμενον
ἐμὲ τὸν ἄσωτον·
πέλεις γὰρ ἀπηλπισμένων ἐλπίς.

ᾠδὴ δ'. *Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν*

Ὁλολαμπὴς ὢν σύ, πανάγιε,
σκοτισθέντα με
ὑπὸ τῆς ἀθυμίας
καταύγασόν με, δέομαι,
τὸν ἠμιθανῆ·
παρρησίαν γὰρ ἔχεις
πρὸς τὸν φιλάνθρωπον.

Οἱ τὴν ψυχήν μου ἐκπειράζοντες
ἐπληθύνθησαν νῦν
ζητοῦντες ἀπολέσαι
τὸν δοῦλόν σου, πανάγιε,
γλώσσαις δολεραῖς·
τὰς βουλὰς αὐτῶν θραῦσον
κἀμὲ ἐλέησον.

---

61 ἀνάστησον] ἱλάσθητι T παράκλησις Φb 63 κἀμὲ τὸν δοῦλόν σου Al ἄσωτον] δοῦλόν σου Sa Φb 64 πέλις Cy Sa πέλεις γὰρ] σὺ γὰρ εἶ Φb ἀπελπισμένων Cy Sa T Al ἀπηλπισμένον Φb

Post oden γ' κάθ., quod inc. Ἀναβὰς εἰς τὰ ὕψη τῶν ἀρετῶν, ostentant Sa T; Sa alterum etiam κάθ. profert, quod inc. Τὴν πηγὴν τῶν θαυμάτων; eadem καθ. in canon. V invenies

heirm. δ' EE 164, n. 231, Cassiae 65 Ὁλολαμπὴς ὑπάρχοντα Sa Ὁλολαμπὴς ὑπάρχων, ἅγιε T Al Φb -μπεῖς Cy 66 ἐμὲ T 67 ἀθυμίας] ἁμαρτίας Sa ἀσθενείας T 68 καὶ καταύγασόν με δ. Al 69 φώτισον, σοφὲ Sa Al Φb φέγγει σου, σοφὲ T 70 παρρησίαν] τὴν γνησίαν Sa γὰρ ἔχεις] ὡς ἔχων Φb 72 περεάζοντες Sa T ἐπηρεάζοντες Al ἐπιθλίβοντες Φb 73 νῦν om. Sa T Al Φb 75 πανάγιε] Νικόλαε Al 76 γλῶσσαι δολεραὶ Cy T Al γλώ(σσῃ) δολερᾷ Sa 78 ἐλέησον] διάσωσον Φb

Post trop. 72-78 in Φb trop. 2, 3, 4 odes ε' scripta sunt eadem erasa

Ἐπὶ τῆς κλίνης κατακείμενον
καὶ βαρούμενον
ὑπὸ τῆς ἀθυμίας
καταύγασόν με, δέομαι,
ἅγιε Θεοῦ,
ἐξανάστησον ὥσπερ
τὸν παρειμένον Χριστός.

θεοτ. Κυριοτόκε ἀπειρόγαμε,
μὴ ἐάσῃς με
εἰς τέλος ἀπολέσθαι·
ἀνάστησόν με, δέομαι,
τὸν ἡμιθανῆ,
κατακείμενον ἄφωνον
καὶ δακρύοντα.

ᾠδὴ ε'. *Θεοφανείας σου, Χριστέ,*

Τῶν θλιβομένων βοηθὸς
ἐπικληθεὶς
ἐξ ὀνόματος ὤφθης
καὶ ἐρρύσω, ἅγιε Νικόλαε,
f. 23 τοὺς τρεῖς στρατηλάτας || τοὺς μέλλοντας
ἀναιτίως διὰ νυκτὸς
ἀναιρεθῆναι τούτους
ὑπὸ τοῦ ἐπάρχου·
ἐλέησον καὶ ἐμὲ ταῖς ἱκεσίαις σου.

---

79 τὴν κλίνην Al   κατακείμενον T: -ος cett. cdd.   80 βαρούμενον T: -ος cett. cdd.   81 ὑπὸ] νῦν ὑπὸ Φb   ἀθυμίας] ἁμαρτίας Sa   ἀσθενείας T   82 τῷ λόγῳ σου, Νικόλαε Sa T Al   ὁ δοῦλός σου, Νικόλαε Φb   85 τὴν παρειμένην X. T   X. τὸν Λάζαρον Φb   Χριστὸς] ὁ X. Al   89 ὑπὸ τῆς ἁμαρτίας Al   δέομαι] δέσποινα Sa T Φb   91 ἄφωνον] μόνη Sa   σὺ γὰρ Φb   92 θεοχαρίτωτε Sa   ἐλπίς μου, πάναγνε Φb

heirm. ε' EE 164, n. 231, Cassiae   93 Τῶν θλιβομένων] Θερμὸς ἐν τάχει Φb   βοηθὸς] ἡ χαρὰ Sa   95 ὀφθεὶς T   98 ἀναιτίους Cy Sa T Al   διὰ om. Sa   100 φθόνῳ τῷ τοῦ ἐπάρχου Sa   ὑπάρχου T   101 ἐ. κἀμὲ καὶ ἐκλύτρωσαι, πάτερ, ταῖς μεσιτείαις ταῖς σαῖς Sa   διὸ κραυγάζων —ˊ— φθασον, σῶσόν με Φb

---

84-85 Matth. 9,2-8

Νεκρὰν ἐγείρας Ταβιθὰν
θλίψεις πολλὰς
καταπαύει ὁ Πέτρος·
ὁ δὲ Παῦλος Εὔτυχον ἐζώωσε
κρημνισθέντα, πάτερ Νικόλαε·
διὸ σπεῦσον, ὅτι ἰδοὺ
ἀπεγνωσμένος εἰμὶ
ἐκ παντὸς ἀνθρώπου·
ἀνάστησον, δυσωπῶ σε, παναοίδιμε.

Ἐλέησόν με ὁ Θεὸς
τὸν κείμενον
ἐπὶ κλίνης ὀδύνης
ἱκεσίαις τοῦ ἱεροφάντορος
Νικολάου τοῦ σοῦ θεράποντος,
ὅτι κεῖμαι καὶ δυσωπῶ
ἀπορραγεὶς τὸ σῶμα
καὶ ἀπεγνωσμένος·
ἐπάκουσον, ἀγαθέ, καὶ ἐξανάστησον.

θεοτ. Οὐδεὶς προστρέχων ἐπὶ σοί,
πανύμνητε
θεοτόκε παρθένε,
ὁλοψύχως κενὸς ἐκπορεύεται,
ἀλλ' εὐθὺς λαμβάνει τὸ αἴτημα·
οὕτω, δέσποινα, καὶ ἐμὲ

---

102 Νεκρὰν ἐγείρῃ Τὰβιθᾶ Sa   Ταβηθὰ Φb   103 θλίψιν πολλὴν Φb   104 καταπάβει Al Φb   105 Εὔτυχον] ἐκ τοιχῶν T   106-110 νεκρωθέντα λύμῃ τοῦ ὄφεως· / οὕτω σπεῦσόν με δυσωπῶ, πάτερ, / ἀνάστησον / ἐκ παντὸς ἀνθρώπου / ἀπεγνωσμένον οἰκτρῶς, σοφὲ Νικόλαε. Φb   116 δυσωπῶ] δυσπαιτῶ Sa   δυσπετῶ T Al   116-119 ὅτι κεῖμαι κατενεχθεὶς / εἰς γῆν ὁ ἄθλιος / καὶ ἀπηλπισμένος / ὑπάρχω πᾶσι βροτοῖς, Κύριε, σῶσόν με. Φb   117 ἀπορραγῆς Sa   τὸ] τῷ Sa   118 ἀπελπισμένος Sa T Al   119 ἐ. καὶ ἐμὲ ταῖς ἱκεσίαις σου Cy   123 καὶ κενὸς Cy   πορεύεται Cy   124 εὐθὺς νῦν Sa   τὸ αἴτημα] τὴν ἴασιν Φb   125 διὸ λαμβά(......) κἀμὲ Φb

---

102-104 Act. 9,36-40   105-106 Act. 20,9-13

μὴ ἀποστρέψῃς κενὸν
τῆς σῆς βοηθείας,
ἀλλ᾽ εὕρω χάριν καὶ φῶς καὶ ἀγαλλίαμα.

ᾠδὴ ς′. *Συνεσχέθη,*
ἀλλ᾽ οὐ κατεσχέθη

Ἁγιάζεις
καὶ καταφωτίζεις,
πάτερ, τὰς ψυχὰς τῶν πιστῶν·
σοῦ γὰρ τὸ εἶδος φέρει
φωτισμὸν καὶ φωταυγεῖς ἀκτῖνας
καὶ καταυγάζει
ὁ ναός σου ἅπαντας
τοὺς προστρέχοντας καὶ δυσωποῦντας
καὶ ἀνυμνοῦντάς σε,
ἅγιε τοῦ Θεοῦ·
δέξαι καὶ ἡμᾶς
παρακαλοῦντάς σε.

Σοὶ προσπίπτω
δάκρυσιν ὁ τάλας,
ἅγιε Νικόλαε,
ὅτι ἰδοὺ ἐκλείπω
καὶ ἐτάκην ὡς κηρὸς τὸ πνεῦμα

---

126 -ψεις Sa 127-128 ἐκ τοῦ προσώπου, / ἀλλ᾽ εὕροιμί σε καὶ φῶς καὶ ἀγα (......) Φb 128 εὕρω] ἔξω Sa T Al ἀγαλλίασιν Sa Al

heirm. ς′ EE 164, n. 231, Cosmae 131 τὰς ψυχὰς τῶν] ψ. τὰς τῶν Φb πιστῶν] βροτῶν T 132 φέροι Cy φέρων Sa φέρον T 133 φωταυγεῖ Cy -γῆ Sa Φb ἀκτίνα Φb 134-135 καὶ ὁ ναός σου / καταυγάζει ἅπαντας Φb 139 καὶ ἡμᾶς] καὶ ἐμὲ Al οὖν κἀμὲ Φb 140 παρακαλοῦντά σε Cy Al 141-152, 153-164 trop. inverso ordine ponit Al 143 πάτερ Νικόλαε (πι)κροῖς Φb 144 ἰδοὺ om. Cy ἐκλείπει Al 145 ἐτάκην Cy ἐτάκειν Sa τὸ] τῷ Sa Φb πνεῦμα] σῶμα Sa Al Φb σῶμά μου T

---

145 Ps. 21,15

καὶ ἡ ψυχή μου
πλήρης ἦν κατώδυνος·
ἐπικάμφθητί μου τῇ δεήσει
καὶ ἐξανάστησον,
ἅγιε τοῦ Θεοῦ,
ὥσπερ ὁ Χριστὸς
τὸν τετραήμερον.

Οἱ ἀδίκως
μέλλοντες τεθνάναι
εὗρόν σε λιμένα ζωῆς·
λιμὴν γὰρ ὁ ναός σου
καὶ ἀντίληψις τοῖς ἐν ἀνάγκαις·
διὸ προσπίπτω σοι,
ἅγιε Νικόλαε,
παρακλήθητι καὶ μὴ ἀπώσῃ,
ὅτι ἐξέλιπεν
ὅλη μου ἡ ἰσχύς·
τύχω διὰ σοῦ
τῆς προσδοκίας μου.

θεοτ. Λευκανθῆναι,
δέσποινα, αἰτοῦμαι

146-147 καὶ ἡ ἰσχύς μου / εἰς οὐδὲν κατήν(τησε) Φb 147 πλήρις ἢ κατόδυνος Sa πλ. ἐκκατώδυνος T 148 ἐπικάφθητί μου Sa Inter vv. 148-149 καὶ ἐξανάστησόν μου τῇ δεήσει praebet Al, quae expungenda censeo 149 καὶ ανάστησον Cy 153-164 trop. om. Φb 155 εὕρων Cy 158 σου Al σοι om. Sa T 160 παρακλήθητε Cy παρακλήθητι om. Al 161 ἐξέλειπεν Sa 162 ἰσχὺς] ζωὴ Sa 165-176 aliud θεοτ. profert Φb, quod ineditum videtur:

Ἀκαθάρτων – ἐκ χειλέων, κόρη,
αἶνον προσφέρω σοι πιστῶς
καὶ κράζων ἐκβοῶ σοι·
« σῶσον, δέσποινα, τὸν σόν με δοῦλον·
μὴ οὖν βδελύξῃ,
ἀλλ᾽ ὡς φύσει εὔσπλαγχνος
ἐπικάμφθητι τοῖς στεναγμοῖς μου·
καὶ γὰρ φιλεύσπλαγχνον
ἔτεκες ἐν σαρκὶ
κόσμου ποιητήν,
Θεὸν καὶ Κύριον ».

149-152 Joh. 11,40-44

τὴν ἐσκοτισμένην μου ψυχήν·
f. 23v ‖ ἠμαυρωμένος γάρ μου
καὶ ὁ βίος καὶ ὁ χρόνος ἐστί,
δεδοξασμένη σεμνή,
ἄγνισόν με, πάναγνε,
καὶ ἀνάστησον, ὦ θεοτόκε,
καὶ τοῦ φωτός με υἱὸν
ἔργασαι, ὅτι φῶς
ἔτεκες, ἁγνή·
διό με φώτισον.

Κοντάκιον.

Ἦχος πλ. δ'. Πρός· *Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια*

Τῇ ὑπερμάχῳ κραταιᾷ ἀντιλήψει σου
....

Ὁ οἶκος.

Πρός· *Ἄγγελος πρωτοστάτης*

Ἅγιε θεοφόρε,
....

---

167 μου om. Sa T   169 καὶ ὁ βίος om. Al   ἐστὶν T Al   170 σεμνὴ om. Sa T Al   171 πάναγνε] δέσποινα T   172 ὦ] με Sa T Al   175 ἁγνὴ] τὸν (T) Χριστὸν Sa T Al

Post oden ϛ' κάθ., quod inc. Ταῖς τῶν θαυμάτων ἀκτῖσι, Νικόλαε, PaR 152, praebet Al   Κοντ. et οἶκ. ed. in PAS I, 613-614 cum variis lectionibus; aliud κοντ. «Ἐν τοῖς Μύροις, ἅγιε» et οἶκ. «Ἀνυμνήσωμεν νῦν» proferunt Sa T, quae sup. in canon. V invenies

---

173-174 Joh. 12,36; I Thes. 5,5

ᾠδὴ ζ'. *Ἄφραστον θαῦμα*

Ὢ ξένον θαῦμα!
τοῦ ἐν πενίᾳ ὑπάρχοντος
ὡς ἐρρύσω
ὕλης ἀπεχθοῦς,
κόρια σεμνὰ
μέλλοντα εἰς βάραθρα
τῆς ἀπωλείας
εἰσδῦναι οὐκ ἐάσας·
τῷ χρυσῷ γὰρ αὐτὰς
ἔσωσας, πάτερ.

Πάσης πικρίας
ἐπερχομένης με λύτρωσαι,
ἱεράρχα,
τὸν ἁμαρτωλὸν
ἀνθρώπων δεινῶν
f. 24 καὶ ‖ θανατηφόρου ὁρμῆς
καὶ ἁμαρτίας
καὶ πάσης καταιγίδος
εἰρηνεύσας τὸν νοῦν
καὶ τὴν ζωήν μου.

---

heirm. ζ' EE 164, n. 231, Cosmae   178 τοὺς ἐν π. -ντας Cy   181 κόρια] χωρίᾳ T   182 εἰς] πρὸς Φb   βάραθρον T Al Φb   183 τῆς ἀτιμίας Sa T Φb   184 εἰς οὐδὲν ἐάσας Al   εἰσδῦναι] ἐκδοῦναι T   οὐκ] μὴ Φb   185 τῷ χρῦσοαύτω γὰρ T   ἀλλὰ δώρω χρυσοῦ Φb   αὐτὰς] τῷ σῷ Sa   188-196 καὶ πάσης βλάβης με ... / δυσωπῶ σε, / ἅγιε Θεοῦ, / ἀνθρώπων δεινῶν / πάσης ... αστε, / καὶ πάσης ἄλλης παντοίας ἐπηρείας (ἐπερία cd.), / ἵνα πόθῳ ὑμνῶ σε εἰς αἰῶνας. Φb   192 θανατηφόρων Sa   193 ἁμαρτίας] ἀδικίας Sa T Al   195 εἰρηνεῦσαι Cy Sa   νοῦν μου Cy

---

177-186 Anrich, *Hagios Nikolaos*, 144-145: ... ἄλλος τις εἰς ἔσχατον πενίας ἀφίκετο, καὶ τρεῖς θυγατέρας αὐτῷ εὐμόρφους οὔσας ... εἰς τὸ πορνεῖον ἐκδοῦναι παρ' ὅσον κατέσυρτο ...   Τοῦτο γνοὺς ὁ μακαριώτατος Νικόλαος καὶ οἴκτῳ πολλῷ βληθεὶς τῷ πρὸς τὰ κόρια ... τεχνάζεται, ἀνεπαισθήτως κατενεργῆσαι τῶν πασχόντων τὸν ἔλεον. καὶ δὴ λαβόμενος ἀωρίας τῆς πάνυ δεσμὸν χρυσοῦ αὐτάρκη, ἐξακοντίζει τοῖς πενητεύσασιν... ὃν μετὰ τὴν τοῦ ὕπνου ἐκτίναξιν εὑρηκὼς ὁ τῇ πενίᾳ τρυχόμενος ἄνθρωπος ... θεῷ προσπίπτων εὐχαριστῆσαι εἶχεν ἐπείγεσθαι.   148: ... κόρια τρία λυτροῦται ψυχικοῦ θανάτου καὶ μὴν καὶ σωματικῆς ἀτιμίας...

Ἐπὶ τὸ βάθος
τῆς εὐσπλαγχνίας κατέφυγα
καὶ τὸ ὕψος
τῶν σῶν οἰκτιρμῶν·
ἀνάστησόν με,
ἅγιε Νικόλαε,
ἵνα κραυγάζω
ῥυσθεὶς ἐκ τῶν κακῶν μου·
« λυτρωτά, ὁ Θεός,
εὐλογητὸς εἶ ».

θεοτ. Ἁγνὴ παρθένε,
ἴδε τὴν θλῖψιν τοῦ σώματος
καὶ γενοῦ μοι
ῥῶσις ἀγαθή·
ἰδοὺ τὰ ὀστᾶ
πάντα συνετρίβησαν
καὶ οἱ νεφροί μου·
ἀνάστησόν με ψάλλειν·
« λυτρωτά, ὁ Θεός,
εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Ἔκστηθι φρίττων, οὐρανέ,*

Σπεῦσον κατάλαβε ταχύ,
πάτερ Νικόλαε,
ὅτι σπεύδει κατ' ἐμοῦ
ἡ ψῆφος
τοῦ θανάτου μέλλουσα
καταδικάσαι με,

---

198 κατέφυγα] σου ἔδραμ(ον) Φb 199 καὶ illegibile est in Φb τῷ ὕψει Al 200 οἰκτιρμῶν] δωρεῶν Sa T Al 201-206 ἅγιε Θεοῦ (. . . . .) σόν μου δέομαι / ὡς ἐλεήμων τὴν αἴτησιν (. . . . .)χει / ὅπως πίστει ὑμνῶ σε εἰς αἰῶνας. Φb 204 ῥυσθῆς T κακῶν μου] κινδύνων T 210 πύργος ἀσφαλῆ Al 211 ἰδοὺ] ἴδε Cy 213-216 καὶ ἡ ἰσχύς μου ἐξέλιπεν εἰς τέλος· / μὴ παρίδης με οὖν ὡς ἐλεήμων. Φb 214 ἐτάκησαν κραυγάζειν Al με] τοῦ Sa ψάλλειν] κράζειν Sa T

heirm. η' EE 164, n. 231, Cosmae 217 Σπεῦσον] Νεῦσον Al κατάβαλε Cy Sa 222 καταδικάζειν με Φb

ὥσπερ τὴν συκῆν τὴν ξηρανθεῖσαν·
ἀλλ' ἔκτεινόν μοι χεῖρα
καὶ ἀνάστησον ψάλλειν,
ἵνα σε δοξάζω
εἰς πάντας τοὺς αἰῶνας.

Τῆς χαλεπῆς με συμφορᾶς
νῦν ἐξανάστησον,
εὐεργέτα ἀγαθέ·
ἰδοὺ γὰρ
τὰ μὲν χείλη ἔπτηξα,
ὧδε κἀκεῖσε συχνῶς
ὄμματα καὶ χεῖρας περιστρέφων·
οὐδεὶς δὲ βοηθεῖ μοι
ἢ ἐγείρει με σώζων
πλήν σου, ἱεράρχα·
διὸ ἐπίσκεψαί με.

Τίς σοι προσέδραμε ποτέ,
τίς σε ἐκάλεσεν
ἐξ ὀνόματος ποτὲ
βοήσας,
ἅγιε Νικόλαε,
καὶ οὐκ εὐθὺς βοηθὸς
ἐγένου τοῖς σὲ παρακαλοῦσι;

---

223 ὥσπερ] καθάπερ Φb τὴν συκῆν : τὴν om. Φb 224 ἀλλ'] καὶ Sa T Φb 225 ψάλλειν] μάκαρ Sa σῶσον T πάτερ Al τάχος Φβ 227 ὡς ἀγαθὸν προστάτην Φb 229 λύτρωσαι, δέομαι Φb 230 ἐπιστὰς ὡς ἀγαθὸς Al εὐεργέτα] ἐπιστάτα Sa T Φb 232 ἔπτηξαν Sa T ἔπτυξαν Al Φb 233-238 γλῶσσα σεσίγηκεν, / ὄμματα καὶ χεῖρές μοι καὶ πόδες / ἀκίνητα τελοῦσι, / βοηθήσων οὐκ ἔστι / πλήν σου, ἱεράρχα, / μὴ οὖν με ὑπερίδης. Φb 233 συχνῶς] συγκλόνως Al συγχνῶς Sa 234 περιστρέφων scripsi: -ω Cy Sa ἐπιστρέφων T Al 235 βοηθεῖ μοι] βοηθ(εῖ Cy)ῆσαι Cy Sa T 236 ἐγεῖραι Cy Sa T με σώζων] ἢ σῶσαι Cy Sa Al 239 Τί σοι Al ποτὲ] πιστῶς Sa 240 σε] δὲ Al 241 ποτὲ] σοφὲ Sa T Al Φb 242 om. Al 245-249 εὑρέθης θερμὸς καὶ ἀντιλήπτωρ / διὸ μὴ ὑπερίδης / νῦν κἀμοῦ τοῦ ἀθλίου / τὴν φωνὴν βοῶντος· / « σῶσόν με, ἱ(εράρχα) ». Φb

---

223 Matth. 21,18-19

κἀμὲ μὴ ἀπορρίψῃς,
ἀλλὰ τύχω ὁ τάλας
τῆς ἐλπιζομένης
ψυχικῆς σωτηρίας.

θεοτ. "Ολος ὑπάρχω ῥυπαρός,
ὅλος αἰσχρός εἰμι
καὶ οὐ βλέπω σου τὸ φῶς,
ἁγία
θεοτόκε· φώτισον
τὴν ταπεινήν μου ψυχὴν
καὶ δώρησαί μοι καιρὸν μετανοίας
αἰνεῖν σε καὶ δοξάζειν,
παναγία παρθένε,
σὲ καὶ τὸν υἱόν σου
πρεσβείαις τοῦ ὁσίου.

ᾠδὴ θ'. *Μὴ ἐποδύρου με, μῆτερ,*

Συνημιλλήθης ἀγγέλοις
τῆς ἁγίας Τριάδος
ὁμιλητὴς καὶ θεατὴς
ὑπάρχων, ὡς Μωσῆς

---

246 ἀποστρέψεις Sa ἀποστρέψης T Al 250, 251 "Ολως Sa 254 φώτισον] δέσποινα Sa 256 μοι καιρὸν] καιρόν μοι Φb μοι om. Sa T Al 257 σε] τε Sa σε om. T 258 παρθένε παναγία Al 259-260 καὶ ὑπερυψοῦν σου / τὸν τόκον αἰῶνας. Φb

heirm. θ' EE 165, n. 231, Cosmae heirm. 1 ἐποδύρω Al με] μου Al Φb EE μήτηρ Sa T 261 Συνημηλλήθης Cy Συνημιλλήθεις Sa Συνομιλήθης T Συναμηλλήθεις Al Συνωμιλήθης Φb

---

261-263 Anrich, *Hagios Nikolaos*, 134: ... πρὸς τὴν ἀΐδιον μετετέθη ἀνάπαυσιν, χοροῖς ἀγγέλων συνευφραινόμενος ...

261-264 Ex. 3,1 sqq.

ἐκ προνοίας θείας·
ἱερουργὸς γὰρ χειρισθεὶς
παρρησίαν ὡς ἔχων,
σοφέ, πρὸς τὸν Θεὸν
μὴ ἐλλίπῃς πρεσβεύειν
ὑπὲρ τῶν δούλων σου.

f. 24v || Οἱ καταφεύγοντες πίστει
ἐν τῷ οἴκῳ σου, πάτερ,
τῶν θλιβερῶν καὶ λυπηρῶν
λυτροῦνται παρευθύς·
μὴ ἐάσῃς κἀμέ,
τῶν ὀρφανῶν ὁ πατήρ,
ἀλλὰ δέξαι καὶ ῥῦσαι
ἀνθρώπων πονηρῶν,
ἱεράρχα, καὶ σῶσόν με
τὸν ἀνάξιον.

Δέξαι τὸν αἶνον καὶ δίδου
ἀμοιβὴν τῇ ψυχῇ μου
καὶ τῆς μελλούσης κρίσεως
διάσωσον, σοφέ·
μὴ στερήσῃς, αἰτῶ,
καὶ τοῦ χοροῦ τῶν πιστῶν

---

266 γὰρ om. Sa T Al Φb 269 μὴ ἐκλείπης πρεσβείαις Al ἐλλεί (ή Sa) πεις Cy Sa πρεσβεύων Sa 270 τοῦ δούλου σου T τὸν δοῦλόν σου Al 271 πίστει] πόθω Φb 273 τοῦ λυπηροῦ καὶ θλιβεροῦ Sa 274 λυτροῦνται παρ' αὐτῆς Al λυτροῦνται π. Φb λυτροῦται Cy Sa T 275 μὴ] μὴ οὖν Al ἐάσῃς] ἀπώσῃ T Al Φb ἀπώσει Sa κἀμὲ] με οὖν Φb 281 τὸν] τὴν Cy αἶνον] ὕμνον Sa 282 τὴν ψυχὴ Sa τὴν ψυχὴν Al 283-290 καὶ βοηθὸς ἐν τῇ μελλούσῃ / κρίσει μου γενοῦ· μὴ στερήσῃς τῆς σῆς με / ἀντιλήψεως / ὀρφανῶν ... cett. vv. non leguntur in Φb corruptionis cd. causa 284 διάσωσον om. Sa 285 αἰτοῦμαι T αἰτούμε Sa 285-286 μὴ ὑστερήσῃς με νῦν / τοῦ σοῦ χωροῦ τῶν πιστῶν Al 286 χοροῦ τοῦ τῶν πιστῶν T καὶ om. Sa T χωροῦ Sa

---

265-266 Anrich, *Hagios Nikolaos*, 146: ... ὁ τῶν Μύρων ἐπίσκοπος ... φωνῆς αὐτῷ τοιᾶσδε προσγενηθείσης· « "Απελθε εἰς τὴν ἐκκλησίαν νυκτὸς καὶ στῆθι πρὸς <τὰ προ>πύλαια· καὶ ὃς πρὸ πάντων ὑπεισελθεῖν τὴν ἐκκλησίαν ἐλεύσεται, τοῦτον κρατήσαντες εἰς τὴν ἐπισκοπὴν προχειρίσασθε· Νικόλαος αὐτῷ ἐστιν ὄνομα ».

παρρησίαν ὡς ἔχων·
προσδέχου τὴν ᾠδήν,
ἵνα τύχω ἐλέους
καὶ μεγαλύνω σε.

θεοτ. Ὑπερασπίζεις σπουδαίως,
παναγία παρθένε,
τῶν γηγενῶν
καὶ διασώζεις νόσων χαλεπῶν·
διὸ δὴ καὶ ἐμὲ
παρακαλοῦντά σε
συμφορῶν καὶ κινδύνων
καὶ νόσων χαλεπῶν
ἐξανάστησον, μόνη
θεοχαρίτωτε.

---

287 χαριστήριον δέ μου Sa T Al 288 ᾠδὴν] εὐχὴν Sa T Al 289 ἐλαίους Cy 291 Ὑπερασπίζει Sa T σπουδαίως] παρθένε Φb 291-300 θεοτ. illegibile est in Φb, scriptura cd. erasa; aliud θεοτ. profert Al, quod vero ad acr. non pertinet:

Ἀνερμηνεύτως τεκοῦσα
τὸν προάναρχον Λόγον
ἐκ τοῦ Πατρὸς
μονογενῆ Υἱόν τε καὶ Θεόν,
τοῦτον, κόρη, ἀεὶ
ἱκέτευε
τοῦ ῥυσθῆναι κινδύνων
καὶ πάσης ἀπειλῆς
τοὺς ἐν πίστει καὶ πόθῳ
σὲ μεγαλύνοντας.

294 νόσω Cy νόσσων Sa 298 καὶ βλάβης τοῦ ἐχθροῦ Sa T 299 ἐξανάστησον] ἐλευθέρωσον Sa T

IN SANCTUM NICOLAUM

Codices qui diversis traditionibus eundem canon. praebent:

Paris. gr. 13 = Q, ff. 157v-159
Palat. gr. 138 = L, ff. 294v-296v
Crypt. B.β. IV = Cw, ff. 122v-128

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Στέφω σε, Νικόλαε, Νικήτας ὕμνοις.

Ἦχος πλ. β΄.

ᾠδὴ α΄. *Κύματι θαλάσσης*

Σήμερον ὁ λύχνος
Χριστοῦ ἐκκλησίας,
ὁ φαεινότατος
ὄντως Νικόλαος,
διὰ τῆς μνήμης ἐκλάμπει
προεόρτιον αὐγὴν τοῦ φωτὸς
τῆς Χριστοῦ γεννήσεως·
φαιδρῶς πανηγυρίσωμεν.

Τῶν ὑπερκοσμίων
ἀφέμενος θρόνων
τοὺς εὐφημοῦντάς σε,
πάτερ Νικόλαε,

---

tit. Ἕτερος κανὼν οὗ ἡ ἀκροστιχὶς ... ποίημα τοῦ Στηθάτου Q Ὁ κανὼν... et in marg. Νικήτα Στηθάτου L Κανὼν ἕτερος εἰς τὸν ὅσιον πατέρα ἡμῶν Νικόλαον φέρων ... Cw

acr. mutat in Cw: Στέφω σε, Νικόλαε, τοῖς ἐφυμνίοις; quam autem invenies in sequenti canon. XIV (2), ad quem pertinet

heirm. α΄ EE 164, n. 231, Cassiae secundum EE 4 ὄντος Cw

δεῦρο τὰ νῦν ἐποπτεύσων
τῇ συνήθει προμηθείᾳ σου
καὶ τὸν ὕμνον πρόσδεξαι·
τὸν πόθον γὰρ ἐπίστασαι.

Ἔφυς κατὰ σάρκα
τῆς πρώτης εἰκόνος
ἐκ βρέφους, ἅγιε,
ἁγίας ῥίζης φυτόν,
μονογενὴς τοῖς τεκοῦσι
καὶ πρωτότοκος, Νικόλαε,
καὶ τὸ καθ' ὁμοίωσιν
φυλάττων τοῦ ποιήσαντος.

θεοτ. Φῶς τὸ πρὸ αἰώνων
ἀρρεύστως ἐκλάμψαν
θείου γεννήτορος
καὶ προανάρχου Πατρὸς
νῦν διὰ πνεύματος θείου
ἐξ ἀσπόρου σου γεννᾶται γαστρός,
θεομῆτορ, ἄνθρωπος
καὶ σώζει με τὸν ἄνθρωπον.

f. 158 ᾠδὴ γ'. *Σὲ τὸν ἐπὶ ὑδάτων*

Ὤφθης παντὶ τῷ κόσμῳ
κατάστερος
ὡς οὐρανός, θεόφρον,
θαυμάτων φρυκτωρίαις
τὴν τοῦ Θεοῦ διηγούμενος
ὑπερφυᾶ καὶ ἄπειρον

---

13 ἐποπτεύσων scripsi: ἐποπτεύων Q L ὑποπτεύσων Cw 15 τὸν ὕμνον] τὴν πίστιν Q L 17 κατὰ σάρκα] εὐγενείας Q L 19 ἅγιον Cw 21 τῇ τεκούσῃ Cw 24 φυλάσσων Cw 28 Πατρὸς] φωτὸς Q 32 σώζο Q
heirm. γ' EE 164, n. 231, Cassiae 35 θεόφρων Cw 38 ὑπερφυῆ Q L

μεγαλοπρέπειαν,
πάτερ ἔνδοξε Νικόλαε.

Σὲ τὸν κοινὸν λιμένα
καὶ εὔδιον
τῶν καταπονουμένων
τοῦ βίου τρικυμίαις,
ἱερομύστα Νικόλαε,
χρεωστικῶς δοξάζομεν
διασωζόμενοι,
μάκαρ, θείᾳ κυβερνήσει σου.

Ἔλαμψέ σου ἡ μνήμη,
Νικόλαε,
πάσῃ τῇ οἰκουμένῃ
ὡς ἥλιος ἀκτῖνας
ἀγαλλιάσεως πέμπουσα
καὶ διανοίας τέρπουσα
καὶ κατευφραίνουσα
πάντων, μάκαρ, τῶν ὑμνούντων σε.

ᾠδὴ δ'. *Τὴν ἐν σταυρῷ σου*

Νενεκρωμένας
καὶ πρὸς θάνατον
ἤδη βλέπων ψυχὰς

---

41 κυνὸν Cw 46 δοξάζωμεν Cw 48 κυβερνήσου Q 49-56 aliud trop. praebet Cw «Ε‹ἶχε› σε πάλαι πόλις», quod vide infra in canon. XIV (2)
Post trop. 49-56 hoc θεοτ. offert L, quod ad acr. non pertinet:

Ὕψωσε τὴν πεσοῦσαν
ὁ τόκος σου
φύσιν βροτῶν, παρθένε,
καὶ ταύτην οὐρανίαν
ἀντὶ γηΐνης ἐτέλεσε
καὶ τοῖς ἀγγέλοις ἥνωσε·
διό σοι ἅπαντες
«χαῖρε» πίστει ἀνακράζομεν.

heirm. δ' EE 164, n. 231, Cassiae 59 ἠδειβλέπων Cw ἐπιβλέπων Q L

57-64 ANRICH, *Hagios Nikolaos*, 148: ... κόρια τρία λυτροῦται ψυχικοῦ θανάτου καὶ μὴν καὶ σωματικῆς ἀτιμίας ...

αἰσχρῶς ἀπολλυμένας
σὺ προικοδότης ἔφθασας
καὶ πλουτοποιὸς
ἐξ ἀτίμου, παμμάκαρ,
βίου λυτρούμενος.

Ἴχνεσι, μάκαρ,
τοῦ κενώσαντος
ἑαυτὸν δι' ἡμᾶς
ἀκολουθῶν δεσπότου
σὺ δυναστῶν διέκοψας
θράσος ἀναιδές,
τοὺς ἀθῴους θανάτου
ἐκλυτρωσάμενος.

Κατακριθέντας
τὴν πρὸς θάνατον
ἀναιτίως τοὺς τρεῖς
τὸ τοῦ δημίου ξίφος
σὺ ἐπιστὰς ὡς τάχιστα
ἔρριψας εἰς γῆν
καὶ πυλῶν τοῦ θανάτου
τούτους διέσωσας.

---

60 ἀπολλυμένας] ἐπειγομένας Q L 61 ἔφθασας] γέγονας Cw 66 κατανώσαντος Cw 70 ἀναιδὲς] δικαστῶν Cw 71 θανάτου] κινδύνων Cw 72 ἀπολυτρούμενος Cw 75 ἀνετίως Cw ἀναιτίους Q L 76-80 σὺ ἐπιστὰς ὡς τάχος / πυλῶν θανάτου ἔσωσας, / σοφέ, <— — –́> / καὶ δημίου τὸ ξίφος / μακρὰν ἀπέρριψας. Cw

Post trop. 73-80 hoc θεοτ. praebet L:

Ὁ συνυπάρχων
τῷ γεννήτορι
πρὸ αἰώνων Υἱὸς
καὶ Πνεύματι ἀχρόνως
σοῦ ἐκ γαστρὸς προέρχεται,
κόρη, γεγονὼς
ὑπὸ χρόνον καὶ σώζει
ὅλον φθαρέντα με.

66-67 Philip. 2,7

ᾠδὴ ε'. *Θεοφανείας σου, Χριστέ,*

Οἰκονομίας σου, Χριστέ,
τὸ πρὸς ἡμᾶς
συμπαθὲς μιμούμενος
ὁ ποιμὴν ὁ ἱερὸς Νικόλαος
τὴν ψυχὴν αὐτοῦ ὑπερτίθησι
τῶν προβάτων τῶν ἑαυτοῦ
καὶ προσκαλούμενος
πανταχοῦ προφθάνει
καὶ σώζει τοὺς ἐπὶ σοί,
σῶτερ, ἐλπίζοντας.

Λόγῳ καὶ βίῳ λαμπρυνθεὶς
τὰς ἀρετὰς
δορυφόρους, ἔνδοξε,
κεκτημένος καὶ αὐταῖς κυκλούμενος
ἐκ νυκτὸς ὀρθρίσας, Νικόλαε,
ὑπεδέξω ἐξ οὐρανοῦ
τὴν ἀποκάλυψιν
τῆς ἱερωσύνης,
τῷ πνεύματι προκριθεὶς
ἀρχιερεὺς τοῦ Θεοῦ.

Ἀρχιεράρχα τοῦ Θεοῦ,
τερατουργὲ
θαυμαστὲ Νικόλαε,
τῇ συνήθει παρρησίᾳ χρώμενος
πρὸς τὸν σὸν δεσπότην καὶ Κύριον
τὰς ἐλπίδας μετὰ Θεὸν
σοὶ ἀνεθέμεθα·

---

heirm. ε' EE 164, n. 231, Cassiae 81 σῆς Cw 91-100 aliud trop. praebet Cw « Λόγου ἐπέκεινα τὰ σά », quod vide infra in canon. XIV (2) 96 εἰπεδέξω Q 99 τῷ] καὶ Q 101 Θεοῦ] Χριστοῦ Cw 107 σὺ Cw

---

85-86 Joh. 10,11

θαυμάστωσον, πάτερ,
τὸ ἔλεός σου ἡμῖν
τοῖς εὐφημοῦσί σε.

ᾠδὴ ϛ'. *Συνεσχέθη*

Ἐν τοῖς Μύροις
ἀλλὰ καὶ τοῖς πόρρω
φθάνεις παραδόξως φοιτῶν
καὶ βασιλεῖς ἐλέγχεις
f. 158v ὀπτανόμενος || ὡς ἐν ὀνείρῳ
καὶ τοῖς ἀδίκως
ἀπειλεῖς δικάζουσι
στρατηλάτας συκοφαντουμένους
ἀπολυτρούμενος ἐκ θανάτου πικροῦ,
πάτερ συμπαθέστατε Νικόλαε.

Ναυαγούντων
καὶ συνεχομένων
πάντων ποικίλοις πειρασμοῖς
σὺ τὰς δεήσεις τάχος

---

110 εὐφημοῦσι] ἀγαπῶσι Cw

Pro trop. 101-110 hoc profert L et postea θεοτ., quod ad acr. non pertinet: Ἀκολουθῶν νόμοις Χριστοῦ / τὸ ἀσθενοῦν / συμπαθῶς ἐπεσκέψω / τὸ πεπλανημένον ἐπανήγαγες, / τὸ νοσοῦν ἰάσω, Νικόλαε, / καὶ τὸ καταρραγὲν δεινῶς / αὖθις κατήρτισας / καὶ ἐπηνωρθώσω / ὡς γνήσιος καὶ καλός, / οὐ μισθωτὸς ὤν, ποιμήν.

Ἱερωτάταις ἐν φωναῖς
τῶν προφητῶν
ὁ χορὸς προεδήλου
τοκετοῦ τοῦ σοῦ τὸ ὑπερθαύμαστον,
θεοτόκε κόρη, μυστήριον,
οὗπερ βλέποντες καὶ ἡμεῖς
νῦν τὰς ἐκβάσεις τρανῶς
ἀνυμνολογοῦμεν
τὸν σῴζοντα διὰ σοῦ
ἡμᾶς, πανάμωμε.

heirm. ϛ' EE 164, n. 231, Cosmae   111 Ἐν τοῖς Μύροις] Ἔργον ξένον Cw   112 ἀλλὰ] ὅτι Cw   113 φυτῶν Cw   116 τοῖς ἀδίκως] ἀδικοῦσιν Cw   121 sqq. ab hoc v. usque ad finem canon maxime differt in Cw   124 τάχος] θᾶττον L

φιλανθρώπῳ συμπαθείᾳ φθάνων
ἐκ τῶν κινδύνων
διασώζεις ἅπαντας·
διὰ τοῦτό σε ὡς εὐεργέτην
οἱ φυλαττόμενοι ταῖς πρεσβείαις ταῖς σαῖς,
πάτερ, καταχρέως εὐφημοῦμέν σε.

Ἰοβόλον
καὶ ἀνθρωποκτόνον
ὄντα πονηρὸν ἀπ' ἀρχῆς
τὸν ἐνεργοῦντα, πάτερ,
τοῖς ἰοῖς τῆς ἀπειθείας ὄφιν
καὶ συνωθοῦντα
τὰς ψυχὰς εἰς ὄλεθρον
δι' αἱρέσεων καὶ εἰδωλίων
σὺ ἐξωλόθρευσας, λύτρωσιν τοῖς λαοῖς
τῶν ἀγνοημάτων χαριζόμενος.

ᾠδὴ ζ'. *Ἄφραστον θαῦμα*

Κρείττονα δόξαν
τοῦ Ἀαρὼν κληρωσάμενος
ἀναιμάκτως
νῦν ἱερουργεῖς

---

128 σε om. L   130 εὐφημοῦμέν σε] μεγαλ(ύνομεν) L   135 τοῖς] ἐν L υἱοῖς Q L

Post trop. 131-140 hoc θεοτ. profert L:

Νεκρωθεῖσαν
πάλαι παραβάσει,
κόρη, τὴν φύσιν τῶν βροτῶν
ἀνέστησας τεκοῦσα
τὴν ἀνάστασιν τῶν τεθνεώτων,
Χριστὸν τὸν πᾶσι
τὴν ζωὴν ἐμπνέοντα·
ὅθεν « χαῖρέ » σοι πιστῶς βοῶμεν
καὶ μεγαλύνομεν πάντες σε τῆς χαρᾶς
πρόξενον ἡμῖν ὡς χρηματίσασαν.

heirm. ζ' EE 164, n. 231, Cosmae   141 Ἱερωσύνην Cw   142 τὴν Cw

---

141-142 Ex. 28,1-2

αὐτὸν τὸν ἀμνὸν
τοῦ Θεοῦ τὸν αἴροντα
τὴν ἁμαρτίαν
τοῦ μελῳδοῦντος κόσμου·
« λυτρωτά, ὁ Θεός, εὐλογητὸς εἶ ».

Ἤρθης πρὸς ὕψος
ταῖς ἀρεταῖς ἐποχούμενος,
ὡς Ἠλίας
ἅρματι πυρός,
καὶ ζῇς τεθνεὼς
καὶ θανὼν προΐστασαι
καὶ διασώζεις
τοὺς πίστει ἐκβοῶντας·
« λυτρωτά, ὁ Θεός, εὐλογητὸς εἶ ».

Τῇ συμπαθείᾳ
τὸν Σαμουήλ, τῇ πραότητι
τὸν προφήτην,
ἔνδοξε, Δαβίδ,
καὶ τὸν Μωυσῆν
ὑπεραναβέβηκας
τῇ θεοπτίᾳ,
ἐν χάριτι κραυγάζων·
« λυτρωτά, ὁ Θεός, εὐλογητὸς εἶ ».

---

148 ἡμῶν τῶν μελλωδούντων Cw   149, 158, 167 post εὐλο(γητὸς) orat. varie intermittunt cdd.   154-158 cfr. infra canon. XIV (2), vv. 154-158   155 παρίστασαι Cw   157 ἐκβοῶντας] μελῳδοῦντας Cw   159 Τῇ] Ἐν Cw   160 τὸν] τοῦ Cw   τῇ] ἐν Cw   165 τῇ] ἐν Cw

Post trop. 159-167 θεοτ. offert L:

Ὅλος ἡνώθη
τῇ ἀνθρωπότητι, πάναγνε,
ἐν γαστρί σου
μείνας ὅπερ ἦν
Χριστὸς ὁ Θεὸς
καὶ τὴν ἰδιότητα
σῶαν φυλάξας
οὐσίας ἑκατέρας
τῶν ἐν τούτῳ φρικτῶς θεωρουμένων.

145-147 Joh. 1,29   152-153 IV Regn. 2,11

f. 159 ᾠδὴ η'. *Νόμων πατρῴων*

Ἀπηκριβώσω
καθαρότητι
καὶ ἀπαθείᾳ βίου
καὶ παρρησίᾳ, σοφέ,
τοῦ Προδρόμου τὴν οὐράνιον
ἐπὶ γῆς πολιτείαν
καὶ συναγάλλῃ
νῦν ἐν οὐρανοῖς τοῖς ἀγγέλοις
συγχορεύων, Νικόλαε,
καὶ συμψάλλων ἀπαύστως·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Συγκληρονόμος,
ὦ Νικόλαε,
τοῦ κορυφαίου Πέτρου
ζήλου θερμότητι
χρηματίσας καὶ συνέκδημος
καὶ σύνθρονος τῷ Παύλῳ
πρὸς τὸν δεσπότην
στῆθι πρεσβευτὴς ὑπὲρ ἡμῶν
τῶν ὑμνούντων σε, πάνσοφε,
καὶ βοώντων ἐκ πόθου·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ὑπὸ τὴν σκέπην σου,
Νικόλαε,
καὶ προστασίαν πάντες

---

heirm. η' EE 163, n. 229, Cosmae   178, 191, 204, 217 post Κύριον orat. detruncant cdd.   181-193, 194-206 trop. praepostero ordine offert Cw   181-182 Μύστης ἀρρήτως / καὶ συνόμιλος Cw   183 τῷ κορυφαίῳ Πέτρῳ Cw   189 ἀνυμνούντων L   190 ἐκ πόθου] ἀπαύστως Cw

οἱ καταφεύγοντες
τῶν ποικίλων λυτρωθείημεν
πειρατηρίων βίου
καὶ σωζομένων
κλήρου κληρονόμοι σαῖς λιταῖς,
θεομάκαρ, ὀφθείημεν,
ἵνα πίστει βοῶμεν·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Μετὰ τὴν πρώτην
ἀκαταίσχυντον
πρὸς τὸν Θεὸν πρεσβείαν,
τὴν ἀειπάρθενον,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν
θεοτόκον Μαρίαν,
καὶ σὲ μεσίτην
ὡς ἀρχιερέα τοῦ Θεοῦ
προβαλλόμεθα· μέμνησο
τῶν βοώντων ἀπαύστως·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ′. *Τὴν τιμιωτέραν τῶν Χερουβὶμ*

Νῦν περὶ τὸν θρόνον στεφηφορῶν
τοῦ παμβασιλέως,
ὦ Νικόλαε, παρεστὼς
καὶ σὺν τοῖς ἀγγέλοις τὸν Χριστὸν κατοπτεύων
μνημόνευε τῶν πίστει
μνημονευόντων σου.

---

201 κληρονόμοις Cw λιταῖς] εὐχαῖς Cw
heirm. θ′ EE 163, n. 230, Cosmae 220-225 hoc trop. ut θεοτ. odes η′ indicat L

Ὁ θεῖος ναός σου ὡς ἡ σορὸς
σοῦ ἡ μυροφόρος
μύρα βλύζει τὰ νοητά·
ὧν κατατρυφῶντες ἀενάως, παμμάκαρ
Νικόλαε, τοῖς ὕμνοις
σὲ μεγαλύνομεν.

Ἴδε τοῦ λαοῦ σου τὸ σταθηρόν,
ἴδε προσκυνοῦντας
καὶ ὁρῶντας περιχαρῶς
τὸν χαροποιόν σου καὶ θεῖον χαρακτῆρα
καὶ πάντας σαῖς πρεσβείαις
σῶσον, Νικόλαε.

θεοτ. Σὺ εἶ, θεοτόκε, χριστιανῶν
ἡ ἀσφαλεστάτη
σωτηρία καὶ ἀρραγὴς
ὡς ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσα·
σὺ πάντων τὰς αἰτήσεις
πλήρωσον δέσποινα.

---

226 ὡς] καὶ Cw σωρὸς Cw 229 ὢν Cw 232 τὸ σταθηρὸν] πίστιν θερμὴν L

226-231 ANRICH, *Hagios Nikolaos*, 134: τὸ δὲ τίμιον αὐτοῦ καὶ μεμυρισμένον τῇ τῶν ἀρετῶν εὐοσμίᾳ σῶμα, ἐν τῇ κατ' αὐτὸν ἐνσοριασθὲν ἐκκλησίᾳ, ἔβλυσεν εὐθὺς μύρον ἡδύπνοον, ἀποτρόπαιον μὲν πάσης ὑπάρχον ἐναντίας καὶ φθοροποιοῦ δυνάμεως, ποριστικὸν δὲ σωστικῆς καὶ ἀλεξικάκου ἰάσεως ...

6 DEC. CANON XIV (2)

IN SANCTUM NICOLAUM

Crypt. B. β. IV = Cw, ff. 122v-128

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
f. 123 || Στέφω σε, Νικόλαε, τοῖς ἐφυμνίοις.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Κύματι θαλάσσης*

1-8 Σήμερον ὁ λύχνος
.... = Q 1-8

9-16 Τῶν ὑπερκοσμίων
.... = Q 9-16

17-24 Ἔφυς κατὰ σάρκα
.... = Q 17-24

f. 123v θεοτ. 25-32 || Φῶς τὸ πρὸ αἰώνων
.... = Q 25-32

ᾠδὴ γ'. *Σὲ τὸν ἐπὶ ὑδάτων*

33-40 Ὤφθης παντὶ τῷ κόσμῳ
.... = Q 33-40

---

tit. Κανὼν ἕτερος εἰς τὸν ὅσιον πατέρα ἡμῶν Νικόλαον φέρων...
heirm. α' EE 164, n. 231, Cassiae 17 κατὰ σάρκα] εὐγενείας Q
heirm. γ' EE 164, n. 231, Cassiae

41-48 Σὲ τὸν κοινὸν λιμένα
.... = Q 41-48

f. 124 Ε⟨ἶχέ⟩ σε πάλαι πόλις
ἐγκόλπιον
θησαυρὸν ἡ Μυρέων,
τὰ νῦν δὲ Βάρις ἔχει
μεγαλαυχοῦσα καὶ χαίρουσα
καὶ ἀναπέμπουσα ὕμνον
σοὶ τῷ κλεινῷ
καὶ θαυματουργῷ πατρί, Νικόλαε.

ᾠδὴ δ'. *Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν*

57-64 Νενεκρωμένας
.... = Q 57-64

65-72 Ἴχνεσι, μάκαρ,
.... = Q 65-72

73-80 Κατακριθέντας
.... = Q 73-80

f. 124v ᾠδὴ ε'. *Θεοφανείας σου, Χριστέ,*

81-90 Οἰκονομίας σῆς, Χριστέ,
.... = Q 81-90

---

49 Ε<ἶχε>: verbum complevi 50 ἐγκόπιον et sup. lin. manus recentior corr. in ἐγκόλπιον
heirm. δ' EE 164, n. 231, Cassiae
heirm. ε' EE 164, n. 231, Cassiae 81 σου Q L

49-56 Anrich, *Hagios Nikolaos*, 447: Ἰστέον μέντοι, ὅτι ἀνεκομίσθη ὁ ἅγιος Νικόλαος ἀπὸ Μύρων τῆς Λυκίας... κατήντησε δὲ ἐν τῇ Βάρῃ...

Λόγου ἐπέκεινα τὰ σά,
θαυματουργέ,
θαυμαστὰ θαυμάσια,
ὅτι ζῶν καὶ μετὰ τέλος, ἅγιε,
τὴν Μυρέων πόλιν κατῴκησας,
ἐν ὑστέραις δὲ γενεαῖς
f. 125 || Βάριν κατείληφας
θεϊκῇ προνοίᾳ
τῇ κρεῖττόν τι δι' ἡμᾶς
προβλεψαμένῃ σαφῶς.

101-110 Ἀρχιεράρχα τοῦ Χριστοῦ
.... = Q 101-110

ᾠδὴ ς'. *Συνεσχέθη,*
ἀλλ' οὐ κατεσχέθη

111-120 Ἔργον ξένον
.... = Q 111-120

f. 125ᵛ Τῶν Μυρέων
ἔκλαιεν ὁ δῆμος
ὅτε ὁ δείλαιος τῶν σῶν
λειψάνων ἐστερεῖτο
« ποῦ πορεύει ὁ προστάτης », λέγων,

---

91 ἐπέκηνα 97 κατήλειφας 101 Χριστοῦ] Θεοῦ Q
heirm. ς' EE 164, n. 231, Cosmae 111 Ἐν τοῖς Μύροις QL

94-97 Cfr. sup. vv. 49-56.
121-130 Anrich, *Hagios Nikolaos*, 441: ... κατῆλθον ἀθρόως, πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν, μέχρι θαλάσσης, ἅπαντες μεστοὶ καὶ βεβαρημένοι θλίψεως. ἔκλαιον δὲ ἑαυτοὺς καὶ τὰ τέκνα αὐτῶν, διακενῆς μείναντες τῆς τοιαύτης χάριτος.

98-100 Hebr. 11,40

« ὁ ἀντιλήπτωρ
πάντων καὶ πατὴρ ἡμῶν;
μὴ ἐάσῃς ὀρφανοὺς σοὺς δούλους,
οὕσπερ ἠγάπησας διὰ οἶκτον, σοφέ,
ἵνα μὴ εἰς τέλος ἀπολώμεθα ».

Ὁ τοῖς πέλας
ἅμα καὶ τοῖς πόρρω
φθάνων ταχὺ τερατουργὸς
ἐν ὀπτασίᾳ ἔφη·
f. 126 « οὐκ ἀ||φίσταμαι ὑμῶν, τεκνία,
εἰ καὶ ἀπαίρω
νεύματι τοῦ κτίσαντος·
καὶ γὰρ κήδομαι τῆς ἐμῆς ποίμνης
καὶ οὐκ ἀνήσομαι τοῦ λυτροῦσθαι αὐτὴν
πάσης περιστάσεως καὶ θλίψεως ».

ᾠδὴ ζ'. *Ἄφραστον θαῦμα*

141-149 Ἱερωσύνην
.... = Q 141-149

Σὺ μετὰ τέλος
ὡς πρὸ τοῦ τέλους μεθίστασαι
καὶ προφθάνεις,
πάτερ, ταχινῶς
καὶ ζῇς τεθνεὼς
f. 126ᵛ καὶ θανὼν παρίστα||σαι
καὶ διασῴζεις

---

135 ἀφίσταμε 139 ἀνήσομε
heirm. ζ' EE 164, n. 231, Cosmae 141 Ἱερωσύνην] Κρείττονα δόξαν acr. causa Q 154-158 cfr. supra canon. XIV (1), vv. 154-158
155 παρίστασαι] προΐστασαι QL

τοὺς πίστει μελῳδοῦντας·
« λυτρωτά, ὁ Θεός, εὐλογητὸς εἶ ».

159-167 Ἐν συμπαθείᾳ
.... = Q 159-167

ᾠδὴ η'. *Νόμων πατρῴων*

Φύλαξ ἐδείχθης
καὶ ὑπέρμαχος
Χριστιανῶν προστάτης
καὶ ἀντιλήπτωρ θερμὸς
καὶ καλούμενος ὡς τάχιστα
προφθάνων τοῖς καλοῦσιν·
εἰ γὰρ καὶ Βάριν
ᾤκησας, παμμάκαρ, ὑστέρως,
ἀλλ' ἡμῶν οὐκ ἀφίστασαι
τῶν βοώντων ἀπαύστως·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

181-193 Ὑπὸ τὴν σκέπην σου,
.... = Q 194-206

f. 127 194-206 Μύστης ἀρρήτως
καὶ συνόμιλος
.... = Q 181-193

157 μελῳδοῦντας] ἐκβοῶντας QL 158 post εὐ(λογητὸς) orat. detruncatur
159 Ἐν] Τῇ QL
heirm. η' EE 163, n. 229, Cosmae 181-193, 194-206 trop. inverso ordine offerunt QL 181 σοῦ Cw 194-195 Συγκληρονόμος, / ὦ Νικόλαε QL

Νῦν ἐποπτεύεις
τοὺς ὑμνοῦντάς σε,
ἱεραρχῶν ἀκρότης,
πάτερ Νικόλαε,
τῶν κινδύνων ἐξαιρούμενος
πάντας τοὺς ὑμνητάς σου,
f. 127v || τὰ ἔθνη θραύων,
ἄναξι πιστοῖς ἐπαρήγων,
αἰχμαλώτους ῥυόμενος
καὶ σῴζων τοὺς ἐν πίστει·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Τὴν τιμιωτέραν τῶν Χερουβὶμ*

220-225 Ἴδε τοῦ λαοῦ σου τὸ σταθηρόν,
.... = Q 232-237

226-231 Ὁ θεῖος ναός σου καὶ ἡ σορὸς
.... = Q 226-231

Ἴσμεν τὴν ταχεῖάν σου καὶ θερμήν,
πάτερ, προστασίαν
καὶ ἀντίληψιν οἱ πιστοί,
ὅτι τῷ καλεῖσθαι ταχινωτάτως πάρει·
διό σε ἀδιστάκτως
ἐπικαλούμεθα.

128 θεοτ. 238-243 || Σὺ εἶ, θεοτόκε, χριστιανῶν
.... = Q 238-243

207 ἐποπτέβης 211 ἐξερούμενος 213 θράβων
heirm. θ' EE 163, n. 230, Cosmae 220-225 hoc trop. tertium in ordine praebent QL 226 καὶ] ὡς Q σωρὸς Cw

6 DEC.

CANON XV

IN SANCTUM NICOLAUM

Crypt. Δ.α. XIV	= Cf, ff. 53v-56
Crypt. Β.β. IV	= Cw, ff. 33v-39
Paris. Suppl. gr. 32	= Sa, ff. 107-107v
Palat. gr. 138	= L, ff. 297-298v
Ottob. gr. 392	= I, ff. 54v-76

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν θερμὸν ὑμνῶ προστάτην Νικόλαον· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Ταῖς ἱεραῖς ὡς ἱερεύς, Νικόλαε,
χοροστασίαις συνὼν
καὶ σὺν αὐταῖς, μάκαρ,
ἱερῶς θεούμενος
τὴν ἱεράν σου σήμερον
καὶ φωσφόρον ἡμέραν
τοὺς ἱερῶς ἑορτάζοντας
θείου φωτισμοῦ καταξίωσον.

Ὁλικωτάταις πρὸς Θεὸν συννεύσεσιν
ἀπογαιούμενος

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Νικολάου φέρων ... Cf Cw et in marg. Ἰωσὴφ Cf   Ἕτερος κανὼν οὗ ἡ ἀκροστιχὶς ... et in marg. ὁ Ἰωσὴφ Sa   Ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς ... L   Ὁ κανὼν ... τήνδε ... I   nomen hymnographi Ἰωσὴφ ex odes θ' litteris initialibus deducitur

heirm. α' EE 219, n. 314, Joannis   1 Νικόλαον Sa   2 χοροστασίαι Cw   συνῶν Cf   3 αὐτοῖς Cf Cw   6 καὶ πανέορτον μνήμην Sa L I   10 ἀπογενόμενος Cf Cw Sa   ἀποθεούμενος L

ἔξω σαρκός, πάτερ,
γέγονας, Νικόλαε,
καὶ σεαυτὸν τοῖς πάθεσι
καὶ ταῖς ἐπιθυμίαις
θείᾳ δυνάμει ἐσταύρωσας
ὡς ἱερουργός, ἱερώτατε.

Νενευρωμένῳ λογισμῷ τῇ χάριτι
τοῦ παντοκράτορος
τὸ εὐμενές, μάκαρ,
τῆς σαρκὸς ἐξέκλινας
καὶ καθαρὸς γενόμενος
τῆς ἁγίας Τριάδος
ναὸς πανάγιος γέγονας
καὶ ναοὺς εἰδώλων κατέαξας.

θεοτ. Θανατωθεὶς ταῖς προσβολαῖς τοῦ ὄφεως
καθικετεύω σε,
ὡς τὴν ζωὴν μόνην
ἐπὶ γῆς κυήσασαν,
ἐπίσκεψαί με, ζώωσον
δραστηρίῳ φαρμάκῳ
τῆς εὐπροσδέκτου πρεσβείας σου,
ἄχραντε παρθένε πανύμνητε.

ᾠδὴ γ'. *Οὐρανίης ἁψῖδος*

Ἐπιπνοίᾳ τοῦ θείου
καταυγασθεὶς πνεύματος

16 ἱερώτατος Sa L I   17 Νενευρωμένος Sa   21 καθαρῶς Cw   24 κατέρραξας L   26 σαι Cf Cw   27 μόνη cdd.   28 κυήσασα cdd.   29 ἐπίσκεψε et sup. lin. altera manu corr. in - ψαι Cw   με] μοι Cw   30 δραστικῷ σου φ. L   31 ταῖς εὐπροσδέκτοις I   πρεσβείαις Cw Sa I   32 πανύμνητε] θεόνυμφε L!

heirm. γ' EE 220, n. 315, Joannis   heirm. 1 Οὐρανίοις Cw   Οὐρανίας Sa L I EE   34 καταυγασθεὶς] καὶ παντουργοῦ Sa L I

24 Cfr. canon. IX, v. 110.

ῥεῖθρον διαυγὲς διδαγμάτων,
μάκαρ, ἐξέβλυσας
καὶ τοὺς τῷ καύσωνι
τῆς ἁμαρτίας τακέντας
ἱερῶς ἐπότισας,
πάτερ Νικόλαε.

Ῥυθμιζόμενον λόγοις
τὸ ἱερὸν ποίμνιον
ἐκ μελισταγῶν σου χειλέων
ἐναποστάζουσι
βλάβης αἱρέσεων
καὶ πικροτάτων δογμάτων
ἀσινὲς διέμεινε,
πάτερ Νικόλαε.

Μύρῳ θείῳ ἐχρίσθης
τοῦ παντουργοῦ πνεύματος·
ὅθεν τὴν τῶν Μύρων καθέδραν,
πάτερ, ἐκόσμησας
καὶ εὐωδίασας
τὰς τῶν πιστῶν διανοίας
f. 54 ἀρεταῖς ‖ καὶ θαύμασι,
μάκαρ Νικόλαε.

θεοτ.

Ὁ Θεοῦ Θεὸς Λόγος
σοῦ ἐν γαστρὶ ᾤκησε
καὶ τοὺς παραβάσει φθαρέντας
ἐκαινοποίησεν·
ὅθεν, αἰτίαν σε
τῶν ἀγαθῶν ἐπιγνόντες,
εὐσεβῶς γεραίρομεν,
κόρη πανάμωμε.

---

36 μάκαρ] πάτερ L   38 τακέντα Sa   47 διέμεινε] διένειμε L   56 μάκαρ] πάτερ Sa I

ᾠδὴ δ΄. *Σύ μου, Χριστέ,*
Κύριος, σύ μου καὶ δύναμις

Νόμῳ Θεοῦ
ὑποκλιθείς, ἱερώτατε,
νομοθέτης
θεῖος ἐχρημάτισας,
θεωριῶν ὄρει ἐπιβάς,
καὶ πλαξὶ καρδίας
νομοθεσίαν δεξάμενος,
δι' ἧς τοὺς ἀνομοῦντας
πρὸς ἐπίγνωσιν θείαν
ἐκπαιδεύσας σαφῶς κατελάμπρυνας.

Ὑπομονῇ
τῶν πειρασμῶν βεβαιούμενος
καὶ ἀγάπῃ
θείᾳ καλλυνόμενος
καὶ ζηλωτὴς θεῖος πεφυκὼς
καὶ πειραζομένων
θερμός, Νικόλαε, πρόμαχος
ἀδίκως ἀγομένους
ἀπολέσθαι ἐρρύσω
πονηρᾶς καὶ δεινῆς ἀποφάσεως.

Μίαν αὐγὴν
τρισυποστάτου θεότητος
καταγγέλλων
πάντας κατεφώτισας

---

heirm. δ΄ EE 219, n. 314, Joannis   66 - κληθεὶς Cf Cw Sa I   69-71 cfr. supra canon. V, vv. 173-175   71 νομοθεσίας Cf Cw   78 καλληνόμενος Sa   79 πεφηνὼς L   80 χειμαζομένων Sa   81 θερμῶς Cw

---

85-94 Cfr. canon. VII, vv. 232-236.

καὶ τῆς αἱρέσεως τὸν πικρὸν
ἔλυσας χειμῶνα
καὶ τὴν ἀχλὺν διεσκέδασας
Ἀρείου δυσφημίας,
ἱερώτατε πάτερ,
στηλιτεύσας αὐτοῦ τὴν ἀπόνοιαν.

θεοτ. Νόμοι ἐν σοὶ
καινοτομοῦνται, πανάμωμε·
νομοδότην
Λόγον γὰρ ἐγέννησας
νομοθετοῦντα τοῖς ἐπὶ γῆς
πάσης ἀληθείας
καὶ εὐσεβείας ἐπίγνωσιν,
παρθένε θεοτόκε,
τῆς κατάρας ἡ λύσις,
τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις.

ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*

Ὥσπερ φοῖνιξ ἀνθήσας
βότρυας περκάζοντας πίστεως, ἔνδοξε,
καὶ θαυμάτων θείαις
ἐπιδείξεσι πᾶσαν ἐπλήρωσας
οἰκουμένην λύων
τοὺς ἐν δεσμοῖς καὶ ἐν ἀνάγκαις
καὶ κινδύνοις καὶ θλίψεσι πάντοτε.

Πρὸς Θεοῦ τοῖς ἀνθρώποις
δέδοσαι, Νικόλαε, δόσις σωτήριος·

---

89 τὴν πικρὰν Sa 96 κενοτομοῦνται Cf Cw πανάμωμε] τῆς φύσεως Sa L I 98 Λόγον] μόνη I ἐγέννησας] ἐκύησας Sa L I 99 τοὺς I
heirm. ε΄ EE 219, n. 314, Joannis 105 Ὤπερ I ἀνθήσας] ἐνθέως Sa L I 106 περκάζοντας] ἐξήνθησας Sa L I 108 πᾶσιν I 109 λύον Sa 110 τοῖς Sa 111 καὶ θλίψεσι πάντοτε] τελοῦντας Νικόλαε L 113 δέδωσε sup. lin. alia manu corr. in δέδωσαι Cw

---

105 Ps. 91,13

συμπαθεῖ γὰρ γνώμῃ
f. 54v προσκαμ||πτόμενος πάντων προΐστασαι
τῶν ἐν περιστάσει
καὶ χαλεπῇ συκοφαντίᾳ
διασώζων αὐτοὺς μεσιτείᾳ σου.

Ῥητορεύων τὰ θεῖα
γνῶσιν τὴν σωτήριον πάντας ἐμύησας
καὶ τοὺς κατελθόντας
εἰς βυθὸν ἀσεβείας ἐζώγρησας
νουθετῶν, διδάσκων
ὡς ἀληθὴς ποιμὴν ποιμένων
καὶ Χριστοῦ ἀρχιποίμενος πρόβατον.

θεοτ. Ὁ σωτήριος Λόγος
λόγου δι᾽ ἀγγέλου σοι προσεισοικίζεται
καὶ τῆς ἀλογίας
τοὺς ἀνθρώπους λυτροῦται, πανάμωμε,
ὡς Θεὸς τῶν ὅλων
ὡς συμπαθὴς καὶ εὐεργέτης,
ὃν δυσώπει σωθῆναι τοὺς δούλους σου.

ᾠδὴ ϛ΄. *Ἱλάσθητί μοι, σωτήρ,*

Συνέσει θείᾳ τὸν νοῦν
λελαμπρυσμένος, Νικόλαε,
ἀσυνετοῦντας ἐχθροὺς
στηρίζων ἐπέστρεψας
καὶ πλάνης ἀπήλλαξας
καὶ τοῖς ἀπλανέσι
κατωχύρωσας διδάγμασιν.

Τῶν Μύρων ἀρχιερεύς,
τῆς ἐκκλησίας ὑπέρμαχος,

---

114 συμπαθῆ cdd. 115 προΐστασο I 119 Ρητορευόντων L 120 πάντας] πᾶσιν LI ἐμύησας] ἐνέθηκας L 122 εἰς] καὶ Sa ἀσεβείας] ἀγνωσίας Sa L I 124 ἀληθῶς Cf Cw L 127 προσεισοικίζεται] νῦν εἰσοικίζεται Sa ἐγκατοικίζεται L
heirm. ϛ΄ EE 220, n. 315, Joannis 134 Νικόλαε] μακάριε L I 139 κατὸχύρωσας Cf Cw καθὸχύρωσας Sa I

τῶν εὐσεβῶν φυλακτήρ,
ἀθέων ἀντίπαλος
ἐγένου, Νικόλαε,
ὡς Θεοῦ θεράπων
τοῦ μεγάλως σε δοξάσαντος.

Ἀπολυθεὶς τῆς σαρκὸς
τὸν ὀφειλόμενον ὕπνωσας
δικαίοις ὕπνον, σοφέ,
καὶ ἄγρυπνος γέγονας
προστάτης, Νικόλαε,
καταπονουμένων
καὶ πιστῶς ἐξαιτουμένων σε.

θεοτ. Τὰ τραύματα τῆς ἐμῆς
καρδίας ἴασαι, πάναγνε,
τῇ λόγχῃ καὶ τῇ σφαγῇ
καὶ τῷ θείῳ αἵματι
τοῦ ἐκ σοῦ θελήματι
σαρκωθέντος Λόγου
διὰ ἔλεος ἀμέτρητον.

Κοντάκιον.

Ἦχος πλ. δʹ. Πρός· *Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια*

Τῇ ὑπερμάχῳ κραταιᾷ ἀντιλήψει σου

....

f. 55 Ὁ οἶκος.

Πρός· *Ἄγγελος πρωτοστάτης*

Ἅγιε θεοφόρε,

....

145 θεράπον Sa 146 δοξάζοντος Sa 155 ἴσαι Cw 158 θελήματος Cw Sa 159 σαρκωθέντος] -θέντα Cf Cw

Κοντ. et οἶκ., quae om. Sa L I, in PAS I, 613 ed. invenies; aliud κοντ. profert Cw, quod inc. Ὁ ἐπινίκιος αὐλός, ἱεράρχα, TRM II, 77, sed οἶκ. om. cd.; cfr. etiam canon. V

ᾠδὴ ζʹ. *Θεοῦ συγκατάβασιν*

Ἡλίου φαιδρότερον
ἡμῖν ἐπέστη
ἡ θεία μνήμη σου
τὰς ἐν ζόφῳ καρδίας
φωταγωγοῦσα καὶ μακαρίζειν σε
γνησιωτάτως
τοὺς ψάλλοντας πείθουσα·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ναὸς θείου πνεύματος
πεποικιλμένος
ἀρεταῖς γέγονας·
τῆς Ἀρτέμιδος ὅθεν
ναὸν καθεῖλες τὸν μιαρώτατον
ἀποτελέσας
Θεοῦ οἰκητήρια
τοὺς δυσσεβοῦντας τὸ πρίν,
πάτερ Νικόλαε.

Νυκτὶ καὶ ἡμέρᾳ σε
ἐπικαλοῦμαι,
πάτερ Νικόλαε·
ἀγαθός μου προστάτης
δι᾿ εὐσπλαγχνίαν, δέομαι, φάνηθι
τῶν ἀναγκῶν με
ῥυόμενος πάντοτε
καὶ θλιβερῶν καὶ δεινῶν,
ὅπως δοξάζω σε.

heirm. ζʹ EE 219, n. 314, Joannis 163 σου om. Sa 165 μακαρίσαι I 168, 195 post εὐ(λογητὸς) orat. varie detruncatur in cdd. 170 θείου] Θεοῦ L 176 οἰκητήριον Cf Cw Sa 179-187 trop. om. Cf Cw 182 μοι L

173-174 Cfr. canon. IX, v. 110.

Ἰδεῖν ἐφιέμενος
Θεοῦ τὴν δόξαν
τὴν ἀκατάληπτον
τὴν ἐπίγειον δόξαν
καὶ τῶν ῥεόντων πᾶσαν ἀπόλαυσιν
ἐναπεκρούσω
κραυγάζων, Νικόλαε·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Κακίᾳ τοῦ ὄφεως
τοὺς ὑπαχθέντας
πάλιν ἐζώωσας
τὴν ζωὴν τετοκυῖα,
παρθενομῆτορ· διό με ζώωσον
θανατωθέντα
πολλοῖς πλημμελήμασιν,
ἵνα ὑμνῶ σε ἀεὶ
τὴν πολυύμνητον.

ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

f. 55ᵛ || Ὁλολαμπὴς ὡς ἥλιος
ἀρετῶν ταῖς λαμπρότησι
καὶ ταῖς τῶν θαυμάτων σελασφόροις λάμψεσι
φωτίζεις τὰ πέρατα,
θαυματουργὲ Νικόλαε,
λύων πειρασμῶν τὸ πολυώδυνον σκότος
καὶ μέλπειν ἐκδιδάσκων·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

---

191 τὴν] σὴν Sa 201 παρθενομήτωρ Cf Cw 203 πολλοῖς] δεινοῖς L et in marg. altera manus corr. πολλοῖς

heirm. η΄ EE 219, n. 314, Joannis 210 θαυματουργῶν L 212 μέλπων Sa ἐκδιδάσκεις I 213 ἀνυμνεῖτε] εὐλογεῖτε Sa post ἀνυμνεῖτε orat. detruncant cdd.

Λυμαινομένην ἔστησας
σηπεδόνα, Νικόλαε,
πάλαι τοῦ Ἀρείου εὐσεβῶν τὸ πλήρωμα·
χορῷ γὰρ συνήστραψας
τῶν ἐν Νικαίᾳ θείᾳ βουλῇ
ἐπισυναχθέντων θεοφόρων πατέρων,
μεθ' ὧν καὶ ἀνεβόας·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἀπαγωγὴν ὀλέθριον
ὀπτανόμενος ἔλυσας
τῶν κινδυνευόντων ἀπολέσθαι, ἔνδοξε·
Θεὸς γὰρ ὁ δίκαιος
τὸ τῆς ψυχῆς σου πρόθυμον
καὶ ζηλωτικὸν καταμαθὼν ὑπὲρ πάντας
ἁγίους δίδωσί σοι,
ἱερώτατε, χάριν
κινδύνων ἐκλυτροῦσθαι
τοὺς καταπονουμένους.

Ὁ ἱερὸς Νικόλαος,
τῶν πιστῶν τὸ κραταίωμα,
τὸ τῆς ἐκκλησίας ἱερὸν ἀγλάισμα,
ὁ στῦλος τῆς πίστεως,
ὁ ἀρραγὴς θεμέλιος
πάσης εὐσεβείας, ὀρθοδόξων τὸ κλέος,
ὁ ἄδυτος φωσφόρος,
τῶν καταπονουμένων
ὁ ῥύστης ἐπαξίως
Νικόλαος τιμάσθω.

θεοτ. Ναὸς Θεοῦ γεγένησαι·
ἐπὶ σοὶ γὰρ κατῴκησε

---

223 post ἱερεῖς orat. varie detruncatur in cdd. 226 Ἐπαγωγὴν pro Ἀπαγωγὴν perperam proferunt Sa I 245 Νικόλαος τιμάσθω] τιμάσθω εἰς αἰῶνας Sa L 246 γεγέννησαι Cw 247 κατώκησαι Sa

καὶ τὴν ἐνοικοῦσαν ἁμαρτίαν, πάναγνε,
τῇ φύσει τὸ πρότερον
τῇ καθ' ἡμᾶς ἐξώρισε
καὶ υἱοθετήσας τοὺς ἀνθρώπους ὁ φύσει
υἱὸς πατρὸς ἀνάρχου
ἀναμέλπειν φωτίζει·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἔφριξε πᾶσα ἀκοή*

Ἵνα σε θείαις ἐν φωναῖς,
ἱερώτατε ποιμήν, μακαρίζωμεν,
ἵνα τιμῶμέν σε
θεοσημείαις ἀγλαϊζόμενον,
ἵνα τὴν μνήμην σου ἀεὶ
πόθῳ ἑορτάζωμεν,
σῶζε συνήθως ἡμᾶς
ἀπὸ πάσης χαλεπῆς περιστάσεως.

Ὢ θεία ὄντως κεφαλὴ
f. 56 καὶ ἀγγέλοις κατὰ πάν||τα αἰδέσιμος,
ὦ ἱερώτατον
Κυρίου σκεῦος, μύρου πληρούμενον
ἐκκενωθέντος δι' ἡμᾶς
ἄκρᾳ ἀγαθότητι,
πάτερ Νικόλαε,
εὐωδίας μυστικῆς πάντας πλήρωσον.

Σῶμά σου νῦν τὸ ἱερὸν
ἐν τοῖς Μύροις ἱερῶς ἀποκείμενον
μύρον εὐῶδες ἀεὶ

---

253 ἀναμέλπει L φωτίζειν Sa φωτίζει] διδάσκει I 254 post λαὸς orat. detruncant cdd.
heirm. θ' EE 222, n. 317, Joannis 256 θείαι Cw 257 μακαρίζομεν Cd Sa 259 -μενοι Cf Cw Sa 261 ἑορτάζομεν Cf Cw Sa I 262 σώζεις Sa 264-271 trop. desideratur in Sa 266 ὦ] καὶ I 273 ἀνακείμενον I

---

251 II Cor. 6,18; Gal. 4,4-6

ἀναπηγάζει τοῖς προσπελάζουσι
καὶ τὸ δυσῶδες τῶν παθῶν
διώκει, Νικόλαε,
καὶ τῶν δαιμόνων πληθὺν
ἀποπνίγει θεϊκαῖς ἐπινεύσεσιν.

Ἥλιε ἄδυτε, Χριστέ,
ἐκ νεφέλης φωτεινῆς ἐξανέτειλας
καὶ ὡς ἀστέρα φαιδρὸν
τὸν ἱεράρχην κόσμῳ ἀνέδειξας
ἐπαφιέντα πανταχοῦ
θαυμάτων λαμπρότητας,
οὗ ταῖς δεήσεσι
φωταγώγησον ἡμᾶς ὡς φιλάνθρωπος.

θεοτ. * Φώτισον, πύλη τοῦ φωτός,
τῆς καρδίας μου τὰ ὄμματα, δέομαι,
ταῖς ἀμαυρότησι
τῆς ἁμαρτίας ἀποτυφλούμενα
καὶ δεκτικὰ τῶν θεϊκῶν
δεῖξον ἐπιλάμψεων,
ἵνα γεραίρω σε,
ἵνα θείαις ἐν φωναῖς μεγαλύνω σε.

---

279 ἐπιπνεύσεσιν I 282 φαιδρὸν om. Sa 283 τὸν] σὸν Sa ἱεράρχειν et sup. lin. corr. in ἱεράρχην Cw
Post trop. « Ἥλιε ἄδυτε, Χριστέ,» Sa repetit trop. « Σῶμά σου νῦν τὸ ἱερὸν » 288-295 θεοτ. MR VI, 327 290 ταῖς ἀμαυρώσεσι L 292 δεκτικὸν L 293 δεῖξων Sa θείων Cf Cw 295 ἵνα ... μεγαλύνω σε] ἐν φωναῖς ἀγγελικαῖς, παναμώμητε MR

272-279 Cfr. canon. XIV (1), vv. 226-231.

280-281 Is. 19,1 288 Ez. 44,2

10 DEC. *CANON* XVI

IN SANCTUM ONESIPHORUM APOSTOLUM

Synaxarium, 289-290: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα Σωσθένους, Ἀπολλῶ, Κηφᾶ, Τυχικοῦ, Ἐπαφροδίτου, Καίσαρος καὶ Ὀνησιφόρου ..... Οὗτοι πάντες καλῶς πολιτευσάμενοι καὶ ὁσίως ποιμάναντες καὶ κυβερνήσαντες τὰς λαχούσας αὐτοῖς ἐκκλησίας καὶ τὸν λαὸν καὶ πολλοὺς πειρασμοὺς καὶ βασάνους ὑπομείναντες ὑπὲρ Χριστοῦ, παρὰ τῶν εἰδωλολατρῶν ἐτελειώθησαν, παραδόντες τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ, ὑπὲρ οὗ προθύμως ἐσφάγησαν.

Crypt. Δ.α. XIX = Cu, ff. (121v)-(123)
Paris. gr. 1623 = Pi, ff. 19v-23
Sinait. gr. 578 = Σc, ff. 1-1v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Χριστοῦ μαθητὴν αἰνέσω θεηγόρον· ⟨Ἰωσήφ⟩.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Χοροστατοῦντες ἐν πίστει
τὸν τοῦ Χριστοῦ
μαθητὴν ὑμνήσωμεν
ὑμνῳδίαις ἱεραῖς
ταῖς αὐτοῦ δεήσεσι τυχεῖν
βασιλείας οὐρανῶν
Θεὸν αἰτούμενοι.

---

tit. Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τοῦ ἁγίου ἀποστόλου Ὀνησιφόρου φέρων ... Cu Ὁ κανὼν Pi tit. deest in mutilo Σc nomen hymnographi Ἰωσὴφ e litteris primis trop. odes θ' habeas
heirm. α' EE 159, n. 224, Joannis 1-129 desiderantur in mutilo Σc
1-7 trop. om. Pi 7 αἰτούμενος cd.

Ῥήσει χειλέων σου θείων
ἀναγαγὼν
ἐκ βυθοῦ, μακάριε,
ἀπιστίας χαλεπῆς,
τοὺς βροτοὺς ἐδίδαξας σαφῶς
προσκυνεῖν ἕνα Θεὸν
σάρκα φορέσαντα.

Ἱερωτάτῃ χορείᾳ
τῶν ἱερῶν
συνταγείς, μακάριε,
ἑβδομήκοντα Χριστοῦ
μαθητῶν, ἐφώτισας λαοὺς
ἱεραῖς πανευκλεῶς
θεηγορίαις σου.

θεοτ. Σεσαρκωμένον τὸν Λόγον
δίχα τροπῆς
ἐξ ἁγνῶν αἱμάτων σου
ἀπεκύησας, ἁγνή,
εἰς ἡμῶν ἀνάπλασιν· διὸ
ἀσιγήτοις σε φωναῖς,
κόρη, γεραίρομεν.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*
Κύριε, ὁ Θεός μου,

⟨Τ— —́ — —́ — — — —́
— — —́ — — —́ —
— — —́ — — —́ —
— — —́ — — — —́
— — — —́ — — —́
— — —́ —
—́ — — — —́ — —⟩.

8-14, 15-21 trop. inverso ordine profert Pi
heirm. γ' EE 159, n. 224, Joannis 29-35 trop., quod incipit littera T..., desideratur

---

14 Joh. 1,14

Ὁδοὺς ὁδεύσας ἀληθεῖς
τοῦ Θεοῦ προσταγμάτων,
ἐν αὐταῖς τοὺς ἀνθρώπους
ἐμβιβάζεις μυστικῶς,
Ὀνησιφόρε σοφέ,
ὡς τοῦ λόγου
ἄριστος διάκονος.

Ὑπῆρξας ἅρμα νοητὸν
ἐποχούμενον φέρων
τοῦ Θεοῦ Θεὸν Λόγον
καὶ τοὺς ἄξονας, σοφέ,
συντρίβων τοῦ δυσμενοῦς
καὶ βαδίζων
τρίβον τὴν οὐράνιον.

θεοτ. * Μαρία, μήτηρ τοῦ Θεοῦ,
ἡ σωτήριος πύλη,
δι᾽ ἧς ὥδευσε μόνος
ὁ τῶν ὅλων ποιητής,
τῆς μετανοίας ἡμῖν
θείας πύλας,
ἄχραντε, διάνοιξον.

ᾠδὴ δ΄. *Χριστός μου δύναμις*

Ἀγάλλου, χόρευε
πανηγυρίζουσα,
ἡ Χριστοῦ ἐκκλησία,

36-42, 43-49 trop. inverso ordine ponit Pi 44 φέρον Pi 45 τὸν Pi 50-56 θεοτ. PID ρκς΄; Pi autem θεοτ., quod inc. Ἰδού σε πᾶσαι γενεαὶ . . ., MR II, 356, profert

Post oden γ΄ κάθ., quod ineditum videtur, exhibet Pi: Ἦχος δ΄. *Ἐπεφάνης σήμερον* Φωτοβόλοις λάμψεσι τῆς εὐσεβείας / τὰς ψυχὰς ἐφώτισας, Ὀνησιφόρε, τῶν πιστῶν / καὶ μαρτυρίῳ διέλαμψας· / ὅθεν σε πόθῳ / ἀξίως δοξάζομεν.

heirm. δ΄ EE 159, n. 224, Joannis

---

51 Ez. 44,2

τὴν ἱερὰν
καὶ σεπτὴν μετάστασιν
Ὀνησιφόρου τοῦ σοφοῦ
καὶ σεπτοῦ ἱεροκήρυκος.

f. 122 ‖ Θαυμάτων χάριτι
καὶ διδαγμάτων σου
ἀστραπαῖς, θεηγόρε,
τοὺς ἐν νυκτὶ
ἀπιστίας πρότερον
συνεχομένους κοινωνοὺς
θείας δόξης ἀπετέλεσας.

Ἡ θεία γλῶττά σου
τῷ θείῳ πνεύματι
τεθηγμένη, παμμάκαρ,
ὡς ἱεροῦ
γραμματέως κάλαμος
ἐν ταῖς καρδίαις τῶν πιστῶν
θείαν πίστιν κατεγράψατο.

θεοτ. Τὸ θεῖον τέμενος
τοῦ παντοκράτορος,
τὴν καλὴν καὶ ὡραίαν
ἐν γυναιξὶ
πάντες μακαρίσωμεν
οἱ σεσωσμένοι δι᾽ αὐτῆς
καὶ πιστῶς δοξολογήσωμεν.

ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ἥλιον ἄδυτον ἐν ψυχῇ,
μάκαρ, περιφέρων τὸν Χριστόν,
Ὀνησιφόρε, ἐφώτισας

64-70 trop. om. Pi 75 γραμματαίως Cu 78-84 aliud θεοτ. Pi porrigit, quod inc. Μαρία πάναγνε . . ., MR II, 357

heirm. ε΄ EE 159, n. 224, Joannis

71-75 Ps. 44,2

τοὺς ἐσκοτισμένους
καὶ καθωδήγησας
πρὸς τρίβους ἀληθείας καὶ ἐπιγνώσεως.

Νεκρῶν ξοάνων ἀλλοτριῶν
ζῶσί σου, σοφέ, ὡς ἀληθῶς,
Ὀνησιφόρε, διδάγμασιν
ἔπεισας δοξάζειν
Χριστὸν τὸν σώσαντα
τὸν κόσμον ζωηφόροις τούτου παθήμασιν.

Αἵματι θείῳ τὴν ἱεράν,
μάκαρ, ἐπιχρώσας σου στολήν,
Ὀνησιφόρε, ἐτέλεσας
ταύτην λαμπροτέραν,
μεθ' ἧς ἐχώρησας
εἰς τὰ τῶν οὐρανίων θεῖα σκηνώματα.

θεοτ. Ἱερωτέρα τῶν Χερουβὶμ
καὶ τῶν Σεραφὶμ ὡς ἀληθῶς,
θεοχαρίτωτε, γέγονας,
μόνη τὸν τῶν ὅλων
Θεὸν κυήσασα
καὶ πάλιν μετὰ τόκον ἄφθορος μείνασα.

ᾠδὴ ϛ'. *Τοῦ βίου τὴν θάλασσαν*

Νοὸς καθαρότητι
τὰς τοῦ πνεύματος αὐγάς,
Ὀνησιφόρε ἔνδοξε,
εἰσδεδεγμένος, ἥλιος φωταυγὴς
ἐν γῇ ἐχρηματίσας
τῆς ἀπάτης τὸ σκότος διωθούμενος.

91-96 trop. om. Pi 93 διδάγμασιν scripsi: διδάγματα cd. 103-108 aliud θεοτ. prodit Pi, quod inc. Ὑποφωνοῦσι προφητικαὶ ῥήσεις . . ., MR II, 358
heirm. ϛ' EE 159, n. 224, Joannis 114 διορθούμενος Pi

Ἐβλάστησε ῥόδον σε
μυστικὸν ὡς ἀληθῶς,
Ὀνησιφόρε πάνσοφε,
Ἰκονιέων πόλις τὰ τῶν πιστῶν
πληροῦν τὰ πληρώματα
νοητῆς εὐωδίας θείᾳ χάριτι.

Σταυρῷ τὸν τανύσαντα
τὰς παλάμας δι' ἡμᾶς,
παμμάκαρ, ἐκμιμούμενος
πάθος ὑπέστης θεῖον μαρτυρικαῖς
f. 122ᵛ κοσ||μούμενος χάρισι·
διὰ τοῦτό σε πόθῳ μακαρίζομεν.

θεοτ. Ὡς μόνη χωρήσασα
τὸν ἀχώρητον παντὶ
καὶ ὑπὲρ νοῦν κυήσασα
στενοχωρίας λύτρωσαι πονηρᾶς
τοὺς δούλους σου, δέσποινα,
καὶ τῆς αἰωνιζούσης κατακρίσεως.

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Θεηγόρος ἀπεφάνθης ἱερώτατος
καὶ στῦλος ἀπερίτρεπτος
τῆς ἐκκλησίας
καὶ φωστὴρ ἁπάντων τῶν πιστῶν·
διό σε τιμῶμεν εὐσεβῶς,
Ὀνησιφόρε, μαθητὰ
καὶ μιμητὰ τοῦ Χριστοῦ.

---

115 ῥόδον] ῥάβδον Pi 118 πόλεις Cu 119 πληροῦντα Cu 121-126 trop. desideratur in Pi 127-132 aliud θεοτ. profert Pi, quod inc. Σαρκὸς πηλικότητι ἑνωθεὶς. . ., MR II, 358 (πηλικότητι] τῇ παχύτητι MR); cfr. etiam An ια' 130 ab hoc v. incipit textus in Σc
heirm. ζ' EE 159, n. 224, Joannis 134 ἀπερίτρεπτος] ἀπερίγραπτος Σc

Ἐξεχύθη σου τοῖς χείλεσιν, ὡς γέγραπται,
ἡ χάρις ἡ σωτήριος·
διὰ τοῦτό σε
ὁ Θεὸς ηὐλόγησεν ἀεὶ
ὡς θεῖον αὐτοῦ ἱερουργὸν
καὶ τῶν παθῶν ἐκμιμητήν,
Ὀνησιφόρε σοφέ.

Ἡ σορὸς ἡ τῶν λειψάνων σου πηγάζουσα
ὡς νάματα τὰ θαύματα,
παναοίδιμε,
καταρδεύει πάντων τὰς ψυχὰς
καὶ πλύνει τὸν ῥύπον τῶν παθῶν,
ἣν προσκυνοῦντες εὐσεβῶς
ὑμνολογοῦμέν σε.

θεοτ. Γῆ ἀνήροτος, πανάμωμε, γεγένησαι
βλαστήσασα τὸν ἄσταχυν,
τὸν ἀείζωον
μυστικῶς ἐκτρέφοντα ἡμᾶς·
διό σε συμφώνως οἱ πιστοὶ
ὡς θεοτόκον ἀληθῆ
ὑμνολογοῦμεν ἀεί.

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ὁ Θεοῦ Θεὸς Λόγος
κήρυκα ἔνθεον
εἰς τὸν σύμπαντα κόσμον

---

140 Ἐξεχύθη σου] Ἐξεχύθησαν Pi 143 εὐλόγησεν Cu 146 ὀνοσιφόρε Pi 147-153 trop. om. Pi 151 πλύνη Cu 152 ἣν Cu Σc 154-160 aliud θεοτ. profert Pi, quod inc. Λόγος ὁ πάλαι τὸ εἶναι ..., MR II, 358 (ὁ πάλαι] πάλαι ὁ MR); cfr. etiam An ιβ' 159 ἀληθεῖ Σc

heirm. η' EE 159, n. 224, Joannis

140-141 Ps. 44,3

σὲ προχειρίζεται
τὴν ἐπὶ τῆς γῆς
ἐνδημίαν κηρύττοντα
τῆς αὐτοῦ, παμμάκαρ
Ὀνησιφόρε, δόξης.

Ῥεῖθρον ζῶν ἐν καρδίᾳ
τὸν λόγον ἔσχηκας
τὸν σωτήριον, μάκαρ,
δι' οὗ κατήρδευσας
φρένας τῶν ἐθνῶν
βλαστανούσας ἐπίγνωσιν
τοῦ ἐπιφανέντος
εἰς κόσμου σωτηρίαν.

Οἰκητήριον θείου
πνεύματος γέγονας
καὶ κακίας πνευμάτων
πολλοὺς ἀπήλλαξας,
μάκαρ, πονηρῶν
καὶ δεινῆς ἀμαυρότητος
καὶ παθῶν ἀχλύος
καὶ σκότους νοσημάτων.

θεοτ. Νοητήν σε λυχνίαν
τρανῶς προέβλεψεν
ὁ προφήτης, παρθένε,
θεῖον λαμπάδιον
φέρουσαν Χριστὸν
τοὺς ἐν σκότει φωτίζοντα·
ὅθεν σὲ ὑμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

169-176 trop. desideratur in Pi 169 Ῥείθρων Σc 177 θεῖον Cu 182 ἀμαυρώσεως Pi Σc 185-192 aliud θεοτ. profert Pi, quod inc. Ζωοδότην τεκοῦσα Θεόν..., MR II, 359 192 post πάντας orat. detruncat Cu

---

185-188 Zach. 4,2

f. 123 || ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Ἰσχὺν καὶ κράτος περιζωσάμενος
παρὰ Θεοῦ
ἰσχὺν τοῦ πονηροῦ πολεμήτορος
ἐταπείνωσας καὶ κατεπάτησας
τοὺς ὑπ' αὐτοῦ τε πάντας,
μάκαρ ἀπόστολε,
καταπονηθέντας πρὸς ζωὴν
ἐχειραγώγησας.

Ὡς ὤν, θεόφρον, φωτὸς ἀνάπλεως
τοὺς ἐν νυκτὶ
τῆς πλάνης κρατηθέντας ὡδήγησας
πρὸς ἡμέραν Θεοῦ ἐπιγνώσεως·
ὅθεν ὡς θεηγόρον
πάντες τιμῶμέν σε
πόθῳ ἐκτελοῦντες τὴν σεπτὴν
καὶ θείαν μνήμην σου.

Συνὼν τῷ Παύλῳ τῷ θεοκήρυκι
πολλῶν ψυχάς,
σοφὲ Ὀνησιφόρε, ἐφώτισας
φωτοβόλοις ἀκτῖσι τοῦ πνεύματος,
πίστει δὲ ἐναθλήσας
ἐκληρονόμησας
τὴν διαιωνίζουσαν ζωὴν
καὶ ἀγαλλίασιν.

Ἡ γῆ εὐφραίνεται ἑορτάζουσα
τὴν ἱερὰν
καὶ θείαν σου πανήγυριν, ἔνδοξε,

---

heirm. θ' EE 159, n. 224, Joannis 201-208 trop. om. Pi 201 ἀνάπλεος Cu Σc 217-224 trop. deest in Pi

---

209-211 II Tim. 1,16-18

οὐρανοὶ σὺν ἡμῖν ἐπαγάλλονται,
χαίρει χορὸς ἁγίων
ἐπὶ τῇ μνήμῃ σου·
μεθ' ὧν ἡμῶν μέμνησο ἀεὶ
τῶν εὐφημούντων σε.

θεοτ. Φωνὴν βοῶμέν σοι χαριστήριον·
« χαῖρε, πηγὴ
τοῦ ὕδατος τοῦ ζῶντος, πανάμωμε,
τοῦ ἡλίου περίδοξον ὄχημα
τοῦ τῆς δικαιοσύνης,
χαῖρε, θεόνυμφε,
δι' ἧς ἐλυτρώθημεν ἀρᾶς
καὶ παραβάσεως ».

---

220 ἐπαγάλλοντε Cu 223 μέμνησω Cu Σc 225-232 aliud θεοτ. «Ὡς σὺ οὐδέπω, θεοχαρίτωτε» Pi profert, quod initio tantum differt in MR II, 359 (Ὡς σὺ οὐδέποτε κεχαρίτωται MR)

228-229 Mal. 3,20

IN OCTAVAM CONCEPTIONIS ET IN SANCTOS MENAM, HERMOGENEM ET EUGRAPHUM MARTYRES

Synaxaria, 289-291: Ἡ σύλληψις τῆς ἁγίας Ἄννης μητρὸς τῆς Θεοτόκου. Ὁ κύριος ἡμῶν καὶ Θεὸς θέλων ἑτοιμάσαι ἑαυτῷ ναὸν ἔμψυχον καὶ οἶκον ἅγιον εἰς κατοικίαν ἑαυτοῦ, τὸν ἄγγελον αὐτοῦ ἀπέστειλε πρὸς τοὺς δικαίους Ἰωακεὶμ καὶ Ἄνναν, ἐξ ὧν ἠθέλησε προελθεῖν τὴν κατὰ σάρκα μητέρα αὐτοῦ. Καὶ προεμήνυσε τὴν σύλληψιν τῆς ἀγόνου καὶ στείρας, ἵνα βεβαιώσῃ τῆς παρθένου τὴν γέννησιν· ὅθεν συνελήφθη ἡ ἁγία παρθένος καὶ ἐγεννήθη οὐχ, ὡς λέγουσί τινες, ὅτι ἑπτὰ μηνῶν ἢ ὅτι χωρὶς ἀνδρός, ἀλλὰ τελείων ἐννέα μηνῶν καὶ ἐξ ἐπαγγελίας μέν, ἐκ συναφείας δὲ ἀνδρός. Μόνος γὰρ ὁ κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς ἄνευ ἀνδρὸς καὶ χωρὶς συναφείας καὶ σπορᾶς ἐγεννήθη ἐκ τῆς ἁγίας ἀειπαρθένου, ἀπορρήτως καὶ ἀνερμηνεύτως, ὡς οἶδεν ἐκεῖνος μόνος· καὶ τέλειος ὑπάρχων Θεός, πάντα αὐτοῦ τῆς κατὰ σάρκα οἰκονομίας τέλεια προσελάβετο, καθὼς καὶ τὴν τῶν ἀνθρώπων φύσιν ἐδημιούργησε καὶ ἔπλασε τὸ κατ' ἀρχάς. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ τῷ ὄντι ἐν τοῖς Χαλκοπρατείοις, πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

293-294: Ἄθλησις τῶν ἁγίων μαρτύρων Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου. Ὁ ἅγιος μάρτυς Μηνᾶς ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως. Ἐγένετο δὲ εἰς Ἀλεξάνδρειαν ζήτησίς τινων πραγμάτων καὶ ἀπεστάλη παρὰ τοῦ βασιλέως, ἵνα λύσῃ τὴν φιλονεικίαν ὡς σοφὸς καὶ ῥήτωρ. Ἀπελθὼν οὖν εἰς Ἀλεξάνδρειαν καὶ τὴν φιλονεικίαν διέλυσε, καὶ τοὺς χριστιανοὺς προθυμοτέρους ἐποίησεν καὶ πολλοὺς τῶν ἀσθενούντων ἰάσατο. Ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς ἀποστέλλει Ἑρμογένην τὸν ἔπαρχον, ἵνα βασανίσῃ τὸν ἅγιον Μηνᾶν καὶ μεταστήσῃ αὐτὸν ἀπὸ τῆς τῶν χριστιανῶν πίστεως. Ὁ δὲ ἀπελθὼν ἐτύφλωσε τὸν ἅγιον καὶ τὴν γλῶτταν αὐτοῦ ἔκοψεν. Ὡς δὲ εἶδε πάλιν αὐτὸν ὑγιάναντα, ἐπίστευσε καὶ αὐτός. Καὶ παρὰ μὲν τοῦ ἁγίου Μηνᾶ ἐβαπτίσθη, παρὰ δὲ τῶν συνελθόντων ἐπισκόπων ἐχειροτονήθη ἐπίσκοπος. Ἀκούσας δὲ ὁ βασιλεὺς αὐτὸς ἀπελθὼν ἐτιμωρήσατο αὐτούς, ὁμῶς καὶ τὸν νοτάριον τοῦ ἁγίου Μηνᾶ Εὔγραφον πιστεύσαντα· καὶ οὕτως αὐτοὺς μαχαίραις κατακόψας ἐθανάτωσεν. Ἀνηνέχθη δὲ τὰ τίμια αὐτῶν λείψανα καὶ κατετέθη ἐν Βυζαντίῳ, ἔνθα νῦν εἰσι, τοῦτο τοῦ ἁγίου Μηνᾶ πρὸς Κύριον δεηθέντος. Τὸ δὲ μαρτύριον αὐτῶν, ὥς φασιν, συνεγράψατο ὁ μέγας Ἀθανάσιος ὁ Ἀλεξανδρείας.

Vallic. gr. E 54 = Ea, ff. 19v-22

Ὁ κανών.
⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Ἅρματα Φαραὼ*
καὶ τὴν δύναμιν αὐτῶν

Ηὔγασαν νοητῶς
αἱ ἀκτῖνες τοῦ φωτὸς
τοῦ ἀδύτου σήμερον
ἐν τῇ φωσφόρῳ συλλήψει
τῆς ὑπερφυοῦς νεφέλης Θεοῦ,
ἣν ἐπαξίως δοξάζομεν.

Ἔλαβον ἐκ Θεοῦ
δι' ἀγγέλου τῆς φωνῆς
τὸ πέρας οἱ δίκαιοι
Ἰωακεὶμ καὶ ἡ Ἄννα
καὶ ἐν εὐφροσύνῃ ᾔνεσαν
τὸν πληρωτὴν τῶν ἐντεύξεων.

f. 20 || Ἔθλασας κεφαλὴν
τὴν τοῦ ὄφεως, σοφέ,
στερρᾷ καρτερίᾳ σου
καὶ βακτηρίᾳ τὸν λόγον
καὶ τὴν τοῦ Χριστοῦ ἀσάλευτον
ὁμολογίαν ἐτήρησας.

Αἵμασιν, ἀθλητά,
τὴν στολὴν τὴν ἱεράν,

---

tit. Ὁ κανών nomen hymnographi Γεωργίου e θεοτ. litteris initialibus deducitur
heirm. αʹ EE 104, n. 147, Andreae   1 Ηὔγασεν νοητὸς   6 ἣν ... δοξάζωμεν

11-12 C. Tischendorf, *Evangelia Apocrypha*, Lipsiae 1876, 13: ... Ἄσω ᾠδὴν κυρίῳ τῷ θεῷ μου, ὅτι ἐπεσκέψατό με ...

Ἑρμόγενες, ἔχρωσας·
διὸ μαρτύρων χορείαις
καὶ τῶν ἱερέων, ἔνδοξε,
μετὰ συνάθλων ἠρίθμησαι.

θεοτ. Γνώσεως ἀληθοῦς
τῆς τοῦ πάντων ποιητοῦ
χάριτες ἀνέτειλαν
ἐν τῇ φαιδρᾷ σου συλλήψει,
μόνη θεοτόκε ἄχραντε,
ἐν ᾗ χορεύομεν χαίροντες.

ᾠδὴ β'. *Δῶμεν μεγαλωσύνην*

Ἡ φύσις τῶν ἀνθρώπων
ἀκαρπίας καὶ στειρώσεως
τῇ σῇ ἐλύθη, θεοκυῆτορ,
ξένῃ συλλήψει δοξάζουσα Θεόν.

Τὴν δύναμιν τῶν λόγων
καὶ ψυχῆς σου τὸ στερρότατον,
Μηνᾶ θεόφρον, τῶν πολεμίων
αἱ παρατάξεις κατέπτηξαν σφοδρῶς.

Κατέκλυσας τοῦ ψεύδους
ἐν τῇ χύσει τῇ τῶν λόγων σου
τὴν μοχθηρίαν, Μηνᾶ θεόφρον,
καὶ εὐσεβούντων ἐπίανας ψυχάς.

Καθεῖλεν Ἑρμογένης
ἀντιπάλων τὰ φρυάγματα,
τῶν ἐπηρμένων καὶ τῶν συνάθλων
εἰς οὐρανὸν ἀνεβίβασε τὸν νοῦν.

---

22 χορεῖαι 30 χορεύωμεν

heirm. β' *Δῶμεν λαοί / μεγαλωσύνην Χριστῷ τῷ Θεῷ ἡμῶν*, quem cd. ostendit, EE 99, n. 141, Joannis, expunxi, quia ad metricam tropariorum non attinet; heirm. eodem principio Δῶμεν μεγαλωσύνην bis in EE invenies, idest in EE 94 n. 133 Joanni tributum et in EE 103-104 n. 146 sub nomine Germani

31 φύσεις 39 τούς

θεοτ. Ἔλαβεν ἡ προμήτωρ
εὐλογίας τὰ ἐνέχυρα
ἐν τῇ συλλήψει τῇ σῇ, παρθένε,
καὶ ἐν χαρᾷ διανύμνησε Θεόν.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ὁ νεουργῶν Θεὸς τὰς φύσεις πάντων
τῶν γεγονότων ῥήματι
καὶ μεταπλάττων ὡς ποιητὴς
ταύτας θείᾳ δυναστείᾳ
ἐκ στείρας σοῦ τὴν κύησιν,
παρθένε, προεκήρυξεν.

Ἐν παραδείσῳ δέχεται ἡ Ἄννα
τὴν λύσιν τῆς στειρώσεως
καὶ προμηνύει τοῖς ἐπὶ γῆς
ὡς ἡ ταύτης ἀφορία
f. 20ᵛ ‖ τρυφῆς τῆς θείας πρόξενος
ὀφθήσεται τῷ γένει αὐτῆς.

Τοῖς ἡδυφθόγγοις λόγοις σου, θεόφρον,
ψυχὰς τῶν συναθλούντων σοι,
Μηνᾶ, ἐγλύκανας καὶ πικρὰς
τῶν βασάνων ἀλγηδόνας
εἰς θυμηδίαν ἔνθεον
αὐτοῖς μετεποίησας.

Τὸ ἐπὶ γῆς ἀξίωμα, θεόφρον,
ὡς ταπεινὸν ἐμίσησας
καὶ τὴν πτωχείαν τὴν τοῦ Χριστοῦ

---

50 διανύμνησαν

heirm. γ' EE 104, n. 147, Andreae 56 προεκήρυξαν 69 Τῷ

57-58 TISCHENDORF, *op. cit.*, 6: ... καὶ περὶ ὥραν ἐνάτην κατέβη εἰς τὸν παράδεισον τοῦ περιπατῆσαι ...

ἐκληρώσω, ἀθλοφόρε,
τὴν ὄντως ἀταπείνωτον
ἀεὶ διαμένουσαν.

θεοτ. Ὡς βασιλεῖα στέφανον καὶ δόξαν
ἡ ἐκκλησία σήμερον
περιθεμένη σε νοητῶς
τὴν σὴν σύλληψιν γεραίρει,
θεογεννῆτορ ἄχραντε,
καὶ ἐν αὐτῇ σεμνύνεται.

ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*
τὴν ἔλευσίν σου, Κύριε,

Ἐλύθησαν τῇ συλλήψει
τῇ σῇ δεσμὰ στειρώσεως
καὶ ἀτεκνίας,
θεοτόκε, καὶ ἐπαύθησαν
τὰ ὀνείδη,
γλῶσσαι δὲ ἐδέθησαν
ὀνειδιζόντων
καὶ ὑπερηφάνων λαῶν.

Τὰ δάκρυα τὰ τῆς Ἄννης
πηγὰς δακρύων ἔστησαν
τῶν προπατόρων
στεναγμούς τε κατεσίγησαν
τοὺς ἐκ βάθους
οἱ Ἰωακεὶμ στεναγμοὶ
καὶ τὰς ἀρχαίας
ὀδύνας κατέπαυσαν.

---

77 νοητὸς 78 γεραίρειν
heirm. δ' deest in EE; idemque in TR 66 memoratur 96 ὠδύνας

84-88 TISCHENDORF, *op. cit.*, 13: ... ἄσω ᾠδὴν κυρίῳ τῷ θεῷ μου, ὅτι ἐπεσκέψατό με καὶ ἀφείλατο ἀπ' ἐμοῦ τὸ ὄνειδος τῶν ἐχθρῶν μου ...

Τοῖς θεοπνεύστοις σου λόγοις
πλοκὰς ῥητόρων ἔπαυσας
καὶ Ἑρμογένην
τῷ Χριστῷ, Μηνᾶ, συνέδραμες
καὶ συνάθλων
πλῆθος προσενήνοχας
τὸν ποιητὴν
καὶ κτίστην δοξάζοντας.

Ὡς βέλη τῆς ἀληθείας
τοὺς λόγους ἐν καρδίᾳ τε
τῶν ἀσεβούντων,
ἀθλοφόρε, ἐγκατέπηξας
καὶ τῇ ῥώσει
τούτους ἐθεράπευσας
καὶ πρὸς ἄφθαρτον
ζωὴν μετεκάλεσας.

θεοτ. Ῥητόρων γλῶσσαι, παρθένε,
ἀμηχανοῦσι φθέγξασθαι
τὰ μεγαλεῖα,
ἃ ἐποίησέ σοι Κύριος·
καὶ γὰρ ἔστι
ξένα καὶ παράδοξα
καὶ πάντα λόγον
καὶ νοῦν ὑπερβαίνοντα.

f. 21 ‖ ᾠδὴ ε'. *Ὄρθρον φαεινὸν ἡμῖν ἐξανάτειλον*

Ἔαρ φαεινὸν ἡμῖν ἐπαιθρίασε
διὰ τῆς σῆς
παρ' ἐλπίδα, θεοτόκε, συλλήψεως,
ἐν ᾗ λαμπρυνόμεθα.

---

104 δοξάζοντα 108 ἐγκατέπιξας
heirm. ε' EE 116, n. 159, anonymi heirm. 1 Ὄρθρῳ 121 ἐπεθρίασεν
cf. PSALTES 201 124 λαμπρυνώμεθα

Πύλαι διανοίγεσθαι προμηνύονται
αἱ τῆς τρυφῆς
τοῖς ἀνθρώποις προκηρύξει τοῦ τόκου σου,
Ἄννα πανεύφημε.

Τῆς πλάνης κατέστρεψας τὰ θεμέλια
καὶ τοὺς πιστοὺς
ἐπεστήριξας ἐν πέτρᾳ τῆς πίστεως,
Μηνᾶ πανοίδιμε.

Μύστην σε καὶ μάρτυρα καὶ διάκονον
τῶν τοῦ Χριστοῦ
μυστηρίων εὐφημοῦμεν, Ἑρμόγενες,
οἱ πόθῳ τιμῶντές σε.

θεοτ. Γαλήνης ἐπλήρωσας, θεονύμφευτε,
τῆς νοητῆς
ἐν τῇ ξένῃ σου συλλήψει τὰ σύμπαντα,
ἐν ᾗ σε δοξάζομεν.

ᾠδὴ ϛʹ. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Ἔδυσαν
εἰς βυθὸν λήθης τὰ πάλαι
τοῦ νόμου αἰνίγματα
καὶ διέκυψεν ἡ χάρις
τῆς Χριστοῦ ἀληθείας τοῖς ἐν γῇ,
τῆς σῆς προμηνυθείσης
ξένης συλλήψεως, ἄχραντε.

---

140 δοξάζωμεν
heirm. ϛʹ EE 107, n. 150, Andreae   142 λίθοις   146 προμηνοιθήσεις

Ἤνθησεν
ἡ εὐχή σου φυτευθεῖσα
σὺν πόνοις καὶ δάκρυσιν,
Ἄννα, ἐν τῷ παραδείσῳ
τὸ μυρίπνοον ἄνθος τῶν βροτῶν,
τὴν μόνην εὐφροσύνην
καὶ εὐωδίαν τῆς φύσεως.

Κύματα
εὐπειθῶς δορυφοροῦντα
καὶ τῷ σῷ πειθόμενα
προστάγματι εἰς λιμένας
γαληνοὺς ἐγκαθώρμισαν, Μηνᾶ,
τὸ ἅγιόν σου σῶμα
τῆς βασιλίδος τῶν πόλεων.

Θύοντα
τὴν ἀναίμακτον θυσίαν
ἔθυσαν οἱ τύραννοι
αὐθαιρέτῳ σου τῇ γνώμῃ
ὑπὲρ Χριστοῦ τοῦ τυθέντος δι᾽ ἡμᾶς
καὶ σώσαντος τὸν κόσμον
διὰ πολλὴν ἀγαθότητα.

θεοτ. Ἴδοσαν
τῆς οἰκείας σωτηρίας
τὰ ἔθνη τεκμήρια
ἐν τῇ ξένῃ σου συλλήψει,
θεοτόκε, καὶ ᾔνεσαν Θεὸν
τὸν πάντα τῷ οἰκείῳ
καινοτομοῦντα βουλήματι.

---

159 ἐγκαθόρμησαν   160 τῷ   161 βασιλεῖδως   165 αὐθερέτο

148-151 TISCHENDORF, *op. cit.*, 6: ... καὶ περὶ ὥραν ἐνάτην κατέβη εἰς τὸν παράδεισον ... καὶ ἐλιτάνευσε τὸν δεσπότην λέγουσα...

155-161 PG 116, 413: Δυνάμει γάρ τινι θειοτέρᾳ τάχιστα τοῦ βυθοῦ ἀναδῦσα, καὶ τὸ κῦμα διαδραμοῦσα τὸ θαλάττιον, ἀνάρρουν ἔπλει... πρὸς τὸ Βυζάντιον...

ᾠδὴ ζ′. *Πῦρ φλογίζον κάμινον*

f. 21ᵛ || Αἱ πλάκες λαξεύονται
τῆς νέας χάριτος,
ἐν αἷς ὑπὲρ ἔννοιαν
τοῦ ὑψίστου ὁ λόγος
ἄνευ χειρὸς ἀνθρώπων
καὶ βουλῆς γραφήσεται
ὡς οἶδε μόνος αὐτός.

Δικαίων ἡ δέησις
καρπὸν ηὐφόρησεν
ἀφθονίαν χάριτος
προμηνύοντα ἡμῖν
τοῖς ἐκβοῶσι τῷ κτίστῃ·
« σὺ εἶ ὁ Θεὸς ἡμῶν,
ὁ ποιητὴς τοῦ παντός ».

Πῦρ θεῖον ἡ γλῶσσά σου
ἔχων, ἀοίδιμε,
ἔφλεξας τὰ δόγματα
τῶν Ἑλλήνων κραυγάζων·
« εὐλογητὸς εἶ ὁ αὐ⟨—
— ˊ — — ˊ — —
— — — ˊ — — ˊ⟩ ».

Μαρτύρων ἀρχηγέτης
καὶ κορυφαῖος, σοφέ,
ὑπάρχων, Ἑρμόγενες,
σὺν Εὐγράφῳ καὶ αὐτὸς
τὸν εὐεργέτην δυσώπει
ὑπὲρ τῶν ἐν πίστει
εὐφημούντων ὑμᾶς.

---

heirm. ζ′ deest in EE; cfr. autem illum, qui in EE 105, n. 147, Andreae, inc. *Πῦρ φλέγον ἐν καμίνῳ ἐξετινάσσετο* cf. infra p. 759   176 λαξεύωνται 181 γραφίεται   190 θείων ἡ γλῶσσά σου: malim τῇ γλώσσῃ σου   194 εὐ(λογητὸς) εἶ ὁ αὐ . . . oratio detruncata   203 ἡμᾶς

θεοτ. Ὁ πάντα ἐν σοφίᾳ
δημιουργήσας Θεὸς
ξένῃ σε ἐδόξασε,
θεοτόκε, συλλήψει,
ἐν ᾗ λαμπρύνεις τοὺς πόθῳ
σέ, θεοχυῆτορ,
δοξάζοντας.

ᾠδὴ η′. *Τὸν ἐκτείναντα Θεὸν
τὸν οὐρανὸν ὡσεὶ δέρριν
καὶ θεμελιοῦντα τὴν γῆν
ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς,
ἱερεῖς καὶ δοῦλοι,
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.*

Ὁ δοτὴρ τῶν ἀγαθῶν
ἐκ στειρευούσης νηδύος
σὲ παραγαγὼν ὡς Θεὸς
ἀπαρχὴν παρέσχετο, ἁγνή,
δωρεῶν ἀφθόνων
τοῖς πίστει κραυγάζουσι, θεοτόκε·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

Ὁ ἐκ στείρας εὐκλεὴς
βλαστὸς ἀνθήσας ἐπὶ γῆς
τοὺς τῆς εὐσεβείας καρποὺς
ἐν αὐτῇ πληθύνεσθαι δηλοῖ
καὶ πληροῦσθαι πάντας

---

208 ἧ
heirm. η′ EE 105, n. 148, Andreae   heirm. 6 ὑμνεῖτε] εὐλογεῖτε EE 8 εἰς πάντας] αὐτὸν εἰς EE

204-205 Ps. 103,24

εὐφροσύνης κρείττονος τοὺς ἐκβοῶντας·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

Τοῖς ἡδίστοις κελαδῶν
λόγοις τὴν πίστιν τοῦ Χριστοῦ
ἤθροισας λαοὺς ἐν αὐτῇ,
οὓς καὶ ἐξεπαίδευσας, Μηνᾶ,
ἐκβοᾶν τῷ κτίστῃ·
« τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἡ ἀθρόα σου, σοφέ,
μεταβολὴ πρὸς τὸν κτίστην
f. 22 δόξης ‖ καὶ τιμῆς θεϊκῆς
γέγονεν αἰτία σοι, σοφέ·
ἱερεὺς καὶ φίλος
τοῦ Χριστοῦ, Ἑρμόγενες, ἀνεδείχθης
καὶ ὁπλίτης στερρὸς
καὶ ἀήττητος μάρτυς.

θεοτ. Ὑπερλάμπουσα φαιδρῶς
ταῖς τῶν χαρίτων ἀκτῖσιν
ἡ σή, θεοτόκε, λαμπρὰ
σύλληψις φωτίζει νοητῶς
τοῖς Χριστῷ ἐν αὐτῇ
βοῶσι· « τὸν Κύριον εὐλογεῖτε
πάντα τὰ ἔργα, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε ».

---

224 ἐκβοῶτας 226 post π(άντας) orat. detruncatur 233 post καὶ orat. abrumpit cd. 238 σου 246 νοητὸς

227-229 PG 116, 397: ... καὶ πάσης τῆς πόλεως εἰς ἓν φρόνημα συνελθούσης, μία πάντες ἐγένοντο ποίμνη Χριστοῦ... Cod. Atheniensis gr. 2108, f. 104: ... Μηνᾶν τὸν λεγόμενον καλλικέλαδον ῥήτορα ὄντα... ἀθροισθείσης πάσης τῆς πόλεως καὶ τῶν λοιπῶν χωρῶν·

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*
μεγαλεῖα ὁ δυνατός

Ὅλα τὰ σά, παρθένε,
ἐμεγάλυνεν ὁ Χριστός,
τὴν σύλληψιν, τὸν τόκον τὸν σεπτὸν
καὶ τὴν ἔνδον τοῦ ναοῦ
μεθηλικίωσιν, ἐν ᾧ
ὑπερτετίμησαι.

Δόξης στέφανον, Ἄννα,
σὺν Ἰωακεὶμ τῷ σοφῷ
ἐδέξω ἐκ χειρὸς τοῦ ποιητοῦ,
δεξαμένη παρ' αὐτοῦ
τὰ εὐαγγέλια τοῦ τόκου
τῆς θεόπαιδος.

Σφενδόνι τῇ τριπλόκῳ
τῆς Τριάδος, μάρτυς Μηνᾶ,
τῇ κλήσει Γολιὰθ τὸν νοητὸν
καθελὼν τὴν κατ' αὐτοῦ
νίκην ἐδέξω ἐκ χειρὸς
τοῦ δυναμοῦντος Θεοῦ.

Πρὸς Θεὸν παρρησίαν
κεκτημένος, μάρτυς Μηνᾶ,
σὺν Ἑρμογένει αἴτησαι αὐτὸν
καὶ Εὐγράφῳ τῷ σοφῷ
ὑπὲρ ἡμῶν τῶν εὐσεβῶς
ἀνευφημούντων ὑμᾶς.

θεοτ. Χαρίτων ἀενάους
ὡς ἐκβλύζουσα ποταμοὺς
ἐν τῇ σεπτῇ συλλήψει σου, ἁγνή,
καταρδεύσαις καὶ ἡμᾶς
θαυμάτων νάμασιν ἀεὶ
σὲ μεγαλύνοντας.

---

heirm. θ' EE 106, n. 149, Andreae 266 τὴ κ'αὐτοῦ 271 Ἑρμογένη αἴτισαι 274 ἀνεύφημοῦν 278 καταρδεύσαι

263-268 Cfr. I Regn. 17,1-54

10 DEC. *CANON* XVIII

IN SANCTOS MENAM, HERMOGENEM ET EUGRAPHUM MARTYRES

Crypt. Δ.α. XXIV	= Cy,	ff. 31^{v}-33^{v}
Vat. gr. 2309	= Vk,	ff. 85^{v}-87^{v}
Mess. gr. 135	= N,	ff. 234(238)-237^{v}(241^{v})
Paris. Suppl. gr. 33	= S,	f. 107^{v}
Paris. gr. 1623	= Pi,	ff. 19^{v}-23
Patm. 197	= Πc,	ff. 40-43
Sinait. gr. 583	= Σω,	ff. 60^{v}-62

῾Ο κανών.

῏Ηχος πλ. β'.

ᾠδὴ α'. *῾Ως ἐν ἠπείρῳ πεζεύσας*

Νενικηκότες ἐν κόσμῳ,
οἱ ἀθληταί,
τὸν τοῦ κόσμου ἄρχοντα,
ἐν ὑψίστοις δὲ Χριστὸν
βασιλέα βλέποντες, αὐτὸν
τοῖς γεραίρουσιν ὑμᾶς
ἐξιλεώσασθε.

Πρὸς τὸ ἀμήχανον κάλλος
τοῖς νοεροῖς
ἐκδημοῦντες ὄμμασι
τὰ ἐπίκηρα τερπνὰ

---

tit. ῾Ο κανὼν Cy Vk N S Pi Πc   canon autem quem Pi profert, communis est parentibus Deiparae, Onesiphoro et tribus supra martyribus, quibus nonnulla troparia dicat   ῾Ο κανὼν ᾿Αναστ(ασίου) κοιαίστ(ορος) Σω
heirm. α' EE 159, n. 224, Joannis   2 οἱ] ὦ Σω   4 Χριστῷ Cy   6 ἡμᾶς S Πc   7 ἐξιλεώσασθαι Cy S

ὡς οὐδὲν παρίδετε, αὐτὴν
τὴν ζωὴν καὶ τὴν τρυφὴν
οὐκ ἀγαπήσαντες.

Τῶν βασιλέων τὸ νῖκος,
ἐκκλησιῶν
ἀκλινὴς θεμέλιος,
ἀσθενούντων ἰατρός,
τῶν πλεόντων εὔδιος λιμήν,
καλλικέλαδε Μηνᾶ,
μνήσθητι πάντων ἡμῶν.

θεοτ. Θεοχυῆτορ Μαρία,
τῶν γηγενῶν
ἀσφαλὴς ὑπέρμαχε,
μὴ παρίδῃς δυσωπεῖν
σὺν αὐτοῖς τοῖς μάρτυσι Χριστὸν
τοῦ ῥυσθῆναι τῶν δεινῶν
λαὸν καὶ πόλιν σου.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σὺ*

Τῆς ῥητορείας τὰ κομψά,
τὰ ψευδῆ ἐκ τῶν λόγων,
τὰ σαθρὰ ἐκ τῶν ἔργων

---

12 παρίδεται N S   αὐτῇ N   αὐτὸν S   αὐτῶν Πc   15-21 trop. om. N Pi Πc Σω   17 ἀκληνῆς Vk   ἀκλεινῆς S   θεμέλιοι Vk   18 ἀστενοῦντων Vk   22-28 aliud θεοτ. tradunt N Σω, quod inc. Φαεινοτάταις ἀκτῖσι..., MR II, 356; Pi, autem, θεοτ. quod inc. Σεσαρκωμένον τὸν Λόγον... profert; cfr. supra canon. XVI, vv. 22-28; Πc, postremo, hoc θεοτ. exhibet, quod inc. Τὸν ἑαυτῆς δεξαμένη ..., MR IV, 257   24 ὑπέρμαχος Vk   26 αὐτοῖς τοῖς] τοῖς θείοις Vk S
heirm. γ' EE 159, n. 224, Joannis   heirm. 1 σοὶ S

15-20 Cod. Atheniensis 2108 (= Gr), ff. 104-105: ... καὶ ἰώμενος τῶν νοσούντων πᾶσαν ἀσθένειαν... Μηνᾶν τὸν λεγόμενον καλλικέλαδον ῥήτορα ὄντα... τοῖς ὁδοιποροῦσι ῥάβδος εὐθύτητος, τοῖς πλέουσι λιμὴν εὔδιος, τοῖς πᾶσι ἐν παντὶ κινδύνῳ φάρμακον σωτηρίας

ὁ Μηνᾶς ἀπολιπὼν
f. 32 ἐ||φίλει τοὺς ἁλιεῖς
τοὺς λαλοῦντας
ἄπλαστον ἀλήθειαν.

Τὴν ἐνυπόστατον Χριστοῦ
ἐν ὑψίστοις σοφίαν
ἐν ἀνθρώποις ὀφθεῖσαν
ὁ Μηνᾶς θεολογῶν
καὶ φέρων τοὺς αἰκισμοὺς
Ἑρμογένους
γίνεται διδάσκαλος.

Ἐπὶ σοί, μάρτυς, τὴν ἐμὴν
ἀνεθέμην ἐλπίδα
καὶ πρὸς σὲ καταφεύγω,
τὸν προστάτην τὸν καλόν,
ἀπὸ παντοίων κακῶν
λύτρωσαί με,
Μηνᾶ καλλικέλαδε.

θεοτ. Πρεσβείαν ποιοῦ πρὸς τὸν ἐκ σοῦ,
παναγία παρθένε,
σαρκωθέντα ἀφράστως
σωτῆρα καὶ λυτρωτὴν
ῥυσθῆναι πάσης ὀργῆς
καὶ ἀνάγκης
τοὺς ἐν σοὶ προστρέχοντας.

---

36 Χριστὸν Pi   43-49 trop. om. Vk N Pi Πc   43 σὺ S   46 τῶν καλῶν S   50 ποιοῦ scripsi: ποίου, et postea rasuram trium vel quattuor litterarum praebet Cy   ποιοῦν Vk ποιοῦμεν S   τὸν] τῶν Vk   post v. 50 folium cecidit in S, quare cetera pars canon. deest   50-56 aliud θεοτ. praebent N Pi Σω, quod inc. Ἰδού σε πᾶσαι γενεαὶ . . .; cfr. supra canon. XVI, vv. 50-56; Πc, autem, hoc θεοτ. offert, quod inc. Τοῦ θείου τόκου σου, ἁγνή . . ., MR III, 657   Post oden γ' κάθ. praebet, Pi, quod inc. Παρωσάμενοι δόξαν τὴν κοσμικήν. . ., MR II, 444; idem post oden ς' offert N et in capite acoluthiae Πc Σω; Vk, autem, κάθ. profert « Μηνᾶς ὁ θαυμαστός », MR II, 444, nonnullis verbis discrepans

---

49 Cfr. sup. v. 20.

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Φθονοῦντας δαίμονας,
φονῶντας ἄρχοντας
κατὰ κράτος ἐνίκα
τὰ πρὸς αὐτοὺς
ἀνταγωνιζόμενα,
ἡ μεγαλόφρων σου ψυχὴ
καὶ τὸ σῶμα τὸ φερέπονον.

Χεῖρας καὶ πόδας σου,
Μηνᾶ, καὶ ὄμματα
καὶ τὴν γλῶτταν προσφέρων
ὑπὲρ ἡμῶν
λάλησον καὶ πρέσβευσον·
τῶν γὰρ μελῶν σου ταῖς τομαῖς
ὁ Θεὸς δυσωπηθήσεται.

Τριὰς μαρτύρων σε,
Χριστέ, ποθήσασα,
διὰ σὲ ταῖς βασάνοις
τὰ ἑαυτῶν
σώματα παρέδωκαν
Μηνᾶς τε καὶ Ἑρμογένης
καὶ Εὔγραφος οἱ θεόφρονες.

θεοτ. Ἡ μόνη γέφυρα
τῆς σωτηρίας ἡμῶν,
μὴ ἐλλίπῃς πρεσβεύειν
τὸν σὸν υἱὸν
σὺν τοῖς θείοις μάρτυσιν
ἐκ νοσημάτων χαλεπῶν
τοὺς οἰκέτας σου λυτρώσασθαι.

---

heirm. δ' EE 159, n. 224, Joannis   58 φονῶντας] φονῶν τοὺς Cy φονῶν τὰς Vk   φθονοῦντας N Πc   63 φερόπονον Cy   64 Χερσὶ Cy Vk S Pi Πc Σω   καὶ] τοὺς Cy Vk S Pi Σω   66 γλῶσσαν N Πc   προφέρων N   69 τὰς τομὰς N Pi Σω   71-77 trop. om. Vk N Pi Πc Σω   78-84 θεοτ. om. Πc; cdd. autem N Pi Σω θεοτ. « Μαρία πάναγνε »; cfr. canon. XVI, vv. 78-84   80 ἐλλείπῃς Cy

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Τῷ πλαστουργῷ οἷον ἀπαρχὰς
τὰς ἀποτμηθείσας σου χεῖρας
μετὰ τῆς γλώττης προσήνεγκας·
πρᾶξιν γὰρ καὶ λόγον,
μάρτυς Ἑρμόγενες,
πρὸς δόξαν τοῦ Κυρίου
ζῶν συνετέλεσας.

Τὸ θηριῶδες τῶν διωκτῶν
τῇ ἀθλητικῇ καρτερίᾳ
f. 32v ‖ θλασθὲν διέθραυστο σήμερον·
ἡ γὰρ τῶν μαρτύρων
ὑπομονὴ καρτερὰ
κατέπληττεν εὐτόνως
τοὺς βασανίζοντας.

Τὸ τρισαυγές τε καὶ φαεινὸν
τῶν σοφῶν μαρτύρων τοῦ Χριστοῦ
ἐν ὑμνῳδίαις τιμήσωμεν·
Εὔγραφον ἀξίως
καὶ Ἑρμογένην πιστῶς
σὺν τούτοις καὶ Μηνᾶν δὲ
τὸν καλλικέλαδον.

θεοτ. Τοὺς καταφεύγοντας ἐπὶ σοὶ
πίστει, θεοτόκε παρθένε,

---

heirm. ε' EE 159, n. 224, Joannis 87 τῆς γλώττης] δόξης Cy 88 πράξεσιν Vk λόγων Vk 91 συνετέλεσας] συνεπέρανας N Πc 94 διαθραυσθὲν ἐξηπόρηται Πc διέθραυστο] διέθλαστο Cy διέθραστος Vk 96 κραταιὰ Pi 99-105 trop. om. Vk N Pi Πc Σω 106-112 θεοτ. offerunt N Pi Σω « Ὑποφωνοῦσι προφητικαί »; cfr. canon. XVI, vv. 103-108; Πc, autem, θεοτ. profert « Τοὺς θεοτόκον σε ἐκ ψυχῆς », MR II, 492

---

105 Cfr. sup. v. 20.

καὶ ἐξαιτοῦντας τὴν λύτρωσιν
φρούρησον ἐκ πάσης
ἐχθροῦ κακώσεως·
ἐν σοὶ γὰρ τὰς ἐλπίδας
πάντες ἐθέμεθα.

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

Τῷ κτίστῃ κενώσαντες
τὴν ὁρμὴν καὶ τὴν ζωὴν
καὶ τῆς σαρκὸς τὰ αἵματα
καὶ λαβόντες ἀντίδωρον παρ' αὐτοῦ
τὴν κτίσιν δουλεύουσαν,
εἰς τὴν γῆν ἐκ θαλάττης
ἀπεδίδοσθε.

Τὸ κῆτος διέσωζεν
ἐν γαστρὶ τὸν Ἰωνᾶν
τῷ τοῦ Θεοῦ προστάγματι,
τὰ καλλίνικα σώματα δὲ βυθὸς
φυλάξας ἀλώβητα
δι' ἀγγέλων τοῖς ἔξω
ἐξηρεύξατο.

---

108 ἐξαιτοῦντας scripsi: ἐξαιτοῦσιν cdd.
heirm. ς' EE 159, n. 224, Joannis 117 δολεύουσαν Cy 119 ἀποδίδοσθε Vk Πc -σθαι Cy 121 τῶν Vk τῆς Vk

---

123-126 PG 116, 413: Δυνάμει γάρ τινι θειοτέρᾳ τάχιστα τοῦ βυθοῦ ἀναδῦσα, καὶ τὸ κῦμα διαδραμοῦσα τὸ θαλάττιον, ἀνάῤῥουν ἔπλει ... πρὸς τὸ Βυζάντιον....

120-122 Ion. 2,1-11

Τὰς χεῖρας τεμνόμενος
Ἑρμογένης ὁ σοφὸς
καὶ πόδας ἐκκοπτόμενος,
τὸ περίλοιπον σῶμα εἰς ποταμὸν
ἐκρίψας ὁ τύραννος,
ἐπιστὰς ὁ δεσπότης
ἀνεκτήσατο.

θεοτ. Ἐν σοὶ τὸ κεφάλαιον
σωτηρίας τῶν βροτῶν
ἐπράχθη, ἀειπάρθενε·
διό σε ὡς μητέρα τοῦ λυτρωτοῦ
πιστῶς ἐξαιτούμεθα
τοῦ πρεσβεύειν ἀπαύστως
τοῦ σωθῆναι ἡμᾶς.

ᾠδὴ ζ΄. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ἐν φωνῇ ἀγαλλιάσεως χορεύοντες
ἔνθα εὐφραινομένων ψυχῶν
ἡ κατοικία
καὶ ὁ ἦχος ὁ τῆς ἑορτῆς
ὁρᾶν καὶ Θεὸν δοξολογεῖν
μετὰ τῶν ἄνω στρατιῶν
κατηξιώθητε.

127-133 trop. om. N Pi Πc Σω 127, 129, 131 τεμνόμενος, ἐκκοπτόμενος, ἐκρίψας: nominativos absolutos animadverte 134-140 θεοτ. exhibent N Pi Σω « Σαρκὸς πηλικότητι »; cfr. supra canon. XVI, vv. 127-132; Πc, autem, θεοτ. offert « Ἡ πάναγνος δέσποινα », MR II, 500

heirm. ζ΄ EE 159, n. 224, Joannis 141 χορεύον Vk 146 ἄνω om. Pi

---

127-129 PG 116, 405: ... ἐκέλευσεν αὐτίκα τὰς χεῖρας τοῦ ἁγίου καὶ τοὺς πόδας, τὰς μὲν ἐκ τῶν ὤμων, τοὺς δὲ τῶν γονάτων ξίφει ἀποτεμόντας ...

127-129 Gr, f. 104v: ... καὶ τὰς χεῖρας αὐτοῦ ἀπὸ τῆς ἄνω ζεύξεως κοπῆναι· καὶ τοὺς πόδας ἀπὸ τῶν γονάτων...

130-131 PG 116, 405: ... κατὰ τοῦ τὴν πόλιν παραῤῥέοντος ποταμοῦ.

130-131 Gr, f. 104v: ... τὸ δὲ ὑπόλοιπον σῶμα εἰς τὸν ποταμὸν ῥιφῆναι·

Βαπτομένην σου τὴν μάχαιραν τοῖς αἵμασιν,
f. 33 Εὔγρα‖φε, κατασχών, ἀριστεῦ,
ἐζωγράφησας
σεαυτὸν τῇ βίβλῳ τῆς ζωῆς
ἀήττητον μάρτυρα Χριστοῦ,
τὸν παλαμναῖον δι' αὐτῆς
προαποσφάξας ἐχθρόν.

Ἐξαιτήσω τοῦ τεθῆναί σου τὸ λείψανον,
μάρτυς, εἰς τὸ Βυζάντιον,
ὁ δὲ τύραννος,
μὴ πληρώσας αἴτησιν τὴν σήν,
βυθῷ τῆς θαλάσσης ἐμβαλὼν
ἐν γλωσσοκόμῳ σιδηρῷ
σὲ ἀπερρίψατο.

θεοτ. Μὴ παρίδῃς τοὺς προστρέχοντας τῇ σκέπῃ σου,
μόνη θεομακάριστε,
ἀλλ' ἐξάρπασον
ἐκ παντοίων νόσων καὶ φθορᾶς
τοὺς πίστει βοῶντάς σοι, ἁγνή·
« εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα ».

---

148 τοῖς αἵμασιν] τοῦ πνεύματος Cy 149 κατασχὼν] κατισχῶν Vk τοῦ Χριστοῦ Πc ἀριστεῦ] ἀθλητὰ sed exstinctum ostendit Πc et pro hoc in marg. ἀριστεῦ 151 ἑαυτὸν N Πc τῇ βίβλῳ] τὴν βίβλον Vk τὴν ὥραν Πc 154 προσαποσφάξας Cy Vk ἐναποσφάξας Πc ἐχθρῷ Cy 155-161 trop. om. N Pi Πc Σω 155 Ἐξαιτήσω cdd. PSALTES 201 159 ἐμβλὼν Cy 162-168 θεοτ. praebent N Pi Σω « Λόγος ὁ πάλαι τὸ εἶναι παρασχόμενος »; cfr. supra canon. XVI, vv. 154-160; Πc θεοτ. profert « Ὑπερτέρα πάσης κτίσεως », PaR 528 166 σοι βοῶντάς σοι Vk

---

148-152 PG 116, 412: Τούτων ἀκούσας ὁ βασιλεύς... μαργώσῃ χειρὶ τῶν ἐγγυτάτω τινὸς σπασάμενος μάχαιραν, πολλὰς ὁμοῦ καὶ καιρίας κατήνεγκε τοῦ Εὐγράφου... τὸν ἀριστέα καὶ μάρτυρα...

155-161 PG 116, 413: ... ὁ μέγας Μηνᾶς τόν τε βασιλέα ᾐτήσατο ζῶν ἔτι παρὰ τῷ Βυζαντίῳ τὸ αὐτοῦ σῶμα κατατεθῆναι ... Μαξιμῖνος ... προσέταξε θήκην κατασκευάσαντας σιδηρᾶν... τῷ τῆς θαλάσσης παραπέμψαι βυθῷ...

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ὁ Μηνᾶς ὁ πρωτεύων
ἀνδραγαθήμασιν,
Ἑρμογένης ὁ τοῦτον
ἐκμιμησάμενος,
Εὔγραφος αὐτῶν
ὁ ζηλώσας τὸν θάνατον,
ἡ τῶν ἀθλοφόρων τριὰς
ἀνευφημείσθω.

Τὴν προαίρεσιν μίαν
καὶ ἀδιάφθορον
διαφόροις βασάνοις
ἐδοκιμάσθητε
ἄχρι τελευτῆς
τὸν Χριστὸν ἀγαπήσαντες,
ὃς ἀντιμετρήσει
ὡς οἶδε τοὺς στεφάνους.

Ὁλοκλήρως ἰάσω
κωφὸν καὶ ἄλαλον,
δαιμονιῶντα πάλιν
ἐν τῷ σεπτῷ σου ναῷ,
μάρτυς τοῦ Χριστοῦ·
διὸ καθικετεύω σε
λῦσον τῆς ψυχῆς μου
τὰ πάθη ταῖς εὐχαῖς σου.

---

heirm. η' EE 159, n. 224, Joannis 172 ἐκμισάμενος Pi 178 ἀδιάφορον Cy οὐ διάφορον Πc 179 διαφόροις in marg. ostendit N 180 ἐδοκιμάσθητε Pi: ἐδοκιμάσατε cett. cdd. 182 ἀγαπήσαντες] -σασαι Vk μαρτυρήσαντες Pi 183 ὡς ἀντιμετρίσαντες Vk ἀντιμετρήσεις Πc 185-192 trop. om. N Pi Πc Σω 188 ναῷ] νῦν Cy

---

185-188 PG 116, 372: ... τὸν Χριστὸν ἐπεβοᾶτο, καὶ τῷ τοῦ σταυροῦ σημείῳ αὐτοὺς ἐπεσφράγιζεν· οἱ δὲ αὐτίκα, χωλοί τε ὄντες, ἐν ὀφθαλμοῖς πάντων ἥλλοντο, κωφοὶ δὲ ἢ τυφλοί, ἀνέβλεπόν τε παραχρῆμα καὶ ἤκουον, ἄλαλοί τε ἐλάλουν, καὶ δαιμονῶντες ἐθεραπεύοντο.

θεοτ. Παναγία παρθένε,
μὴ ὑπερίδῃς με·
τῶν πολλῶν μου πταισμάτων
λῦσον ἐγκλήματα·
λάμψον ἐν ἐμοὶ
τὸ φῶς τῆς σῆς ἐλλάμψεως,
ἵνα σε δοξάζω
τὴν μόνην προστασίαν.

ᾠδὴ θ'. *Θεὸν*
ἀνθρώποις ἰδεῖν ἀδύνατον

Σοφοὶ
τοῦ ὄντος οἱ ἐπιστήμονες
— σώφρονες γὰρ —
τὸ μόνον ὀρεκτὸν οἱ ποθήσαντες
ἀνδρείως νικήσαντες δυνάμεις φρικτάς,
οἱ τὸν Θεὸν καὶ πλάστην
μὴ ἀρνησάμενοι,
δίκαιοι ἐκ πάσης ἀρετῆς
ἐστεφανώθησαν.

Μισθὸν
τοῦ αἵματος ὑπεράξιον

193-200 aliud θεοτ. proferunt N Pi Σω « Ζωοδότην τεκοῦσα »; cfr. supra canon. XVI, vv. 185-192; Πc, autem, θεοτ. porrigit, quod ineditum videtur:

Ἐκ φωτὸς φωτοδότην
Λόγον συνέλαβες,
τὸν φωτίσαντα κόσμον
αὐγαῖς θεότητος,
πλάνης δὲ ἀχλὺν
παντελῶς ἐκμειώσαντα,
πύλη φωτοφόρε,
ἁγνή, εὐλογημένη.

198 ἐλλάμψεως] λαμπρότητος Vk

heirm. θ' EE 159, n. 224, Joannis 202 ὄντως Cy N Pi 203 γὰρ] δὲ N Pi 205 ἀνδρείως Vk: ἀνδρείαις Cy ἀνδρεῖοι cett. cdd. 209 ἐστεφανώθητε Pi

τὴν οὐρανῶν
μεγάλην βασιλείαν εὑράμενοι
Χριστὸν ἱκετεύσατε ὑπὲρ τῶν ἐν γῇ,
θραύσατε τοὺς πολέμους,
μίαν στηρίξατε
f. 33v ἔννομον ἀρ||χὴν τὴν εὐσεβῶς
ἡγεμονεύουσαν.

Ἰσχὺν
καὶ νίκας, Χριστέ, χορήγησον
τοὺς βασιλεῖς
καὶ πᾶσιν ὁδοιπόροις συνόδευσον,
τοῖς πλέουσι σύμπλευσον, σωτὴρ ἀγαθέ,
ῥῶσιν τοῖς ἀσθενοῦσι
πᾶσι χορήγησον
ταῖς τῶν ἀθλοφόρων σου, Χριστέ,
θείαις ἐντεύξεσιν.

θεοτ. Ἐκ σοῦ
προῆλθεν ὁ πάντων Κύριος
σωματωθεὶς
τοῦ σῶσαι ἐκ φθορᾶς τὸ ἀνθρώπινον·
διό σε ἀνέδειξεν ἐλπίδα ἡμῶν,
σκέπην καὶ προστασίαν
τῶν ἀνυμνούντων σε·
ὅθεν σοι τὸ « χαῖρε » εὐσεβῶς
πάντες κραυγάζομεν.

---

215 πολεμίους Pi 217-218 ἔννομον ἀρχὴν διὰ παντὸς τὴν βασιλεύουσαν Πc 218 ἡγεμονεύουσα Cy 219-227 trop. om. N Pi Πc Σω 221 debet τοῖς βασιλεῦσι 223 σύνπλευσον Vk 228-236 aliud θεοτ. proferunt N Pi Σω « Ὡς σὺ οὐδέπω, θεοχαρίτωτε »; cfr. supra canon. XVI, vv. 225-232; Πc θεοτ. exhibet « Σκηνὴν ἁγίαν, ἁγνή, γινώσκομεν », PaR 530 231 τὸ scripsi: τὸν cdd. 232 ὑμῶν Vk

IN SANCTUM SPYRIDONEM

Synaxarium, 303: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Σπυρίδωνος ἐπισκόπου Τριμιθοῦντος τῆς Κύπρου. Οὗτος γέγονεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, τὸν τρόπον ἁπλοῦς, τὴν καρδίαν ταπεινός· ἐποίμαινε δὲ πρόβατα· καὶ γυναῖκα λαβὼν καὶ θυγατέρα γεννήσας, ἐπεὶ ἐκείνη ἀπέθανεν, ἐγένετο ἐπίσκοπος· γέγονε δὲ καὶ θαυματουργός. Καὶ γὰρ ἐν ἀβροχίᾳ προσηύξατο καὶ ἔβρεξεν, καὶ ἀπὸ λιμοῦ εὐθηνίαν ἐποίησεν, καὶ ὄφιν μετέβαλεν εἰς χρυσοῦν καὶ πάλιν τὸν χρυσὸν μετὰ τὸ δοθῆναι ἐνέχυρον καὶ δανείσασθαι τὸν πτωχὸν καὶ ζῆσαι, μετεποίησεν εἰς ὄφιν καὶ ἀπέλυσεν· καὶ ποταμὸν τρέχοντα ἔστησεν. Ἦλθε δὲ καὶ εἰς τὴν ἐν Νικαίᾳ σύνοδον καὶ κατῄσχυνε τοὺς αἱρετικούς. Γυνὴ δέ τις ἔδωκε τῇ θυγατρὶ αὐτοῦ παρακαταθήκην· εἶτα ἀπέθανεν ἡ θυγάτηρ αὐτοῦ. Καὶ μὴ εὑρισκομένης τῆς παρακαταθήκης, ἠρώτησεν ὁ γέρων τὴν νεκράν· καὶ ἀποκριθεῖσα εἶπεν· « Ἐν τῷδε τῷ τόπῳ. » Καὶ ἕτερα πολλὰ ποιήσας ἐν εἰρήνῃ ἐτελειώθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου ἀποστόλου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Mess. gr. 135 = N, ff. 238(242)-241(245)

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Τῷ βοηθήσαντι Θεῷ*
ἐν Αἰγύπτῳ τῷ Μωσῇ
καὶ δι' αὐτοῦ τὸν Φαραὼ
πανστρατὶ βυθίσαντι
αὐτῷ μόνῳ ᾄσωμεν,
ὅτι δεδόξασται.

* Πάντας προτρέπεται Χριστὸς
πρὸς πανήγυριν φαιδρὰν
τῆς θεοφόρου τελετῆς

---

heirm. α' EE 16, n. 22, Joannis 5 αὐτῷ μόνῳ] ἐπινίκιον ᾠδὴν EE Menda cd. N tribuantur 1-6 trop. NS 26 (1931), 730

τοῦ ποιμένος τοῦ καλοῦ
καὶ μυστικὴν πανδαισίαν
προτίθησι τὴν πολιτείαν αὐτοῦ.

Τὸν ἁγιάσαντα Θεὸν
ἐκ κοιλίας τῆς μητρὸς
τὸν ἱεράρχην τὸν αὐτοῦ
καὶ ποιμένα τὸν καλὸν
f. 239 (243) καὶ μεγα||λύναντα αὐτοῦ
τὴν μνήμην ᾄσωμεν αὐτῷ ᾆσμα καινόν.

θεοτ. * Δεδοξασμένα περὶ σοῦ
ἐλαλήθη πανταχοῦ,
ὅτι ἐκύησας σαρκὶ
τὸν τῶν ὅλων ποιητήν,
θεοτόκε Μαρία,
πανύμνητε καὶ ἀπειρόγαμε.

ᾠδὴ γ'. *Στερέωμά μου γενοῦ*

Ἀνέδειξέ σε Χριστὸς
ἐκ ποίμνης προβάτων
καὶ τῆς ἐκκλησίας
κατέστησεν ἄξιον
ποιμένα καὶ διδάσκαλον.

13-18 θεοτ. TR 538; AHG I, 325
heirm. γ' EE 17, n. 22, Joannis; ceteros heirm., praeter η', integros servat cd.

---

10 PG 116, 417: ... ποιμὴν καὶ αὐτὸς προβάτων ἐδείκνυτο ...
19-23 PG 116, 420: ... ποιμὴν ἐκ ποιμένος καθίσταται, ἀνθρώπους ἀντὶ προβάτων διέπειν ἐγχειρισθεὶς ...

4,10 Joh. 10,11
13-14 Ps. 86,3

Τὸ δόγμα τὸ εὐσεβὲς
ἁπλότητι λόγων
ἐκήρυξας, πάτερ,
καὶ Ἄρειον κατήσχυνας
καὶ πάσας τὰς αἱρέσεις, σοφέ.

θεοτ. * Παρθένε, χαῖρε, σεμνή,
ἡ ἀνερμηνεύτως
τεκοῦσα τὸν Λόγον·
Χριστὸν τὸν Θεὸν ἡμῶν
ἱκέτευε σωθῆναι ἡμᾶς.

ᾠδὴ δ'. *Κατενόησα, παντοδύναμε,*

Τὸν Ἠλίαν ἐκμιμούμενος
ὑετοὺς οὐρανόθεν
ἐν γῇ διψώσῃ,
πάτερ, κατήγαγες.

Ὡς ἀσώματος, πάτερ ὅσιε,
μετὰ σώματος ζήσας,
τοῖς ἀσωμάτοις
συνηριθμήθης χοροῖς.

29-33 θεοτ. AHG I, 325-326; V, 33   33 τὸν μόνον πολυέλεον AHG; idem versus in marg. cd. scriptus est
heirm. δ' EE 17, n. 22, Joannis   36 διψώσει   41 χωροῖς

24-28 PG 116, 429-432: ... τότε δὴ καὶ ἡ ἐν Νικαίᾳ περιώνυμος τῶν ἁγίων Πατέρων ἠθροίζετο σύνοδος, ἐφ' ᾧ καθελεῖν μὲν τὸν Ἄρειον, κτίσμα τὸν Υἱὸν δυσσεβῶς ὀνομάζοντα, δογματίσαι δὲ τῷ Πατρὶ τὸν Υἱὸν ὁμοούσιον·
34-37 PG 116, 420-421: Ἐκόλαζε τὴν νῆσον ὁ Θεὸς ἀνομβρίᾳ... Ἐδεῖτο δὲ τὸ δεινὸν Ἠλιοῦ πάντως ἢ ἑτέρου τῶν κατ' ἐκεῖνον, εὐχῇ τὸν οὐρανὸν διανοίξαντος, καὶ οὗτος Σπυρίδων ἦν.

34-35 III Regn. 18,45; Jac. ep. 5,17-18

θεοτ. * Θεοτόκε, ἡ ἐλπὶς ἡμῶν,
τὸν υἱόν σου δυσώπει
σῶσαι τὸν κόσμον
ἐκ περιστάσεως.

ᾠδὴ ε'. *Ἐκ νυκτὸς ὀρθρίζοντες*

Τὴν ἁγίαν σου μνήμην
ἐπιτελοῦντες, ἱεράρχα Χριστοῦ,
τοῦ θεοπνεύστου βίου σου
τὰς ἀρετὰς θαυμάζομεν
καὶ τὰ τερπνά σου κατορθώματα.

Μωυσῆς ἐν Αἰγύπτῳ
μετεποίησεν εἰς αἷμα ποταμόν,
σὺ δὲ τὸ ῥεῖθρον ἔστησας
τοῦ ποταμοῦ, ἀοίδιμε,
διαπεράσας ἀποροῦντα λαόν.

f. 240 (244) θεοτ. * || Τὴν ὁλόφωτον παρθένον
ὁ Θεὸς ἐξελέξατο
καὶ ἐν αὐτῇ ἐσκήνωσε,
προσλαβόμενος σάρκα
ἐξ αὐτῆς εἰς σωτηρίαν ἡμῶν.

42-45 θεοτ. BMC 141; AHG IX, 342
heirm. ε' EE 17, n. 22, Joannis 49 θαυμάζωμεν 56-60 θεοτ. BMC 140-141; AHG I, 328

53-55 PG 116, 428: ... καὶ ὁ παραῤῥέων χείμαῤῥος ὕδασι πλημμυρήσας μάλα πολλοῖς ... οὐδαμῇ οὐδ' ὅλως διαβατὸς ἦν ... Στῆθι, ἔφη, ὁ κοινός σοι ἐπιτάττει Δεσπότης... καὶ τὸ ῥηθὲν παραχρῆμα πέδη τῷ ποταμῷ γίνεται, καὶ τοῦ ῥεύματος ἵσταται.

51-52 Ex. 4,9 58-59 Joh. 1,14

ᾠδὴ ϛ'. *Τὸν προφήτην διέσωσας*

Ἀβραὰμ τὸν φιλόξενον,
Ἰσαὰκ τὸν φιλόθεον
καὶ τοῦ Ἰακὼβ ἐμιμήσω,
Σπυρίδων, τὸ ἄπλαστον.

Τῆς Τριάδος συνήγορον,
τῆς συνόδου ὑπέρμαχον
ἡ καθολικὴ ἐκκλησία
κηρύττει σε, ὅσιε.

θεοτ. * Τοὺς εἰς σὲ καταφεύγοντας
ἀπὸ πάσης, δεόμεθα,
ῥῦσαι ἀπειλῆς, ἡ τεκοῦσα
Χριστὸν τὸν Θεὸν ἡμῶν.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Τοῖς λόγοις ἐκόσμησας
....

---

heirm. ϛ' EE 17, n. 22, Joannis 69-72 θεοτ. MR I, 16; BMC 142; AHG V, 475
Κάθ. nonnullis variis lectionibus in MR II, 471 invenies; idem in S. Charitonem MR I, 284 et in alios SS. dicatum reperis

---

61-64 PG 116, 417: ... ὁ θαυμάσιος τὸν βίον Σπυρίδων, Ἰακὼβ τε ὁμοῦ καὶ τὸν θεῖον Δαυῒδ εἰς ἄκρον ζηλώσας, καὶ πολὺ κατ' ἐκείνους τὸ πρᾶον καὶ ἄπλαστον ἀσπασάμενος, ὡς δὲ καὶ πρὸς Ἀβραὰμ τὸν φιλόξενον ἐμμελὲς βλέψας...

---

61 Gen. 18,1-8 63-64 Gen. 25,27

f. 240v (244v) ᾠδὴ ζʹ. *Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς*

Ὁ θεοπάτωρ Δαβὶδ
ἐκ ποιμνίου βασιλεύει·
σὺ δέ, πάτερ,
ἐκ ποιμνίων ἱεράρχης ἐδείχθης
ἱερουργῶν ἐν πνεύματι
τοῦ Θεοῦ τὰ ἀπόκρυφα.

Μυσταγωγὸς ἀπλανὴς
καὶ ἐπόπτης Τριάδος
γενόμενος
κατηυγάσθης ὥσπερ Παῦλος τὰς κόρας,
τῆς καθαρᾶς καρδίας σου
μυηθεὶς τὰ ἀπόρρητα.

θεοτ. * Ὁ δι' ἀγγέλου τὴν χαρὰν
ἀποστείλας τῇ παρθένῳ,
ἵνα Εὔαν
λυπουμένην εἰς χαρὰν μεταβάλῃς,
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

f. 241 (245) || ᾠδὴ ηʹ. *Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ*

Τὸν ἀναδείξαντα φωστῆρα
ἐν πάσῃ τῇ οἰκουμένῃ
τὸν ἀρχιποίμενα

---

heirm. ζʹ EE 17, n. 22, Joannis 85-90 θεοτ. BMC 143; AHG I, 329 88 μεταβάλῃ BMC AHG 90 post Θεὸς orat. praetermittit cd.
heirm. ηʹ EE 16, n. 21, Germani

---

80 PG 116, 433: Εἷς ἔστι, Σπυρίδων ἔφη, Θεός, οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἄλλων πάντων τῶν ἐν μέσῳ δημιουργός ... τούτου τῷ Λόγῳ τε καὶ τῷ Πνεύματι, παρήχθη μὲν ὁ οὐρανὸς...

73-74 I Regn. 16,11 82 Act. 9,18 85-86 Luc. 1,28

καὶ σοφὸν ἱεράρχην Χριστὸν τὸν Θεὸν
ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὰς τῶν βλασφήμων κακονοίας
ἐν τῷ ἁπλῷ τῶν ῥημάτων
ἀποκρουσάμενος
τὸ ἀνόθευτον κάλλος τῆς πίστεως,
Σπυρίδων, ἔδειξας ἀγράφως
Χριστοῦ τῇ ἐκκλησίᾳ.

θεοτ. Τὸν ἀνερμήνευτόν σου τόκον,
θεογεννῆτορ παρθένε,
καὶ τῆς συλλήψεως
τὸν ἀπόρρητον τόκον θαυμάζοντες
ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θʹ. *Σὲ τὸν ἀμήτορα τὸ πρῶτον*

Σὲ τὸν κηρύξαντα ἀγράφως
τῆς Τριάδος τὸ ὁμότιμον
καὶ ἐλέγξαντα φωνὰς
βλασφήμων μεγαλύνομεν.

---

94 post Θεὸν orat. detruncat cd. 97 κακονίας 101 Σπύριδων 106 τόκον: fort. scribendum τρόπον 107 post ὑπερυψοῦμεν orat. detruncatur
heirm. θʹ EE 16, n. 21, Germani 112, 116 μεγαλύνωμεν

97-102 PG 116, 432: Ἀλλ' ἵνα μὴ τῶν λόγων τὸ νικᾶν εἴη, ἀλλὰ Χριστοῦ καὶ τῆς ἀληθείας, τοὺς ἄλλως λογίους παραδραμόν, Σπυρίδωνος τοῦτο τοῦ ἁπλοῦ γίνεται, ὡς οὐδὲν ἄλλο τι πλέον εἰδὼς ὅτι μὴ Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον, ὥς φησιν Παῦλος.

97-98 Gen. 3,16

Σὲ τὸν ἐν πνεύματι ἁγίῳ
f. 241v (245v) εὐσεβῶς πολιτευ||σάμενον
καὶ ποιμάναντα λαοὺς
ὁσίως μεγαλύνομεν.

θεοτ. * Σὲ τὴν τεκοῦσαν ἀσυγχύτως
τὸν Θεόν, τὸν λυτρωτὴν ἡμῶν,
καὶ παρθένον μείνασαν
ἐν ὕμνοις μεγαλύνομεν.

117-120 θεοτ. Pent II ς'

13 DEC. *CANON* XX

IN SANCTOS EUSTRATIUM, AUXENTIUM, EUGENIUM, MARDARIUM ET ORESTEM MARTYRES ET IN SANCTAM LUCIAM VIRGINEM

Synaxarium, 305-306: Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου. Ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ διωγμὸς ἦν τῶν χριστιανῶν· ὅτε καὶ κρατηθεὶς ὁ ἅγιος Εὐστράτιος παρὰ Λυσίου τοῦ δουκὸς καὶ βασανισθεὶς πλεῖστα καὶ ὑποδήματα σιδηρᾶ μετὰ ἥλων ὀξέων ὑποδεθεὶς περιεπάτει τυπτόμενος. Ὁ δὲ ἅγιος Αὐξέντιος τιμωρηθεὶς ἰσχυρῶς ἀπεκεφαλίσθη· ἡ δὲ κεφαλὴ αὐτοῦ οὐχ εὑρίσκετο· εἶτα εὑρέθη εἰς δένδρον κειμένη, κορώνης ἑστώσης ἐπάνω καὶ κραζούσης. Ἀλλὰ καὶ ὁ ἅγιος Μαρδάριος τιμωρίας μυρίας ὑποστὰς οὐκ ἔλεγεν ἕτερον εἰ μή· « Χριστιανός εἰμι, » εἶτα τοὺς ἀστραγάλους διατρυπηθεὶς καὶ κατὰ κεφαλῆς κρεμασθεὶς καὶ τὰ ὀπίσθια μέρη κατακαεὶς ἐτελεύτησεν. Ὁ δὲ ἅγιος Εὐγένιος τὴν γλῶτταν καὶ τὰς δύο χεῖρας ἐκκοπείς, συνθλασθεὶς καὶ τὰ σκέλη ῥάβδοις, ἐξέπνευσεν. Ἀλλὰ καὶ ὁ ἅγιος Ὀρέστης, τοῦ κεκρυμμένου σταυρίου αὐτοῦ, ὅπερ ἐφόρει, ἀναφανέντος, ἐκρατήθη· καὶ τεθεὶς ἐπὶ κραββάτου σιδηροῦ πεπυρακτωμένου πρὸς Κύριον ἐξεδήμησε. Ἐτελειώθη δὲ καὶ ὁ ἅγιος Εὐστράτιος μετὰ πολλὰς τιμωρίας ἀπαχθεὶς εἰς κάμινον. Ἡ δὲ σύναξις αὐτῶν τελεῖται ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἰωάννου πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Λουκίας τῆς παρθένου. Αὕτη ἦν ἐκ Συρακούσης τῆς πόλεως, τῆς κατὰ Σικελίαν, μεμνηστευμένη ἀνδρί· διὰ δὲ τὴν ἐπισκήψασαν νόσον τῇ ταύτης μητρὶ ἅμα αὐτῇ ἐπὶ Κατάνην παρεγένετο, δεηθησομένη τῆς ἁγίας μάρτυρος Ἀγάθης ἀπαλλάξαι τῆς αἱμορροίας τὴν ταύτης μητέραν. Παραγενομένη δὲ ὄναρ εἶδε τὴν ἁγίαν Ἀγάθην τήν τε ἴασιν παρεχομένην τῇ ταύτης μητρὶ καὶ προθεσπίζουσαν αὐτῇ περὶ τοῦ κατὰ Χριστὸν μαρτυρίου. Ὡς δὲ ἡ μήτηρ αὐτῆς γέγονεν ὑγιής, τῶν ὑπαρχόντων αὐτῇ πρὸς τοὺς πένητας ποιήσασα διανομήν, εὔθυμος ἦν πρὸς τὴν Χριστοῦ ὁμολογίαν. Παρὰ δὲ τοῦ μνηστῆρος διαβληθεῖσα, παρέστη τῷ ἄρχοντι Πασχασίῳ, ὃς ἐκέλευσεν αὐτὴν ἐν πορνείῳ ἀπενεχθεῖσαν ὑβρισθῆναι. Διέμεινε δὲ τῇ τοῦ Χριστοῦ χάριτι ἐν ἁγνείᾳ, μὴ δυνηθέντων, καίπερ πολλῶν συνελθόντων, μετακινῆσαι αὐτὴν ἐκ τοῦ τόπου, ἔνθα ἐστήρικτο. Ἀπαγορεύσαντες δὲ τὴν αὐτῆς μετάβασιν καὶ μηδὲ διὰ τῆς πυρᾶς, ἣν ἀνῆψαν, ἔνθα ἡ ἁγία ἵστατο, αὐτὴν καταφλέξαντες, διὰ τὸ ὑπὸ Θεοῦ ταύτην φυλάττεσθαι, ξίφει τὴν αὐτῆς ἀπέτεμον κεφαλήν.

Crypt. Δ.α. XIV	=	Cf,	ff. 93-99v
Crypt. Δ.α. IV	=	Ce,	ff. 83-87v
Vallic. gr. E 54	=	Ea,	ff. 28v-32
Paris. Suppl. gr. 32	=	Sa,	ff. 115v-116v
Crypt. Δ.α. XIX	=	Cu,	ff. 130v-(132v)
Paris. gr. 13	=	Q,	ff. 165v-166

Ὁ κανών.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος*

* Βραβεύων ἐν οὐρανοῖς τὰ ἔπαθλα
τοῖς ἐπὶ γῆς ἀθληταῖς
ἀγωνοθέτης κάθηται Χριστὸς
δεξιᾷ παντοκράτορι
τοῖς ἀμφὶ τὸν Εὐστράτιον
θείους στεφάνους προτεινόμενος.

* Χορείαν πνευματικὴν πεντάριθμον
δεῦτε κατίδωμεν
ὑπερφυεῖ ἀστράπτουσαν φωτί,
κεκτημένην ταξίαρχον
τὸν ποθητὸν Εὐστράτιον
χάριτι θείᾳ στεφανούμενον.

* Τὴν ζώνην τοῦ ἐπὶ γῆς στρατεύματος
ἀπεκδυσάμενος
τῷ ἀληθεῖ προσάγεις βασιλεῖ

---

tit. Ὁ κανὼν τῶν μαρτύρων et in marg. ποίημα ἰωάννου μοναχοῦ Cf Ἕτερος κανὼν εἰς τὸν ὄρθρον· Ἰω(άννου) μοναχοῦ ποίημα Ce Ὁ κανὼν... ποίημα Ἰωάννου μοναχοῦ Ea Ὁ κανὼν τῶν ἁγ(ίων) καὶ τῆς ἁγ(ίας) λουκίας et in marg. Ἰω(άννου) (μον)αχ(οῦ) Sa Ὁ κανὼν et in marg. Ἰω(άννου) (μον)αχ(οῦ) Cu Εἰς τὸν ὄρθρον κανόνες τῆς (ὀκτω)ήχου βʹ καὶ τῶν ἁγίων τὸν παρόντα εἰς ςʹ et in marg. Ἰω(άννου) (μον)αχ(οῦ) Q
heirm. αʹ EE 94, n. 133, Joannis troparia stellullis instructa in MR II, 480-485 invenies 1 ἐν om. MR 5 ἀμφοῖν Cf 7 πνευματικὴν] μαρτυρικὴν Ce Ea Sa Cu Q MR 8 καθίδωμεν Ea Sa 9 ἀστράπτοντα Ea 12 στεφανούμενος Ea 15 προσάγει Q -γῃ MR

13-18 PG 116, 469-472: Λαβὼν (Εὐστράτιος) γὰρ τὴν ζώνην αὐτοῦ, δέδωκε τῷ πιστοτάτῳ αὐτοῦ οἰκέτῃ, καὶ ἐκέλευσεν ἀποκομίσαι ταύτην εἰς τὴν Ἀραυρακηνῶν ἐκκλησίαν... καὶ ἀποθέσθαι ἐν τῷ θυσιαστηρίῳ... κρίνας ἐν τῇ διανοίᾳ ὡς, εἰ ὁ πρεσβύτερος (Αὐξέντιος) ἀπενέγκοιτο τὴν ζώνην, οἰκονομίαν ἔσεσθαι θεϊκὴν προμηνύουσαν αὐτῷ τὴν τοῦ ἐπιθυμουμένου αὐτῷ μαρτυρίου ἐπιτυχίαν·

τῆς ἀθλήσεως σύμβολον
παρὰ Χριστοῦ, Εὐστράτιε,
δι' Αὐξεντίου κομιζόμενος.

Τῶν πέντε παρθενικῶν τὸ αἴνιγμα
νῦν ἐμφανέστατα
ἐν ἰσαρίθμοις μάρτυσι φανὲν
ἐν ψυχῇ τε ὑπάρχον σαφῶς
συνημερεῦσαι δέδωκε
παρθένου μνήμῃ ὁ λαλήσας Θεός.

* Πορφύραν σῶν ἐξ αἱμάτων βάψασα
καὶ στολισθεῖσα φαιδρῶς
περιφανῶς τὰ ἄνω κατοικεῖς,
ὡς παρθένος, βασίλεια
καὶ θεϊκαῖς λαμπρότησι,
μάρτυς Λουκία, κατηγλάισαι.

f. 93v * ‖ Ῥωσθεῖσα τοῦ παντουργοῦ, πανεύφημε,
δυνάμει πνεύματος
τὸν ἰσχυρὸν ἀνδρείαις συμπλοκαῖς
ἐταπείνωσας τύραννον
μεγαλαυχίᾳ χρώμενον
καὶ τοῖς ποσί, μάρτυς, ὑπέταξας.

Λουκίας τῆς πανευφήμου σήμερον
τὴν παμφαῆ ἑορτὴν
ᾀσματικῶς γηθόμενοι, πιστοί,

---

16 σύμβουλον Ea 17 Εὐστράτιος Ea 18 κομισάμενος MR Post trop. « Τὴν ζώνην » trop. « Ἀστέρες ἐν οὐρανῷ » praebent Q MR 19-36 trop. om. Sa Cu Q 20 τὴν ἐμφρονέστατα Ea 22 σαφῶς] παντὸς Ea 24 μνήμης Ce μνήμην Ea ὁ om. Ce ante omnia trop. ad S. Luciam pertinentia scriba Λουκίας in marg. scripsit 28 βασίλεισσα Ea 31-36 trop. in MR VI, 145 in S. Marinam dicatur 33 τῶν δυσχερῶν Ea ἀνδρείως Cf Sa Cu Q MR 35 μεγαλαυχείσοι χ. Ce 36 ὑπέταξας] ἐπάτησας Ea 37-66 trop. tantum in Cf servantur

---

19 Matth. 25,1-13

ὁμαδὸν ἀνυμνήσωμεν·
ὡς ἑωσφόρος αὕτη γὰρ
τὴν κτίσιν πᾶσαν κατελάμπρυνεν.

Ἀγάλλεται ἀσωμάτων ἅπασα
σὺν τοῖς βροτοῖς ἡ πληθύς
ἐν γυναικείῳ σχήματι ἐχθρὸν
τὸν ἀήττητον βλέπουσα
διὰ τῶν ἄθλων, μάρτυς, σὲ
ἀνδρειοφρόνως καταβάλλουσαν.

Τὴν ὄντως ἐν οὐρανοῖς εὐγένειαν
ἐπιποθήσασα
τὴν ἐπὶ γῆς ἠρνήσω πατρίαν
καὶ Θεῷ ἀφιέρωσας
σαυτήν, Λουκία, ἄμωμον
ὥσπερ ἀμνάδα εἰς τὸ θύεσθαι.

Τὸ σῶμα τῆς παρθενίας ἄσπιλον
διατηρήσασα
τοῦ μαρτυρίου θείοις σεαυτὴν
κατεποίκιλας αἵμασι·
διὸ διπλοῦν κεκόμισαι
παρὰ Θεοῦ, Λουκία, στέφανον.

θεοτ. * Παρθένος μετὰ τόκον ἔμεινας·
αὐτὸν γὰρ τέτοκας
τὸν ποιητὴν τῶν ὅλων καὶ Θεόν,
ἀσυνήθως καὶ ξένως ἡμῖν
ἐπιφανέντα σώματι,
θεογεννῆτορ ἀειπάρθενε.

---

59 κεκόμισαι scripsi: κεκόσμησαι Cf   61-66 θεοτ. MR I, 316; aliud tamen θεοτ. Χωρίον χωρητικὸν γεγένησαι praebent Ce Ea Sa MR; Cu Q θεοτ. « Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι », quod MR I 79 proferunt

---

53-54 Jer. 11,19

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

* Ἐλπίδι τῶν αἰκισμῶν
ὥσπερ ἀΰλου θησαυροῦ γέγονας
ὑπερφυῶς ἔμπλεως
πάσης θυμηδίας, Εὐστράτιε.

* Σοφίᾳ πνευματικῇ
ὑπομονῇ τε πειρασμῶν ἤλεγξας,
μάρτυς Χριστοῦ Αὐξέντιε,
τὴν τυραννικὴν ἀθεότητα.

* Τὰ μέλη μαρτυρικῶς
ἀθλητικοῖς καταφλεχθεὶς ἄνθραξιν
εἰδωλικῆς ἔσβεσας
πλάνης τὴν μανίαν, Εὐστράτιε.

* Ὡς κόσμος θεολαμπὴς
f. 94 τῇ ἐκκλησίᾳ τῶν πιστῶν, || μάρτυρες,
τὰ τοῦ Χριστοῦ στίγματα
περιηνθισμένοι γεγόνατε.

Ὡς μάρτυς μαρτυρικὴν
ἐνδεικνυμένη καρτερῶς ἔνστασιν
τὸν πτερνιστὴν πτέρναις σου
ταῖς ὡραιοτάταις συνέτριψας.

---

heirm. γ' EE 94, n. 133, Joannis   68 ἀσύλου Cu   θησαυρὸς Sa   72 τε] τῶν Sa   73 Αὐξέντιε] Εὐστράτιε Cu   trop. 75-78, 79-82 praepostero ordine in MR   Post trop. « Τὰ μέλη » trop. « Ὡς νύμφη περικαλλὴς » praebet MR   75 μαρτυρικῶς] καρτερικῶς Cu Q MR   79-82 trop. om. Sa Cu   79 περικαλλὴς Ce Ea   80 τῆς ἐκκλησίας Ca Ea MR   81 τοῖς τοῦ Χ. στίγμασι Q   82 -μένη γεραίρωντα Ea   83-86 trop. om. Cu Q   86 ὡραιοτάτοις Ea

---

71-74 PG 116, 472-473: ... Αὐξέντιος ... τὸν τῆς ἀθανασίας διήθλησεν ἀγῶνα, τὴν σήν, ὦ δικαστά, ἀθεότητα ἐλέγξας, σοφίᾳ λόγων, καὶ ὑπομονῇ ἔργων...

81-82 Gal. 6, 17

Αἱμάτων σου ἱερῶν
ταῖς ἐπομβρίαις δυσμενεῖς ἔπνιξας
καὶ τὴν Χριστοῦ ἤρδευσας,
μάρτυς, Ἐκκλησίαν ὑμνοῦσάν σε.

Μὴ πτήξασα τῶν ἐχθρῶν
τὰς φληναφώδεις ἀπειλὰς ἔστηκας
μέχρι θανάτου ἄπτωτος,
τούτους τροπουμένη τοῖς πόνοις σου.

« Οὐδέν με τῶν ἐπὶ γῆς
τερπνῶν χωρίσει τοῦ Θεοῦ » πάσχουσα
ἐκ τῆς ἀγάπης ἔκραζες·
« ὅθεν δι' αὐτὸν καὶ τεθνήξομαι ».

Κατεύνασας κραταιῶς
τοῦ Πασχασίου τὸν θυμὸν ζέοντα
κατὰ Χριστοῦ, πάνσεμνε,
τῇ πρὸς τὰς βασάνους ἐνστάσει σου.

Ἐλπίδα σε ὀχυράν,
Λουκία, καὶ καταφυγὴν ἔχουσα
ἡ θρεψαμένη πόλις σε
σοῦ ταῖς προσευχαῖς περισώζεται.

θεοτ. * Κυρίως καὶ ἀληθῶς
σε θεοτόκον οἱ πιστοὶ σέβομεν·
σὺ γὰρ Θεὸν τέτοκας
σάρκα γεγονότα, πανάμωμε.

87-90 trop. tantum Ce Ea praebent 89 καὶ om. Ce 90 ὑμνοῦσάν σε] ἀοίδιμε Ea 91-106 trop. tantum Cf profert 92 φληναφώδους Cf 96 χωρήσει Cf 107-110 aliud θεοτ. « Σὺ μόνη τοῖς ἐπὶ γῆς » MR I, 80, tradunt Cu Q

95-96 Rom. 8, 35, 39

Κάθισμα.

Ἦχος β'. Πρός· *Τῷ Θεῷ ἀπὸ μήτρας ἐκλελεγμένος*

(α') Ἡ πεντὰς τῶν μαρτύρων ἀνευφημείσθω
....

Ἄλλο.

Ἦχος γ'. Πρός· *Ἐν νηστείαις τὸ ἄσαρκον*

(β') Τῆς σοφίας τὸ ἔνθεον,
τῆς ἀνδρείας τὸ ἄθραυστον,
τῆς ἐλπίδος τὸ ἄσειστον,
δικαιοσύνης τὸ ἀνεπίληπτον
καὶ τὸ σῶφρον τῆς πίστεως
κεκτημένος, Εὐστράτιε,
τῶν ἀρετῶν ἀνεδείχθης θησαύρισμα
καὶ τῶν μαρτύρων ἐγνώσθης καλλώπισμα
καὶ τῆς δόξης Χριστοῦ τοῦ Θεοῦ ἐνδιαίτημα, ἔνδοξε·
f. 94v ἀλλ' ὡς ἔχων παρρησίαν || πρὸς Θεὸν
ἄνωθεν εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν καὶ τὸ μέγα ἔλεος.

Ἕτερον.

Ἦχος δ'. Πρός· *Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι*

(γ') Ἀνδρείωμα πίστεως θωρακισάμενος
....

Κάθ. (α') HC 322; idem, quod om. Sa Cu Q, ut ἀπολυτίκιον in principio acoluthiae profert Ce

heirm. καθ. ἄλλου tantum initium in EPh 36 (1937), 485 Κάθ. ἄλλο tantum Cf profert Ἕτερον κάθ., quod post oden ϛ' profert Ce et om. Q, invenies in EPh 4 (1909), 350

Ἄλλο.

Ἦχος δ'. Πρός· *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως*

(δ') Οἱ ἀγῶνές σου, σεμνή, καὶ τὰ ἔπαθλα

....

Ἄλλο.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

(ε') Τῆς Τριάδος τῇ πίστει ὀχυρωθεὶς

....

ᾠδὴ δ'. *Δι' ἀγάπησιν, οἰκτίρμον, τῆς σῆς εἰκόνος*

* Συναπεβάλου τοῖς μώλωψι τῆς σαρκός σου
τὰς ψυχικὰς κηλῖδας,
τὰς βολίδας συντρίψας
τοῦ δολίου δράκοντος
τῇ πίστει, Εὐστράτιε.

* Ἐδοξάσθη σου τοῖς μέλεσιν, ἀθλοφόρε,
ὁ βασιλεὺς τῆς δόξης
καὶ ἀρρήτου σε δόξης
ἐν δυνάμει ἔπλησε
τεράτων, Εὐστράτιε.

Ἄλλο(δ') dicatum in SS. Mamelchthem et Charitinem nonnullis variantibus in EEBS 28 (1958), 299; idem om. Ce Ea Sa Q   Ἄλλο (ε'), quod om. Ce Ea Sa Cu, in MR II, 481; Cu autem κάθ. « Τῶν μαρτύρων αἵμασιν », MR II, 481, profert; cfr. etiam infra post oden ς'

heirm. δ' EE 97, n. 138, Joannis   115 τῇ πίστει] θεόφρον Q   116-120 trop. om. Sa   116 Ἐνεδοξάσθη MR   118 σε] σοῦ Ce

* Τῶν ἁλιέων ζηλώσας τὴν παρρησίαν
μαρτυρικῇ σαγήνῃ
τῷ δεσπότῃ προσάγεις
τὸν σοφὸν Εὐγένιον
ζωγρήσας, Εὐστράτιε.

Χριστομιμήτως ἐβάφησάν σου οἱ πόδες
f. 95 μαρτυ||ρικῶν κρηπίδων
ἐμπαρέντες τοῖς ἥλοις
τῷ οἰκείῳ αἵματι,
θεόφρον Εὐστράτιε.

* Ὄντως ὡραῖοι οἱ πόδες τῶν ἀθλοφόρων
τὸν δυσμενῆ πατούντων
καὶ Χριστῷ μελῳδούντων·
« ὁδὸν μαρτυρίων σου
ἐδράμομεν, δέσποτα ».

Ἐθελόθυτον ὡς θῦμα καὶ ἱερεῖον
τῷ ποιητῇ προσῆξας
σεαυτήν, ἀθλοφόρε,
κράζουσα· « νυμφίε μου,
ἐν σοὶ ἀναπαύσομαι ».

Τοῦ ποιμένος θείοις ἴχνεσιν ἑπομένη
τὸ δι' αὐτὸν ὑπέστης
ἐθελούσιον πάθος,
μάρτυς, καὶ ἐσκήνωσας
πρὸς μάνδραν οὐράνιον.

121-125 om. Ea   125 Εὐστράτιε] τοῖς λόγοις σου Ce   126-130 om. Ce Sa   128 ἐμπαρέντων Cf   ἐνπαρέντες Ea   131-135 om. Sa Cu   131 Ὄν-τες Ea   132, 133 πατοῦντες, μελῳδοῦντες Q MR   134 μαρτυρίου Ce Ea Q MR   135 δραμούμεθα MR   136-140 om. Cu Q   138 σεαυτὴν] ἑαυτὸν Sa   140 ἀναπέπαυμαι Ea   141-145 om. Sa Cu Q

126-130 PG 116, 480: Ἡ δὲ κρηπὶς ἦν διαπεπαρμένη ἥλοις μακροῖς καὶ ὀξέσιν, ὥστε διαπερονᾶσθαι ἅπαν τὸ μέρος τῶν ποδῶν αὐτοῦ.

---

141 I Petr. ep. 2,21

Μακαρία σὺ ὑπάρχεις, Λουκία, ὄντως,
ὅτι Θεοῦ τὴν ἄνω
οὐρανῶν βασιλείαν
εἰς κατοικητήριον
ὠνήσω δι' αἵματος.

Τετρωμένη ἀγαπήσει Θεοῦ, Λουκία,
τῆς παγκλεοῦς Ἀγάθης
τοῖς ἀγῶσιν ἐρρώσθης
καὶ τὸν ἴσον δρόμον σου
ἀθλοῦσα τετέλεκας.

Σοῦ τὸ πανάσπιλον σῶμα ἐν τῷ πορνείῳ
ὁ μιαιφόνος, μάρτυς,
ἠπειλεῖτο διδόναι
τοῦ ἀσώτως χραίνεσθαι,
κατήσχυνας τοῦτον δέ.

* Παρρησίαν εὑραμένη ἐν τοῖς ὑψίστοις,
παρὰ Θεοῦ, Λουκία,
τοῖς τιμῶσί σε πόθῳ
τῶν πταισμάτων αἴτησαι
δοθῆναι τὴν ἄφεσιν.

θεοτ. Ἐν ἀγκάλαις ὡς βρέφος, παρθένε, φέρεις
τὸν τῇ δρακὶ τὰ πάντα
περιέχοντα Λόγον
καὶ τὸ θαῦμα φρίττοντες
σὺν τούτῳ ὑμνοῦμέν σε.

146-170 tantum Cf porrigit 162 Θεῷ MR 166-170 aliud θεοτ. « Παρθενίᾳ καὶ ἀθλήσει (ἀσκήσει Ea) πεποικιλμένη (λελαμπρυσμένη MR) » praebent Ce Ea Sa MR; alia θεοτ. praebent Cu Q:

Cu: Θεοτόκον σε κυρίως ὁμολογοῦμεν·
τὸν γὰρ ἐκ σοῦ τεχθέντα
ἐν μιᾷ ὑποστάσει
καὶ δυσὶ ταῖς φύσεσι
κηρύττομεν, δέσποινα.

Q: « Παρθενίαν μετὰ τόκον ἐσφραγισμένην », MR II, 547

151 Cant. 5,8 154-155 II Tim. 4,7

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*
εἰς τὸν κόσμον ἐλήλυθας

* Σὺ οἷάπερ ἀστὴρ
ἑωσφόρος ἀνέτειλας
ἐν φάλαγγι τῶν μαρτύρων
τηλαυγῶς διαπρέπων,
ἀήττητε Εὐστράτιε.

* Σὲ φέγγει καθορῶν
νοητῷ διαλάμποντα
Μαρδάριος ὁ θεόφρων
ὡς ποιμένι ἀρνίον
προστρέχει σοι, Εὐστράτιε.

f. 95v * ‖ Ὦ κλῆρος ἀγαθός,
ὦ μερὶς ἡ θεόσδοτος,
ὦ γύναιον τῇ καλλίστῃ
συμβουλῇ ἐκνικῆσαν
τὴν πλάνην τῆς προμήτορος!

* Σὺ πάντα τὰ τερπνὰ
ἐλογίσω ὡς σκύβαλα,
Μαρδάριε, ἐκνικήσας
τοὺς τῆς φύσεως νόμους
τῷ φίλτρῳ τῆς ἀθλήσεως.

heirm. ε' EE 94, n. 133, Joannis 173 ἐν] τῇ Cf Ce 174 τηλαυγεῖς Sa 175 ἀοίδιμε MR 176 Σὺ Sa καθορῶν] κατιδὼν Cu MR 177 νοητῷ] τηλαυγῶς Q trop. 3, 4, 5 odes ε' hoc ordine praebet MR: 4, 5, 3 181 Ὦ] Ὁ Sa 181-185, 186-190 trop. inverso ordine in Ce 183 τῇ καλλίστῃ] ἐκνικῆσαν Cu 184 τῇ καλῇ συμβουλίᾳ Cu 186 τὰ om. Cu 187 ὡσκύβαλα Sa 188 Μαρδάριε] Εὐγένιε MR 189 νόμους] ὅρους Ce

171-175 PG 116, 480: Ἀτενίσας (Μαρδάριος) δὲ εἰς πάντας τοὺς ἁγίους, εἶδε μέσον αὐτῶν ὡς περιφανῆ ἀστέρα τὸν ἅγιον Εὐστράτιον...

176-180 PG 116, 481: ... ὁ Μαρδάριος... ἔφθασε τοὺς ἁγίους, καὶ ἐκάλεσε τὸν ἅγιον Εὐστράτιον οὕτω ... ὡς πρόβατον ἄκακον πρὸς τὸν ἴδιον ποιμένα τρέχει, οὕτω κἀγὼ ἦλθον πρὸς σέ, θέλων ὑμῖν συνοδεῦσαι.

187 Philip. 3,8

* « Σοῦ μόνου καλλοναῖς
ὡς παρθένος ἐνήδομαι·
σέ, Κύριε, ἀγαπῶσα
σφαγιάζομαι ξίφει »,
Λουκία ἀνεκραύγαζεν.

« Σοῦ, σῶτερ, ἀστραπαῖς
ἐλλαμφθῆναι τρανότερον
ποθήσασα τὴν ζοφώδη
ἀποκρούομαι πλάνην »,
ἐβόα ἡ πανεύφημος.

Ἔρρωται διὰ σοῦ
ἡ ὠδίνασα μήτηρ σε
ἀλγήματος αἱμορροίας,
τῷ τεμένει Ἀγάθης
τῆς σοφῆς προσεδρεύουσα.

Ὕπνῳ ἡ παμφαὴς
ἐπιστᾶσα Ἀγάθη σοι
« χαίροις », φησίν, « ὦ Λουκία·
ὡς κἀγὼ γὰρ τυράννους
ἡττήσεις ἐν ἀγῶσί σου ».

« Πόλις ἡ Κατανῶν
ἐπ' ἐμοὶ ἐναβρύνεται·
Συράκουσα ἐπὶ σοὶ γὰρ

191-195 om. Cu Q 191 Σοῦ] Τοῦ Ce Σὺ Ea 195 -ζες Ea Sa 196-200 tantum Ce Ea ostendunt 196 Σαῖς πάτερ ἀ. Ea 200 ἐκβοᾶ Ea 201-225 trop. et θεοτ. tantum Cf profert

201-205 G. Rossi Taibbi, *Martirio di Santa Lucia*, Palermo 1959, 50-52: ...ἡ τῶν Συρακουσίων πόλις παρεγένετο ἐν τῷ σεβασμίῳ ναῷ τῆς μάρτυρος (Ἀγάθης) προσκυνῆσαι· ἐν οἷς συμβαίνει Λουκίαν... πόλεως ἐλθεῖν... σὺν τῇ ἰδίᾳ μητρὶ ὀνόματι Εὐτυχίᾳ, ἥτις εἶχεν ῥύσιν αἵματος ἐπὶ ἔτη τεσσαράκοντα... προσελθοῦσαι τῷ τάφῳ ἔρριψαν ἑαυτὰς μετὰ δακρύων δεόμεναι τῆς μάρτυρος.

206-215 Id., 52: ... ὕπνῳ βαθεῖ κατεσχέθη Λουκία καὶ ὁρᾷ κατ' ὄναρ τὴν ἁγίαν Ἀγάθην ... λέγουσαν πρὸς αὐτήν· « ... καὶ δὴ ὥσπερ δι' ἐμοῦ εὐεργετεῖται ἡ τῶν Καταναίων πόλις, οὕτως καὶ διὰ σοῦ σωθήσεται ἡ τῶν Συρακουσίων πόλις χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ... ».

συγχαρεῖται », Λουκία,
Ἀγάθη προσαγγέλλει σοι.

Σὺ ἄσβεστον, σεμνή,
τὴν λαμπάδα τετήρηκας,
τῷ σώματι ἀντ' ἐλαίου
τὴν ἁγνείαν προσῆψας·
διό σοι ὁ νυμφὼν εἰσιτός.

θεοτ. * Θεότητος μορφὴν
καὶ μορφὴν ἀνθρωπότητος
ἐγέννησας, θεομῆτορ,
ἡνωμένας ἀφύρτως
καθ' ἕνωσιν ἀπόρρητον.

ᾠδὴ ϛ'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

* « Χριστός μοι
ἀντὶ πάντων ἐστίν », ὁ Μαρδάριος
διαπρυσίως ἐβόα·
« καὶ πατρὶς καὶ σέβας καὶ ὄνομα »·
ὑπὸ σοῦ γὰρ
τοῦτο ἐξεπαιδεύθη, Εὐστράτιε.

* Τοὺς πόδας
τρυπηθεὶς ἀνηρτήθης τῆς ἄντυγος·

215 προσαγγέλη Cf 220 εἰσητὸς Cf 221-225 θεοτ. MR IV, 195; aliud θεοτ. « Νοῦς (Τοὺς Ce) βρότειος τὴν σὴν » Ce Ea Sa MR; Cu Q θεοτ. « Σὲ ὅπλον ἀρραγές » MR I, 81, prodeunt 225 ἀπόρρητον] ἀσύγχυτον MR
heirm. ϛ' EE 94, n. 133, Joannis 233 ἀναρτήθης Ea

226-231 PG 116, 484: Ὁ δὲ ἅγιος Εὐστράτιος εἶπεν· Ἐπίμενε, ἀδελφὲ Μαρδάριε, μόνον λέγων, Χριστιανός εἰμι, Χριστοῦ δοῦλος ὑπάρχω... Ὁ δοὺξ εἶπεν... οὗτος διδαξάτω ὄνομα, ἐπιτήδευμα... τύχην, καὶ ὁποῖον αὐτῷ τὸ σέβας. Μαρδάριος εἶπεν· Χριστιανός εἰμι. Ἐρωτώμενος δὲ ... εἰπεῖν καὶ τὸ ὄνομα, καὶ τὴν τύχην καὶ τὴν πατρίδα, ἐπέμενε κράζων, Χριστιανός εἰμι·

232-237 PG 116, 484: ... ὁ μιαρὸς δοὺξ εἶπεν· Τρυπηθήτωσαν οἱ ἀστράγαλοι τῶν ποδῶν αὐτοῦ τρυπάνῃ, καὶ σχοινίοις διαπερανθέντες τῆς ἄντυγος ἀναρτάσθωσαν· ὀβελίσκοι δὲ πεπυρακτωμένοι τοῖς μεταφρένοις αὐτοῦ προσενεχθήτωσαν ... Τούτου δὲ γενομένου ... ἀνέπεμψε φωνὴν λέγων· Κύριε ... Δέξαι μου ἐν εἰρήνῃ τὴν ψυχήν.

πεπυρωμένοις ἐφλέχθης
ὀβελίσκοις μὲν τὰ μετάφρενα,
τὸ δὲ πνεῦμα
τῷ δεσπότῃ ἀνέθου, Μαρδάριε.

* Ἡ γλῶσσα
ἐκκοπεῖσα τῶν ὕμνων οὐ παύεται,
αἱ δὲ τμηθεῖσαί σου χεῖρες
πρὸς Θεόν, Εὐγένιε, αἴρονται
σωτηρίαν
τοῖς ὑμνοῦσιν αἰτοῦσαι τὴν μνήμην σου.

f. 96 || Θλασθέντα
σοῦ τὰ σκέλη ῥοπάλοις, Εὐγένιε,
τῶν τοῦ Χριστοῦ παθημάτων
τὸ ὑστέρημα ἀνεπλήρωσαν,
τὸ δὲ πνεῦμα
σὺν ἀγγέλοις ἀξίως δοξάζεται.

Στάσιν σοι
ἡ τοῦ Πνεύματος δύναμις δίδωσιν
ἀνεπηρέαστον, μάρτυς,
παρθενίας κάλλει λελαμπρυσμένη,

---

234 -μένος Q   235 μέν] δὲ Ce Ea Sa Q MR   τε Q   236 τὸ δὲ] καὶ τὸ Ce   237 παρέθου Ce Ea Sa Cu Q MR   239 ἐκτμηθεῖσα Ce   τὸν ὕμνον Ea Sa Cu   240 χεῖραι Sa   244 Θλασθέντων Q   245 τῶν σκελῶν Q   247 ἀνεπλήρωσας Ea Q   249 ταῖς χερσὶν ἐναπέθου τοῦ κτίσαντος Q   δοξάζεται] ἀγάλλεται Ce Ea Sa   250-255 tantum in Ea Sa invenies; suo loco vero hoc Q: Σοφίας / ἑλληνικῆς διέλυσας δόγματα / τὴν ἐνυπόστατον ἔχων / τοῦ Θεοῦ σοφίαν, Εὐστράτιε, / καὶ μετ' ἤχου / τὸ τῆς πλάνης μνημόσυνον ὤλεσας.   252 ἀνεπερέαστον Ea   253 κάλλη cdd.   λελαμπρυσμένος Ea

---

238-240 PG 116, 484-485: Ὁ δοὺξ εἶπεν· Ἐκκοπήτω ἡ ἐφύβριστος αὐτοῦ γλῶττα· ἀλλοτριωθήτω δὲ ξίφει ἑκατέρων τῶν χειρῶν...

244-245 PG 116, 485: ... καὶ βάκλοις συνθλασθήτω τὰ σκέλη τῶν ποδῶν αὐτοῦ...

250-255 G. Rossi Taibbi, *op. cit.*, 64-66: ... εἶτα ὡς ἤρξαντο ἕλκειν αὐτὴν ἐπὶ τὸ πορνεῖον, παρέσχεν αὐτῇ τὸ Πνεῦμα τὸ ἅγιον στάσιν τοιαύτην, ὅπως μὴ δυνηθῇ κινηθῆναι τὸ καθόλου... οὐδὲ οὕτως ἠδυνήθησαν σαλεῦσαι τὴν παρθένον τοῦ Θεοῦ· ἣν γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἀσάλευτον διετήρει, πῶς ἠδύναντο ἁμαρτωλῶν χεῖρες σαλεῦσαι;

τοὺς ἐχθροὺς δὲ
ὡς αἰσχύνην ποθοῦντας ἠμαύρωσας.

Ἀστράπτεις
λαμπηδόσιν ἀγώνων σου, πάνσεπτε,
καὶ πυρπολεῖς παθημάτων
καὶ δαιμόνων ὕλην ἐν χάριτι
καὶ καρδίας
καταυγάζει πιστῶν, ἀξιάγαστε.

* Τίμιος
ἐναντίον Κυρίου, ὡς γέγραπται,
ὁ σὸς γεγένηται μόρος·
τοῦ γὰρ ζῆν προκέκρικας τὸ τεθνάναι,
ἵνα ζῶντα
τὸν Χριστὸν ἐν σοὶ ἕξεις, Λουκία σεμνή.

Ἤλγησεν
ὁ ἀρχέκακος ὄφις καὶ βάσκανος
ἣν ἐδολίευσε πάλαι
γυναικείαν φύσιν ἐν παραδείσῳ
τροπουμένην
τὰς αὐτοῦ μεθοδείας θεώμενος.

« Τί μάτην »
Πασχασίῳ, Λουκία, ἐκραύγαζες
« κατὰ Χριστοῦ μαίνῃ, πλάνε;
τῶν εἰδώλων νῦν γὰρ πέπαυται κράτος,
χριστοφόρῳ
βασιλεῖ δὲ τὰ σκῆπτρα δεδώρηται ».

256-261 trop. om. Sa Cu Q   257 πάνσεμνε Ce Ea   262-285 tantum in Cf   263 ὡς γέγραπται] ὁ θάνατος MR   264 μόρος] μάρτυς MR   265 προέκρινας MR   266-267 ἵνα ... ἕξεις: cfr. in hoc vol. pp. 94 et 582: ὅπως ῥυσθήσῃ, ἵνα γενήσεται

274-276 Id., 66: ᾧτινι (Πασχασίῳ) ἡ μακαρία Λουκία μετὰ κραυγῆς εἶπεν· « Ταλαίπωρε Πασχάσιε... Τί ὠχρὸς ὑπὸ τῆς μανίας γέγονας; ... »

262-264 Ps. 115, 6   267-271 Gen. 3,1-7

Τὴν πόλιν,
ἣν ἐπέγνως, Λουκία, πατρίδα σου,
ἀκαταμάχητον φρούρει
δυσμενῶν βαρβάρων ἐκ πάσης λώβης·
σὲ γὰρ αὕτη
πρὸς Θεὸν εἰς πρεσβείαν προβάλλεται.

θεοτ. * Ἰσχύν σε
εὑραμένη, παρθένε, καὶ στήριγμα
ἡ ἀθλοφόρος αἰκίσεις
καρτερῶς προσφέρει καὶ χαίρουσα
σοῦ ὀπίσω
τῷ τῶν ὅλων δεσπότῃ προσάγεται.

Κοντάκιον.

Ἦχος β'. Πρός· *Τὴν ἐν πρεσβείαις*

(α') Φωστὴρ ἐφάνης
....

Ὁ οἶκος.

Πρός· *Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,*

(α') Τὸ ζοφερόν, Χριστέ, τῆς ψυχῆς μου
....

286-291 aliud θεοτ. «Ὢ θαῦμα / τῶν ἁπάντων θαυμάτων καινότερον», MR I, 82, praebent Cu Q 288 ἀθληφόρος MR 289 καρτερώτατα φέρει καὶ χ. MR κατερῶς Ea
Κοντ. et οἶκ. (α') MR II, 483; eadem om. Ce Ea Cu

289-291 Ps. 44,15

f. 96v Ἄλλο.

Ἦχος β'. Πρός· *Ἠλιοῦ ἐμιμήσω*

(β') Κραταιῶς ταῖς βασάνοις ἐγκαρτεροῦσα
τὸν ἐχθρὸν ἐτροπώσω ἐνθέῳ σθένει
καὶ Πασχασίου τὸ φρύαγμα ἤλεγξας
καταπατοῦσα ἀθέων τὴν ἔνστασιν,
Λουκία, Χριστῷ κραυγάζουσα·
«ἀκήρατε νυμφίε, σύ μου εἶ τὸ καύχημα».

Ὁ οἶκος.

Πρός· *Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,*

(β') Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,
καὶ τὸν νοῦν μου φαιδρύνας,
καταυγάζων φωτὶ
τὸν ζόφον τὸν τῆς καρδίας μου,
λόγον ὡς λόγον μοι βλύσον, Λόγε,
ἀρωγός μοι γενόμενος καὶ συλλήπτωρ·
θείᾳ ῥοπῇ
οἰκτιρμῶν σου, Χριστέ, καταυγάσας με
ἐν πόθῳ καὶ πίστει δοξάσω
ἐφυμνίων ἐπαίνοις τὴν μάρτυρα·
βροτῶν γὰρ πάντα χαμαίζηλα
ἀπωθοῦσα πιστῶς σοι ἐκραύγαζεν·
«ἀκήρατε νυμφίε, σύ μου εἶ τὸ καύχημα».

Ἕτερον.

Ἦχος δ'. Πρός· *Ἐπεφάνης σήμερον*

(γ') Τῶν μαρτύρων αἵμασιν
ἡ Ἐκκλησία

heirm. κοντ. ἄλλου (β') HC 316 Ἄλλο (β') om. Ce Ea Sa Cu Q
heirm. οἴκ. MV X, 109 οἴκ. 11 χαμάζηλα cd. 13 post ἀκήρατε orat. abrumpit cd.
heirm. ἑτέρου κοντ. (γ') HC 391 Ἕτερον (γ'), quod in MR II, 481 ed. invenies, ut κάθ. post oden γ' in Cu MR exhibetur; idem om. Ce Ea Sa Q

ἀρδευθεῖσα ἤνθησεν
ὀρθοδοξίαν τοῖς πιστοῖς
ἐγκαυχωμένη καὶ λέγουσα·
« σῶτερ, παράσχου ἡμῖν τὰ ἐλέη σου ».

(Ὁ οἶκος).

Πρός· *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

(γ') Πεποικιλμένος ἀρεταῖς
ἐκ βρέφους τὴν σοφίαν
ὡς σύνοικον ἐκτήσω
καὶ ταύτης τὸ εὐῶδες
καὶ γλυκηρὸν ἄνθος ἑλὼν
θεῖον μέλι, μάρτυς,
ἐγεώργησας Θεῷ
τοὺς πόνους τῆς ἀθλήσεως·
ἐξ οὗ ἀπογευσάμενοι κατέλιπον
κόσμου τὰ ἡδέα
ὡς πικρίας μεμεστωμένα
τετρὰς μαρτύρων: Αὐξέντιος ὁ πρέσβυς,
Εὐγένιος ὁμοῦ σὺν τῷ Ὀρέστῃ
καὶ Μαρδάριος, Χριστῷ προσκολληθέντες,
f. 97 ‖ σὲ συνασπιστὴν καὶ πρόμαχον κεκτημένοι,
κλέος μαρτύρων, Εὐστράτιε ἅγιε.

Ἄλλο.

Ἦχος πλ. β'. Πρός· *Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν*

(δ') Τοὺς ὑπὲρ Χριστοῦ παθόντας μέχρι θανάτου
....

Ἕτερον 6 κλέος μαρτύρων ἐδείχθητε, ἅγιοι Cu MR
heirm. οἴκ. MR III, 150 et in marg. Cf   οἴκ. 11 πικρία Cf
Ἄλλο κοντ. et οἴκ. (δ'), quae tantum in Cf, in GIB 99 invenies

(Ὁ οἶκος).

Πρός· *Τὰ τῆς γῆς ἐπὶ τῆς γῆς καταλιπόντες*

(δ') Κατὰ πάντα θαυμαστὸς ὑπάρχων, Λόγε,
....

Ἕτερον.

Ἦχος πλ. δ'. Πρός· *Τῷ φαεινῷ σου*

(ε') Τὸν ἐν σοφίᾳ πᾶσι
....

Ὁ οἶκος.

Πρός· *Τῷ μύρῳ θείῳ χρισθέντα*

(ε') Ὁ πάντα λόγῳ ποιήσας,
Χριστέ μου, Λόγε, Θεέ μου,
καὶ τὴν χάριν σου κἀμοὶ
ἐξαπόστειλον τῷ ἀσώτῳ,
ὅπως ὑμνήσω
ἐγκωμίων ἐν ᾠδαῖς,
δέσποτα, τὴν ἄθλησιν
Εὐστρατίου τοῦ σοφοῦ,
Αὐξεντίου, Ὀρέστου
καὶ Εὐγενίου ἀξίως
καὶ πιστοῦ Μαρδαρίου σὺν αὐτοῖς
εἰς τὸ ἀλήκτως κραυγάζειν·
« τῶν φιλομαρτύρων προστάτα θερμότατε ».

Ἕτερον (ε') PAS I, 667; idem om. Ce Ea Sa Cu Q
heirm. οἴκ. Ath 55 (1951), 185

f. 97v || ᾠδὴ ζ′. *Ἐν τῇ καμίνῳ*

* Ἀμετάθετον
τὸ τῆς ὁμολογίας ἔχων φρόνημα,
μάρτυς,
ἐν Τριάδι σέβων ἕνα Θεόν,
τῶν βασάνων κατεφρόνησας
« εὐλογημένος εἶ
ὁ Θεός μου » κραυγάζων, Αὐξέντιε.

* Ὡς μακάριος
ἐν τῇ ἀμώμῳ ἐπορεύθης ὁδῷ,
γόνυ
εὐγνωμόνως κλίνας τῷ λυτρωτῇ
τὴν ψυχήν τε παραθέμενος
δεσποτικαῖς χερσὶν
εὐωδέστατον θῦμα, Αὐξέντιε.

* Ὁ δι' ὀρνέου
τῷ Ἠλιοῦ τροφὴν προσνέμων Θεὸς
οὗτος
τὴν σεπτήν σου κάραν θαυματουργῶν
τοῖς ποθοῦσιν ἀπεκάλυψεν
ὡς πολυπόθητον
πανδαισίαν τῷ κόσμῳ, Αὐξέντιε.

---

heirm. ζ′ EE 94, n. 133, Joannis   292-298, 299-305 trop. inverso ordine disponit Ce   293 ὁμολογίας] καρδίας Ce   post φρόνημα Sa repetit ἔχων   294 om. Cf Cu Q MR   μάρτυς] μάκαρ Sa   295 σέβω Ce   σέβειν Sa Cu Q MR Θεοῦ Sa   297 post εὐλο(γημένος) orat. abrumpunt Ea Sa Q   298 Αὐξέντιε] καὶ Κύριος Ce MR   299 μακαρίως Cf   300 ἐπορεύθης] σπεύσας μάκαρ Cu ὤφθης μάρτυς MR   303 τε] σου MR   305 εὐωδέστατον] ὥσπερ εὐῶδες Cu Αὐξέντιε] ἐξαίσιον Sa

---

306-307 III Regn. 17,4-6

Ὡς ἀκατάπληκτον
τὸ τοῦ Ὀρέστου περιδέξιον!
ὅπως
ἐν σταδίῳ λόγχῃ μὲν τοῦ σκοποῦ,
τῷ σταυρῷ δὲ εὐστοχώτατα
τῆς ματαιόφρονος
τοῦ Λυσίου ψυχῆς κατηκόντισεν.

Πολυειδέσιν
αἰκισμοῖς ἐκφοβῶν σε, μάρτυς, ἐχθρὸς
εὗρε
τὴν ψυχήν σου πέτρας ὡς ἀληθῶς
στερροτέραν· ἀνεβόας γάρ·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

* Συστρατιώτης,
συνοδοιπόρος καὶ συνδέσμιος,
σύμπνους
Εὐστρατίῳ τε καὶ συναθλητὴς
ὁ Ὀρέστης ἀναδέδεικται,
συγκληρονόμος δὲ
τῆς Χριστοῦ βασιλείας ἐπάξιος.

* Πυρὶ τῷ θείῳ
φλεγομένη πυρὸς οὐκ ἐφρόντισας·

---

313 κατάπληκτον Ea Sa Cu Q   317 τὸν σταυρὸν Cu   319 ψυχὴν Ea κατεκόντησεν Ea   320-326 tantum in Ce Ea, sed Ea post trop. « Συστρατιώτης » id collocat   327-333 trop. deest in Ce, idem ante « Ὁ δι' ὀρνέου » collocat MR   327 Σύνστρατιώτης Cf   Σὺ στρατιώτης Ea   329 σύμφρων Q MR   332 δὲ] τε Cu Q MR   334-340 trop. om. Cu Q

313-319 PG 116, 485: ... ἐκέλευε κατὰ τοῦ σκοποῦ βαλεῖν τὴν λόγχην. Καὶ τούτου τὴν χεῖρα ἰθύνοντος, καὶ τινάξαντος τὸ ὅπλον, τὸ φορούμενον ἐν τῷ στήθει αὐτοῦ χρύσεον σταυρίον τοῦ ἱματίου αὐτοῦ ἐκτιναχθέν, ἔξωθεν ἀνεφάνη, ὥστε θεάσασθαι πάντας, ἀλλὰ μὴν καὶ αὐτὸν τὸν Λυσίαν.

327-331 PG 116,485: Ὁ δοὺξ εἶπεν· Καὶ ὁ θαυμαστὸς οὗτος στρατιώτης, συνδεθεὶς τῷ δημίῳ ἐκείνῳ Εὐστρατίῳ, σύνοδος αὐτῷ ἐν τῇ ὁδοιπορίᾳ γενέσθω...

334-335 G. Rossi Taibbi, *op. cit.*, 66-68: Τότε κελεύει (Πασχάσιος) τοῖς ὑπηρέταις ἀνάψαι πῦρ μέγα κύκλῳ αὐτῆς... ὅπως τάχιον ἀναλωθῇ ἡ παρθένος... Κἀκείνη δὲ ἀσάλευτος διέμεινε...

ὅθεν
ἐπομβρίζεις πάντοτε τοῖς πιστοῖς
ἰαμάτων θεῖα νάματα
παθῶν ἐπίρροιαν,
ἀθλοφόρε Λουκία, ξηραίνουσα.

Τοῦ ἐπικήρου
τὴν συνουσίαν, μάρτυς, μνήστορος
πάντη
ἀπεκρούσω γνώμῃ τῇ καρτερᾷ·
οὐκ ἠνέσχου γὰρ τὸν Κύριον
ἅπαξ ἡρμοσμένη
ἡδοναῖς σου τὸ σῶμα δουλώσασθαι.

Οὐ τῇ ἀψύχῳ
λελατρευκέναι ὕλῃ πέπεισαι·
μόνῳ
τῷ Θεῷ θυσίαν γὰρ καθαρὰν
τὴν συνείδησιν καθ' ἕκαστον
προσανετίθεσο
καὶ ἐν αἰσθήσει πνεύματος γέγονας.

Τῷ ἀκλινεῖ σου
τῆς διανοίας ὄντως, πάνσεμνε,
f. 98 || ἔστης
καὶ τὸ σῶμα ἄθικτον πρὸς αἰσχρὰ
μὴ κινούμενον μιάσματα
πολυχειρίᾳ τε
τῶν ἀγόντων οὐδόλως ἀπήγετο.

---

337 -ζει Ea τοὺς πιστοὺς Ea 339 ἐπήρειαν Cf 340 ἀθληφόρε MR ξηραίροντα Ea 341-375 tantum in Cf 355 ἀκλινῆ Cf

---

348-353 Id., 58: Τότε Πασχάσιος συλλαβὼν τὴν ἁγίαν Λουκίαν ἠνάγκαζε θῦσαι τοῖς θεοῖς. Λουκία δὲ ... εἶπεν· « Θυσία εἰλικρινὴς παρὰ Θεῷ ἐστιν τὸ χήρας καὶ ὀρφανούς... ἐπισκέπτεσθαι ὄντας ἐν θλίψει καὶ ἀνάγκῃ, καὶ ἰδοὺ τρίτον ἔτος ἐστιν ἐξ οὗ θυσίας τοιαύτας προσφέρω Χριστῷ, τῷ ἀληθινῷ Θεῷ...»
357-361 Id., 64: Προσελθόντες οὖν στρατιωτῶν πλῆθος, ὤθουν αὐτήν· οὗτοι δὲ ἀτονίᾳ περιπεσόντες ἠσθένουν· ἡ δὲ παρθένος τοῦ Χριστοῦ ἀκίνητος ἵστατο.

351-352 Ps. 50,19

Τοὺς ἀνομοῦντας
τῇ παρρησίᾳ, μάρτυς, ἤλεγχες·
« πλάνοι,
τί τὴν κτίσιν σέβοντες ὡς Θεὸν
προσκυνεῖτε οὐ τὸν κτίσαντα;
τοῦτον γινώσκετε
πρὸ τῶν ὄντων ὑπάρχειν Θεὸν ἀληθῆ ».

Τοὺς ἐτησίως
τὴν ἱεράν σου μνήμην μέλποντας
πόθῳ
εὐσεβείᾳ φύλαττε ἀσινεῖς,
ὦ Λουκία, καὶ ἀξίωσον
ταῖς ἱκεσίαις σου
τῶν πταισμάτων τυχεῖν τῆς ἀφέσεως.

θεοτ. * Παρθενομῆτορ,
ὡς καθαράν σε καὶ ἀδιάφθορον
Λόγος
καθαρὸς ἠγάπησε καὶ ἐκ σοῦ
ἀνεπλάσατο σαρκούμενος
ὅλον τὸν ἄνθρωπον,
ὁ Λουκίαν δοξάσας τοῖς θαύμασιν.

ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας Δανιήλ*

* Χείλη ἐκπετάσας καθαρὰ
τὸ θεῖον εἵλκυσας
Πνεῦμα, Εὐστράτιε,
καὶ ψυχοφθόρων μὲν ἤλεγξας

---

367 γινώσκετε] γινώσκειν τε Cf 369 αἰτησίως Cf 376-382 aliud θεοτ. « Τὸ τοῦ ὑψίστου », MR I, 84, tradunt Cu Q
heirm. η΄ EE 94, n. 133, Joannis 386 ἤλεγξας] ἤλασας Ea

386-387 PG 116, 500: Ταῦτα τοίνυν ἐν ἐπιτόμῳ διεξῆλθον, ἵνα καὶ τῷ σοφῷ σου Πλάτωνι πεισθείς, καὶ παρ' ἐμοῦ τἀληθῆ διδαχθείς, ἀποτάξῃ τῷ πατραλοίᾳ ...

365-366 Rom. 1, 25

σεβασμάτων τὴν ἀσθένειαν,
τὸν ἐν Τριάδι δὲ Θεὸν
σέβων ἐβόησας·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

*   Τὴν σὴν καρτερίαν οὐκ εἰδὼς
τῇ τῆς φλογώσεως
θέᾳ ὁ τύραννος
πτοεῖν, Εὐστράτιε, ᾤετο
τὸ ἀήττητόν σου φρόνημα·
ἧς καταπτύσας τοῖς λαοῖς
χαίρων ἐκραύγαζες·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

*   Σοφαῖς ὑποθήκαις νευρωθεὶς
ταῖς σαῖς τὸ φρόνημα,
μάρτυς Εὐστράτιε,
ἐπὶ τὸν κράββατον ἥλατο
ὁ ἀήττητος Ὀρέστης βοῶν,
τοὺς καθαιρέτας τῆς φλογὸς
παῖδας μιμούμενος·

---

387 ἀσθένειαν] ἀσέβειαν Ea Sa   388 τῷ ἐν Τ. δὲ Θεῷ Ea   389 σ. ἐκραύγαζες Cu   σέβειν MR   390 post εὐλο(γεῖτε) orat. abrumpunt Ce Ea Sa   393 τῇ] τὸ Ea   394 θ. Εὐστράτιε Cu   395 Εὐστράτιε] ὁ τύραννος Cu   397 ἧς] ὧν Ea   ὃν Cu   οἷς Q   καταπτήξας Ea   398 post ἐκραύγαζες orat. varie detruncatur   404 εἵλατο Cu   405 ἀήττητος] ἀοίδιμος Cu   406 ἐν αἰκισμοῖς μαρτυρικοῖς Cu   καθηρέτας Ce

---

401-418 PG 116, 501: Ὁ δὲ ἅγιος Ὀρέστης ἀπαγόμενος, ἐδειλίασε καὶ προσεσχηκὼς τῷ ἁγίῳ Εὐστρατίῳ εἶπεν· Εὖξαι ὑπὲρ ἐμοῦ, ὅτι κάμνει μου ὁ λογισμός. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Μὴ ὀλιγώρει, ἀδελφὲ Ὀρέστα... παρίσταται γὰρ ἡμῖν ὁ Θεὸς βοηθῶν καὶ ἀντιλαμβανόμενος ...Ταῦτα ἀκούσας ὁ Ὀρέστης ἐθάρσησε, καὶ ἀνδρείῳ τῷ φρονήματι προσελθὼν ἥλατο, καὶ ἔστη ἐπάνω τοῦ πεπυρακτωμένου κραββάτου ἐκείνου, καὶ κατασφραγίσας ἑαυτόν, παραυτίκα ἀνακλιθείς, ἡπλώθη ὅλῳ τῷ σώματι ἐπὶ τοῦ πυρός, καὶ οὕτω κράξας φωνῇ μεγάλῃ, Κύριε, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου, παρέδωκε τὴν ψυχήν.

406-409 Dan. 3,21 sqq.

« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

*   Ἥπλωσας τὸ σῶμα καρτερῶς,
Ὀρέστα ἔνδοξε,
σὺ ἐπὶ κλίνης πυρός,
συγκατεφλέχθης δὲ μάρτυσιν
ἐν Κυρίῳ ἀγαλλόμενος,
ἐπανεπαύσω δὲ σκηναῖς
ταῖς οὐρανίαις βοῶν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Παρθένον καὶ σῶμα καὶ ψυχὴν
Θεῷ διέσωσας
καὶ προσενήνοχας
ὡς προῖκα πάντιμον, ἔνδοξε,
τὴν πολύτιμόν σου ἄθλησιν
καὶ εἰς νυμφῶνα νοητὸν
εἰσῆλθες μέλπουσα·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

*   Ἠμαύρωσας καρδίας δυσσεβῶν
καὶ νοῦν ἀλάστορα
f. 98v || καὶ ὑπερήφανον,
Λουκία πάνσοφε· πόνοις σου
εὐκλεέσιν ἐταπείνωσας
καὶ ἀνυψώθης πρὸς Θεὸν
ἐν πίστει ψάλλουσα·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

---

408 καὶ κραυγάζων Cu   post εὐλο(γεῖτε) orat. varie detruncatur   409 Κυρίου] ὑμνεῖτε Cu   411-412 σοῦ ἐπὶ κ. π. / Ὀ. ἔ. Ce   413 συγκατηλέχθης Ce   συγκατελέχθης Sa MR   414 ἐν Χριστῷ ἀγαλλιώμενος MR   415 ἐνανεπαύσω Sa Cu   δὲ] ταῖς Ce Ea Sa   416 ταῖ Ce   417 post εὐλο(γεῖτε) orat. abrumpunt cdd.   419-427 tantum in Ce Ea   422 προῖκα] πρὶν καὶ Ea   425 εἰσήχθης Ea   427 post Κυρίου orat. abrumpunt cdd.   428-436 deest in Cu Q   428 καρδίας] κόρας Ce Ea Sa MR   431 πάνσεμνε Ea Sa MR   434 ψάλλουσιν Ea

Σὺ τοῖς ἐνδεέσι δαψιλεῖ
χειρὶ διένειμας
τὸν πλοῦτον πάντα σου,
ἵνα τὸν τίμιον, ἔνδοξε,
μαργαρίτην ἀντωνήσῃ Χριστόν,
ὃν κεκτημένη ἐκβοᾷς
ἀκαταπαύστῳ φωνῇ·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Εὗρες τῶν καμάτων ἀμοιβὴν
τὴν μακαρίαν ζωήν,
παρθενομάρτυς σεμνή,
καὶ νῦν γεγηθυῖα πέφυκας
τῷ φωτὶ ἐλλαμπομένη Θεοῦ
σὺν τοῖς ἀΰλοις λειτουργοῖς
ἀεὶ κραυγάζουσα·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Ἄνω σὺν ἀγγέλων τοῖς χοροῖς
εὐφραινομένη ἀεί,
Λουκία πάγκλειτε,
ὑπὲρ τῆς ποίμνης σου αἴτησαι
πρὸς Θεὸν τοῦ περισκέπεσθαι
ἐκ ψυχοφθόρων τοῦ Θεοῦ ἐχθροῦ
βελῶν ἀπήμαντον,
ἵνα πόθῳ,
μάρτυς, γεραίρῃ τὴν θείαν σου ἄθλησιν.

437-472 trop. et θεοτ. tantum in Cf   441 ἀνθωνίσῃ Cf   444, 453 post εὐλογεῖτε orat. detruncatur in Cf   457 πάγκλητε Cf

---

437-439 G. Rossi Taibbi, *op. cit.*, 56: Ἀρξαμένων δὲ αὐτῶν πωλεῖν τὰ ὑπάρχοντα αὐταῖς καὶ πτωχοῖς ταῦτα διανέμειν... ἡ δὲ ἅπαντα πωλήσασα διένειμεν τοῖς δεομένοις...

440-441 Matth. 13,45

θεοτ. * Κυρίως γεννήσασα Θεόν,
κυρίως, πάναγνε,
μήτηρ ἐκλήθης Θεοῦ
ἐπαληθεύουσαν φέρουσα
καταλλήλως τῷ γεννήματι
θεωνυμίαν· οἱ πιστοὶ
ὅθεν δοξάζομεν
θεοτόκον
σὲ θεοφρόνως, πανάμωμε δέσποινα.

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

* Θείων μετασχεῖν μυστηρίων
ἐπιποθήσας, ἀθλοφόρε,
καὶ θεοφανείας φωταυγοῦς
κατηξιώθης, μάκαρ Εὐστράτιε,
πρὸς οὐρανοὺς καλούσης σε
τῷ ποθουμένῳ ὁμιλῆσαι Θεῷ.

* Τῷ θείῳ βαλλόμενος πόθῳ
πρὸς τὴν ἐντεῦθεν ἐκδημίαν
καὶ τὰς τῶν τυράννων θωπείας
σαφῶς ἐλέγξας, μάκαρ Εὐστράτιε,
πρὸς τὸ βραβεῖον ἔσπευσας
ἀθλητικῶς τῆς ἄνω κλήσεως.

* Σφόδρα γεγηθώς, ἀθλοφόρε,
τῇ χαρμοσύνῳ ἀποφάσει

464-472 θεοτ. MR IV, 196-197; aliud θεοτ. « Ὤφθης ὑπερτέρα οὐρανῶν » praebent Ce Ea Sa MR; Cu Q vero θεοτ. « Σὺ μόνη ἐν πάσαις γενεαῖς », MR I, 84, proferunt   466 ἐκλήθης] ἐδείχθης MR

heirm. θ' EE 94, n. 133, Joannis   475 τηλαυγοῦς MR   477 π. οὐ. ἀνέπτης δὲ Ea   478 ὁμιλήσας Q   Θεῷ] Χριστῷ Ea Cu Q MR   479-484, 485-490 trop. inverso ordine praebet Ce   482 σαφῶς] σοφῶς Ea Sa Cu στερρῶς Q   σφοδρῶς MR   μάκαρ] μάρτυς Q   483 ἔσπευδες Cu   485-490 om. Sa

---

473-478 PG 116, 504: ... πληρωθείσης τῆς ἀναιμάκτου θυσίας... φωνὴ ἦλθε λέγουσα· Εὐστράτιε, καλῶς ἠγωνίσω· δεῦρο λοιπὸν ἀπόλαβέ σου τὸν στέφανον.

τῆς τυραννικῆς παροινίας
τὸν ἀθλοθέτην σου ἐμεγάλυνας
ὑμνολογῶν, Εὐστράτιε,
τὸν τοῦ θανάτου καταλύτην Χριστόν.

f. 99 || Ὥσπερ εἰς ὡραῖον λειμῶνα
καὶ νυμφικὴν Χριστοῦ παστάδα
τὴν ἐπὶ πολὺ κεκαυμένην
καὶ ἐπηρμένην φλόγα, Εὐστράτιε,
ὡς νικητὴς εἰσέδραμες
ἐν τῷ Κυρίῳ ἀγαλλόμενος.

* Δεῦτε, φιλομάρτυρες πάντες,
τοὺς τῆς ἀπάτης καθαιρέτας
ἱεροῖς Εὐγένιον ὕμνοις,
σοφὸν Ὀρέστην τε καὶ Μαρδάριον
καὶ σὺν αὐτοῖς Αὐξέντιον
σὺν Εὐστρατίῳ μεγαλύνωμεν.

Κλῆμα τῆς ἀμπέλου δειχθεῖσα
τῆς νοητῆς, μάρτυς Λουκία,
ἤνεγκας ἀθλήσεως βότρυν
σωτηριώδη οἶνον ἐκβλύζοντα,
τὸν τὰς ψυχὰς εὐφραίνοντα
τῶν εὐσεβῶς μακαριζόντων σε.

---

488 -νες MR 491 λειμῶνα] νυμφῶνα Ce 495 νικητὴν Sa 499 ἱερεῖς Ea 500 σοφῶν Ea 501 αὐτῷ Cf 502 μακαρίσωμεν Ce MR μεγαλύνοντες Ea post «Δεῦτε, φιλομάρτυρες πάντες,» hoc τριαδ. Cu: Μονάδα μὲν θείας οὐσίας, / ἀλλ' ὑποστάσεων Τριάδα / πάντες οἱ πιστοὶ προσκυνοῦμεν / ἐν ἀσυγχύτοις ταῖς ὑποστάσεσιν, / ἰσοσθενῆ, ὁμότιμον· / ἣν εὐσεβοῦντες μεγαλύνομεν. 503-508 desunt in Ea Cu Q 503 δειχθεῖσαν Sa

---

491-496 PG 116, 505: ... ἤδη ἀναφθείσης τῆς καμίνου καὶ ἐπὶ πολὺ καιομένης, ποιησάμενος τὴν ἐν Χριστῷ σφραγῖδα, εἰσῆλθεν εἰς αὐτὴν ψάλλων καὶ ἀγαλλιώμενος, καὶ οὕτω παρέδωκε τὸ πνεῦμα.

---

503 Joh. 15,5

Ὡς κέδρος ἡδύπνοος ὤφθης
καὶ ὡς κατάκαρπος ἐλαία·
ἔλαιον σεπτοῦ μαρτυρίου
ἐν ἀφθαρσίᾳ ἡμῖν ἐπήγασας
τοῖς εὐσεβῶς τὴν μνήμην σου
πανηγυρίζουσι, πανεύφημε.

* Ὡς περικαλλὴς καὶ ὡραία
καὶ περιδέξιος παρθένος
τῷ περικαλλεῖ καὶ ὡραίῳ
καὶ ἐκ παρθένου σεσαρκωμένῳ Χριστῷ
στεφανηφόρος πάντοτε
ἐν οὐρανοῖς, μάρτυς, παρίστασαι.

Δεῦτε, φιλομάρτυρες, πόθῳ
τὴν καλλιμάρτυρα Λουκίαν
θείοις καταστέψωμεν ὕμνοις
ὡς ἱκεσίας τῷ ἐπὶ πάντων Θεῷ
ὑπὲρ ἡμῶν προσφέρουσαν
τῶν φιλεόρτως γεραιρόντων αὐτήν.

Ξίφει τὸν αὐχένα κρουσθεῖσα,
παρθενομάρτυς ὦ Λουκία,
οὕτω τῶν ἐνθένδε μετέβης
πρὸς τὰς ἀλήκτους τῶν οὐρανίων μονὰς
καὶ ζῇς ἀεὶ δοξάζουσα
τὸν θείᾳ δόξῃ σε λαμπρύναντα.

Ἔμψυχον ὡς ἔχοντες πάντες
σὲ θησαυρόν, Λουκία μάρτυς,
ἐν τῇ τῶν λειψάνων σου σορῷ

509-514 desunt in Sa Cu Q 511 ἔλεον Ea 514 πανεύφημοι Ce 515-520 trop. om. Cu Q, ut θεοτ. utitur in Ce Sa 518 Χριστῷ] Θεῷ Ce Ea Sa 519 πάντοτε] ἔνδοξε MR 520 Μάρτυς Λουκία, νῦν π. MR 521-550 trop. et θεοτ. tantum Cf profert

---

535-537 G. Rossi Taibbi, *op. cit.*, 70: ...αὐτῆς πρεσβευούσης εὐεργεσίαν καὶ παθῶν ἴασιν λαμβάνουσιν οἱ πίστει προσερχόμενοι τῷ λειψάνῳ αὐτῆς...

---

530 Joh. 14,2

πίστει ἰόντες τὴν ῥῶσιν εὕροιμεν
τῶν ἀλγεινῶν, ἀοίδιμε,
ἵνα σε πόθῳ μακαρίζωμεν.

f. 99v ‖ Σῶζε τὸν λαόν σου, ὦ σῶτερ,
αἵματι σῷ ὅνπερ ἐκτήσω
καὶ τοῦ βασιλέως τὰ σκῆπτρα
κατὰ βαρβάρων ταῖς νίκαις κράτυνον,
τὴν πίστιν δὲ ἑδραίωσον
τῆς ἀθληφόρου ταῖς ἐντεύξεσιν.

θεοτ. * Σειρὰς τῶν ἐμῶν νῦν πταισμάτων
λῦσον, παρθένε θεοτόκε,
ἡ τῆς εὐσπλαγχνίας τὴν πηγὴν
τεκοῦσα μόνη, θεομακάριστε,
καὶ θυμηδίας ἔμπλησον,
ὅπως ἀξίως μακαρίζω σε.

538 μακαρίζομεν Cf 545-550 θεοτ. MR I, 85; aliud θεοτ. « Φῶς ἡμῖν ἀνέτειλας μήτρας » Sa MR; in Ea autem hoc θεοτ. legitur:

Μόνη μετὰ τόκον παρθένος
ὡς πρὸ τοῦ τόκου διαμένεις·
μόνον με διὸ ἁμαρτόντα
καὶ μόνον ὄντα αὐτοκατάκριτον,
μόνη βροτῶν βοήθεια,
τῆς συγχωρήσεως ἀξίωσον.

Q aliud θεοτ. « Σαρκὶ ἐπιδημῆσαι θελήσας », MR II, 168; in Cu θεοτ. deest, cuius spatium scriba vacuum reliquit

IN SANCTAM LUCIAM

Crypt. Δ.α. XIV = Cf, ff. 100-101v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἄδω πολίτης, Λουκίη, σοὶ Μεθόδιος.

Ἦχος δ'.
ᾠδὴ α'. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος*

Ἀπόροις πρεσβευτικῶς παράστηθι,
παρθενομάρτυς Χριστοῦ,
καὶ σκοτεινοῖς δᾳδούχησον εὐχαῖς,
φερωνύμως φωτόκλητε·
ἁμαρτιῶν κακώσει γὰρ
καὶ τῆς ζωῆς ἐξηπορήμεθα.

Δεδόξασται ἐν τῇ σῇ ὁ Κύριος
ὁμολογίᾳ, σεμνή,
καὶ συνεδόξασέ σε ἑαυτῷ·
ἐν Θεῷ γὰρ ἡ δόξα σου
τῷ ἀληθῶς δοξάζοντι
τοὺς τοῦτον πάντοτε δοξάζοντας.

Ὡς μήτηρ δι' εὐβουλίας πέφυκας
τῇ τεξαμένῃ σε
καὶ χειρουργίᾳ λόγων τῶν πιστῶν

tit. Ἕτερος κανὼν τῆς ἁγίας Λουκίας φέρων ...
heirm. α' EE 94, n. 133, Joannis

13-18 F. Halkin, *Une passion grecque abrégée de Sainte Lucie*, « Classica et Medievalia » 17 (1956), 73: ... ἡ ἁγία Λουκία ὁρᾷ τὴν ἁγίαν Ἀγάθην μέσον δύο ἀγγέλων δεδοξασμένην καὶ προσαγορεύουσαν αὐτὴν καὶ λέγουσαν· « Ἀδελφὴ Λουκία, τί ζητεῖς παρ' ἐμοῦ ὅπερ σὺ μέλλεις ἑτέροις παρέχειν; Ἰδοὺ ἡ μήτηρ σου ἔσται ὑγιὴς διὰ τῆς σῆς πίστεως. Καὶ ὥσπερ εὐεργετεῖται δι' ἐμοῦ ἡ Καταναίων πόλις, οὕτως διὰ σοῦ ἡ τῶν Συρακουσέων πόλις σωθήσεται ».

ψυχικὴν τὴν αἱμόρροιαν
ἀναστομῶσαι πέφυκας
τῇ συνδρομῇ σου πρὸς τὴν μάρτυρα.

θεοτ. * Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι
ἐκ θείου Πνεύματος
τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν
καὶ σαρκὶ ἀπεκύησας
τὸν ἐκ πατρὸς ἀμήτορα
καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*
καὶ ἀνυμνήσω Χριστὸν τὸν φιλάνθρωπον.

Πέλαγος παρθενίας θαυμάτων
μαρτυρικῶς πενταρίθμῳ κυμαίνεται.

Ὅρμος παρθενικοῦ τοῦ λιμένος
μαρτυρικῇ σὺν γαλήνῃ ὑφήπλωται.

Λάμπει συνημερεύουσα χάρις
τῶν ἀθλητῶν τῇ παρθένῳ καὶ μάρτυρι.

θεοτ. * Ἄχραντε θεοτόκε παρθένε,
ὑπὲρ ἡμῶν τὸν σωτῆρα ἱκέτευε.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἰάσω τῇ συμβουλῇ
τὸ μητρικὸν ὡς ἀληθῶς τάχιστα,

19-24 θεοτ. MR I, 79; AHG VIII, 168; cfr. sup. canon. XI, vv. 19-24   21 post Θ(εοῦ) orat. abrumpit cd.; eam supplevi auxilio MR
heirm. β' EA 21 (1901), 469; eisdem verbis in EE 44, n. 59, heirm. datur, ut ad modum secundum pertinens, quamquam in ipso EE, 168, n. 236 in ἦχ. πλ. β' censetur   31-32 θεοτ. AHG V, 167
heirm. γ' EE 94, n. 133, Joannis

33-36 Id., 73: Καὶ εὐξαμένων αὐτῶν ἔφη πρὸς τὴν μητέρα τὸ ῥητὸν τοῦ εὐαγγελίου περὶ τῆς ἰαθείσης αἱμόρρου ὅτι: « Ἡ μάρτυς Ἀγάθη δούλη οὖσα τοῦ Κυρίου, παρρησίαν ἔχε πρὸς αὐτὸν καὶ τῇ πρεσβείᾳ αὐτῆς ἰαθήσῃ ἐὰν ἅψῃ τῆς λάρνακος αὐτῆς » ... Ἔξυπνος δὲ γενομένη εὗρεν τὴν μητέρα ὑγιῆ.
33-36 G. Rossi Taibbi, *Martirio di S. Lucia*, Palermo 1959, 52: ... ἡ ἁγία Λουκία εἶπεν· « Ὦ μῆτερ ... ἅψαι οὖν, εἰ βούλῃ, τῆς σοροῦ πιστεύουσα καὶ σωθήσῃ ».

μάρτυς Χριστοῦ, νόσημα
πίστεως ἐνθεῖσα τὸ φάρμακον.

Τὰ τῶν εὐαγγελικῶν
ἀναγνωσμάτων πρακτικῶς εὕρηκας
ἐπὶ μητρὶ πίστεως
χρόνον διασχοῦσα τὸ ἔμμεσον.

Ἡ πίστις σου τὴν Θεοῦ
ἀγαθεπώνυμον, ἀμνάς, μάρτυρα
ὥσπερ Χριστοῦ κράσπεδον
ἴαμα μητρὶ ἀπεσύλησεν.

θεοτ. * Σὺ μόνη τοῖς ἐπὶ γῆς
τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος,
μήτηρ Θεοῦ, γέγονας·
ὅθεν σοι τὸ « χαῖρε » κραυγάζομεν.

f. 100v || ᾠδὴ δ'. *Δι' ἀγάπησιν, οἰκτίρμον, τῆς σῆς εἰκόνος*

Στεφανούσθω ἐκκλησία τῶν ὀρθοφρόνων
παρθενικῶν αἱμάτων
καὶ χορῷ ἀθλοφόρων
ὡς ἄνθεσιν αἵμασι
τὸ κάλλος φοινίσσουσα.

Λαμπρυνέσθω ἡ καρδία τῶν ὀρθοδόξων
τῇ τῆς ἀμνάδος πίστει
καὶ ἁγνῆς φωτωνύμου
τὴν χάριν κηρύττουσα
τοῖς πέρασι σήμερον.

45-48 θεοτ. MR I, 80; AHG VIII, 169   46 post πρόξε(νος) orat. abrumpit cd.; eam supplevi auctoritate MR
heirm. δ' EE 97, n. 138, Joannis

37-44 Id., 50-52: Ἐγένετο δὲ ἐν τῷ ἀκούειν αὐτὰς τῶν ἁγίων εὐαγγελίων περὶ τῆς αἱμοῤῥοούσης, ὡς ὅτι τοῦ κρασπέδου ἁψαμένη τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτυχεν ἰάσεως...

37-38 Marc. 5,25-30

Οὐ πρὸς αἵματος συμβόλαιον ἡ παρθένος,
ἀλλ' ἐξ αἱμάτων γράφει
πρὸς τὸ ἅγιον πνεῦμα,
οὐ μέλανι βάπτουσα,
λευκαίνουσα πίστει δέ.

θεοτ. Ὑποδὺς γαστέρα τὴν σήν, ὦ θεομῆτορ,
ὁ πρὸ αἰώνων Λόγος
γεννηθεὶς ἀπορρήτως
ἐκ πατρὸς τὴν μάρτυρα
τῇ πίστει ἐστήριξεν.

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*

Ὑπὸ τῆς τοῦ Χριστοῦ
γλυκηρᾶς διαθέσεως
τὴν φρένα σου βεβλημένην
σαρκικῆς τῆς ἐλάφου
φιλίαν ἀπηγχόνισας.

Κροτῶμέν σοι, ἁγνή,
παρθενίας συνάλλαγμα·
ἁγνεύεις γὰρ ἐν μνηστείᾳ
παρθενεύουσα γάμῳ,
τεκνοῦσαι δὲ τὴν ἄθλησιν.

Ἰαίνεται Χριστός,
ἀντευφραίνει παρθένος δέ·
ἐν πνεύματι συμπλακεὶς γὰρ
συντηρεῖς καὶ τὸ σῶμα
τῆς ἁγνῆς ἀειπάρθενον.

θεοτ. * Σὲ ὅπλον ἀρραγὲς
κατ' ἐχθρῶν προβαλλόμεθα,

---

60 γράφη
heirm. ε' EE 94, n. 133, Joannis 82 fort. συντηρεῖ 83 ταῖς ἁγναῖς
84-88 θεοτ. MR I, 81; AHG VIII, 170; cfr. sup. canon. XI, vv. 112-116
85 post προβαλλόμεθα orat. detruncatur; eam complevi auxilio MR

σὲ ἄγκυραν καὶ ἐλπίδα
τῆς ἡμῶν σωτηρίας,
θεόνυμφε, κεκτήμεθα.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Ἡ μήτηρ
τῇ θυγατρὶ τεκνοῦται ὑπήκοα
προσηγορίαν μηκέτι
τοῦ φθαρτοῦ νυμφίου προτίθεσθαι
ἀθανάτου·
τῶν κατ' αὐτὴν χαρίτων γὰρ ηὔλισται.

Συνήχθη
τῷ σκεδάννυσθαι πλοῦτος, παρθένε, σοὶ
σὺν ἐγχειρήσει μητρῴᾳ·
τὰς πολυχρονίους ὑπάρξεις γὰρ
οὐρανίοις
θησαυροῖς μετεθήκατε τάχιστα.

Ὁ πλοῦτος
ἀδελφοῖς ἐλαχίστοις μεμέρισται
τοῖς τοῦ Κυρίου· αὐτῶν δὲ
διὰ παλαμῶν τοῦ Θεοῦ ταῖς χερσὶν
ἠσφάλισται,
ὧν οὐδεὶς ἀφαρπάζει, ὡς εἴρηται.

---

heirm. ς' EE 94, n. 133, Joannis 96 τὸ σχεδανῦσθαι

89-94 Id., 54: Ἀλλ' ὅμως παρακαλῶ σε μηδαμῶς μοι νυμφίου ὄνομα ἐνεγκεῖν, μηδὲ ἐπιθυμῆσαι φθαρτὸν καρπὸν ἐξ ἐμοῦ ἰδεῖν· ἀλλ' ὅσαπερ ἔχεις πρόθεσιν δοῦναί μοι εἰς προῖκα ζευγνυμένη φθαρτῷ ἀνδρί, δός μοι ἀπερχομένης μου πρὸς τὸν ἀθάνατον νυμφίον Ἰησοῦν Χριστόν, τὸν κύριον ἡμῶν· πολλὰ γὰρ ἡμῖν ἐπαγγέλλεται διδόναι χαρίσματα.
101-103 Cfr. sup. canon. XX, vv. 437-439.

103-106 Joh. 10, 28

f. 101 θεοτ. * || Ὦ θαῦμα
τῶν ἁπάντων θαυμάτων καινότερον!
ὅτι παρθένος ἐν μήτρᾳ
τὸν τὰ σύμπαντα περιέποντα
ἀπειράνδρως
συλλαβοῦσα οὐκ ἐστενοχώρησεν.

ᾠδὴ ζ′. *Ἐν τῇ καμίνῳ*

Ἰσηγοροῦσα
τῇ θυγατρὶ ἡ μήτηρ ἔνθεα
ἔφη
πυθομένῳ πρᾶσιν ὑπαρκτικὴν
τῷ νυμφίῳ ὅτι εὕρηται
χιλιοπλάσιον
εἰσφορᾶς τῇ παρθένῳ ἀντέκτισις.

Μεθοδευθέντι
τὴν ἀκοὴν τῷ βεβυσμένῳ τὸν νοῦν
κόρη
σὺν μητρὶ τὰ πάντα δοῦσα Θεῷ
πρὸς τὴν ἄθλησιν εὐτρέπιστο·
οὐ συγκτήτωρ,
οὐ μνηστήρ, ὁλικῶς δὲ προδότης δεινός.

Ἐπὶ παστάδα
ἀπὸ νυμφῶνος ἀμφιβέβηκας,
μάρτυς,

107-112 θεοτ. MR I, 82; AHG VIII, 171; cfr. sup. canon. XI, vv. 135-140 110 περιέχοντα MR
heirm. ζ′ EE 94, n. 133, Joannis 119 εἰσφορᾶς scripsi: εἰσφθορᾶς cd. ἀντέκτησις 125 συνεκτήτωρ

113-126 Id., 56: ... τοῦ ταύτην ἁρμοσαμένου, ὅστις, ἐν φροντίδι γενόμενος, ἐπυνθάνετο παρὰ τῆς μητρὸς ποῦ ἂν εἴη ἡ Λουκία καὶ τίνος χάριν κοσμίων καὶ ἱματισμοῦ καὶ χωρίων γίνεται πρᾶσις. Ἡ δὲ ἀποκριθεῖσα ἀπλάστως εἶπεν· « Ἡ σὴ νύμφη χωρίον εὗρεν, χιλίων νομισμάτων εἰσφορὰν ἔχον τὸ κατ᾽ ἔτος, ἐπὶ πράσει, βουλομένη ἐπὶ τῷ σῷ ὀνόματι ὠνήσασθαι τοῦτο ». Ὁ δὲ πιστωθεὶς ἀνεχώρησεν, εἰπὼν τὴν ἡμίσειαν τιμὴν παρέχειν τοῦ χωρίου...

τοῦ φθαρτοῦ εἰς ἄφθαρτον ἀληθῶς
ἀγγελῶδες καταγώγιον,
ἀντὶ πομπεύσεως
ἀνθρωπίνου νυκτὸς ἡμερεύουσα.

θεοτ. * Τὸ τοῦ ὑψίστου
ἡγιασμένον θεῖον σκήνωμα,
χαῖρε·
διὰ σοῦ γὰρ δέδοται ἡ χαρά,
θεοτόκε, τοῖς κραυγάζουσιν·
« εὐλογημένη σὺ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε ».

ᾠδὴ η′. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Θεὸς συμπαρέστη σοι, ἁγνή,
ἐπὶ τοῦ σκάμματος,
οὗ καὶ τῷ πνεύματι
λαλοῦσα ἔδειξας ἄφρονα
καὶ ληρώδη τὸν ἐτάζοντα
ἐπαγωγαῖς τῶν αἰκισμῶν
ἄθικτος ψάλλουσα·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Ὁ στήσας τὰ ὄρη ἐν σταθμῷ
Θεὸς καὶ νάπας ζυγῷ

---

132 ἀντεπομπέμψεως 134-140 θεοτ. MR I, 83; AHG VIII, 172; cfr. sup. canon. XI, vv. 171-176 139 post εὐλο(γημένη) orat. detruncatur
heirm. η′ EE 94, n. 133, Joannis 148, 157 post εὐλο(γεῖτε) orat. abrumpitur

---

154-156 Id., 64-66: ... ἤρξαντο ὁμοῦ πάντες σύρειν αὐτήν, κἀκείνη ὥσπερ βουνὸς διέμεινεν ἀσάλευτος ... πάλιν κελεύει ἐνεχθῆναι ζεύγη βοῶν πάμπολλα, ὅπως κἂν διά τῶν βοῶν δυνηθῶσιν ἑλκύσαι αὐτήν ... Πασχάσιος εἶπεν· « Ποίᾳ προφάσει, κόρη, ἀπὸ χιλίων ἑλκομένη οὐ κινεῖσαι; »

150-151 Is. 40,12

οὗτος ἀνέδειξε
τὴν πεποιθυῖάν σε, ἔνδοξε,
ἐπ' αὐτῷ καθάπερ ὄρος Σιών,
τῆς χιλιάδος κτηνωδῶν
ἑλκόντων, ἄσειστον·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Δρόσῳ διομβρίζουσαν ζωὴν
ἁγνείας πνεύματι
τὴν τῆς φλογώσεως
πυρὰν ἐτέφρωσας κύκλῳ σου·
τοὺς ἐκκαύσοντας γὰρ ἄσβεστον
δικαιοκρίτῃ τῷ Θεῷ
πῦρ διαδέχεται
μὴ βοῶντας·
« πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

θεοτ. * Σὺ μόνη ἐν πάσαις γενεαῖς,
παρθένε ἄχραντε,
μήτηρ ἐδείχθης Θεοῦ·
σὺ τῆς θεότητος γέγονας
ἐνδιαίτημα, πανάμωμε,
μὴ φλογισθεῖσα τῷ πυρὶ
f. 101v ‖ τοῦ ἀπροσίτου φωτός·
ὅθεν πάντες
σὲ εὐλογοῦμεν, Μαρία θεόνυμφε.

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ἰάματα πρὸ μαρτυρίου,
τερατουργίας δὲ ἀθλήσει,
δόγματα, σοφή, ἀφθορίας,

---

155 κτηνωδὸν 166 βοῶντα 167 post πάντα orat. detruncatur
168-176 θεοτ. MR I, 84; AHG VIII, 173-174; cfr. sup. canon. XI, 204-212 heirm. θ' EE 94, n. 133, Joannis

Λουκία, βρύεις καὶ μετ' ἀπόφασιν
εἰρηνικὴν κατάστασιν
τῇ ἐκκλησίᾳ προφητεύεις, ἁγνή.

Οἱ ὅροι θεόθεν παγέντες
τῇ φωτωνύμῳ ὡς καὶ πᾶσιν
ἐξ ὅρων παράφρονα ὄντως
τὸν ταύτης θύτην τύραννον ἤλεγξαν·
καὶ ἐκτμηθεῖσα εὗρε γὰρ
Χριστὸν ὡς ᾔτησε διόρισμα.

Σὺ καὶ ἐκτμηθεῖσα, παρθένε,
τῶν τοῦ Χριστοῦ μετέσχες δώρων·
καὶ νῦν σκιμποδίῳ πρὸς τύμβον
ὑπνοῦσα ὥσπερ συνανακλίνει Θεῷ
ἱκετικῶς ἐν πνεύματι
τοῖς ὑμνηταῖς ἱλεουμένη αὐτόν.

θεοτ. * Ὡς ῥίζαν ὑπάρχουσαν ὄντως
τῆς ἀφθαρσίας σε, παρθένε,
πάντες οἱ πιστοὶ πεπεισμένοι
ταῖς εὐφημίαις καταγεραίρομεν·
σὺ γὰρ τὴν ἐνυπόστατον
ἀθανασίαν ἡμῖν ἔβλυσας.

---

185 ὅρον 186 ἤλεγξας 187 -θεῖσαν 191 τύμβων 195-200 θεοτ. AHG III, 515

180-182 Id., 68: . . . καὶ προσομιλήσασα τοῖς παρεστῶσιν λέγει· «Ἰδοὺ προμηνύω ὑμῖν εἰρήνην δοθῆναι ταῖς ἐκκλησίαις τοῦ Θεοῦ . . .».

14 DEC. *CANON* XXII

IN SANCTOS THYRSUM, LEUCIUM ET SOCIOS

Synaxarium, 305-307: Ἄθλησις τῶν ἁγίων μαρτύρων Θύρσου, Λευκίου καὶ Καλλινίκου. Ἐπὶ Δεκίου τοῦ βασιλέως Κουμβρίκιος ὁ ἡγεμὼν διωγμὸν μέγαν ἐκίνησεν κατὰ τῶν χριστιανῶν ἐν τοῖς μέρεσι Νικομηδείας, χύνων τὰ τῶν ἀνθρώπων αἵματα καθ' ἑκάστην ὡς ὕδωρ. Λυπηθεὶς δὲ ὁ Λεύκιος, χριστιανὸς ὑπάρχων καὶ φοβούμενος τὸν Θεόν, ἀπῆλθεν εἰς τὸν ἡγεμόνα λέγων· «Κύων ἀκόρεστε, ἕως πότε ἐκχέεις τὸ τῶν ἀνθρώπων αἷμα ὥσπερ ὕδωρ, καταναγκάζων αὐτοὺς προσκυνεῖν λίθους καὶ ξύλα ἄψυχα καὶ ἀναίσθητα;» Ὀργισθεὶς δὲ ὁ ἡγεμὼν ἐκρέμασεν αὐτὸν καὶ ἔξεσε τὰς σάρκας αὐτοῦ· εἶτα ἀπεκεφάλισεν αὐτόν. Ὑπήντησε δὲ τῷ ἡγεμόνι καὶ ὁ ἅγιος Θύρσος καὶ ὠνείδισεν αὐτόν, ὡς ἐπιχαίροντα τοῖς αἵμασι τῶν ἀνθρώπων· καὶ ἐκρατήθη καὶ αὐτὸς καὶ ἐδέθη χεῖρας καὶ πόδας καὶ ἐξεκεντήθη τοὺς ὀφθαλμοὺς καὶ συνετρίβη τὰ σκέλη. Ὅτε καὶ παραδόξως ὑγιασθεὶς ἐπισπᾶται πρὸς τὴν πίστιν τὸν Καλλίνικον, ἱερέα τῶν εἰδώλων ὑπάρχοντα· εἶτα ἐδέθη, ἵνα σχισθῇ μέσον μετὰ τοῦ πρίονος· καὶ πρὸ τοῦ σχισθῆναι καὶ διχοτομηθῆναι παρέθετο τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ ζῶντος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι πλησίον Ἑλενιανῶν.

Crypt. Δ.α. XIV = Cf, ff. 102ᵛ-106ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Θύρσος καθεῖλε Λεύκιός τε τὴν πλάνην.
⟨Ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος*

Θαλάμοις ἐν οὐρανίοις, Κύριε,
ὁ τοὺς ἁγίους σου
κατασκηνώσας, δέσποτα Χριστέ,

tit. nomen hymnographi Γεωργίου e θεοτ. litteris initialibus deducitur heirm α' EE 94, n. 133, Joannis 1 οὐρανοῖς

καὶ ἡμᾶς τοὺς τιμῶντας αὐτοὺς
καὶ σὲ ὑμνοῦντας, εὔσπλαγχνε,
μοναῖς σου δόξης ἐγκατάπαυσον.

Ὑλώδους καὶ σαρκικῆς οἱ μάρτυρες
ἁπάσης σχέσεως
τὰς ἑαυτῶν χωρίσαντες ψυχὰς
τῷ Χριστῷ ἐκολλήθησαν
Θύρσος ὁμοῦ καὶ Λεύκιος
καὶ ὑπὲρ τούτου στερρῶς ἤθλησαν.

Ῥομφαίαν ὁμολογίας, ἅγιοι,
τοῦ πολεμήτορος
ἐν τῇ καρδίᾳ πήξαντες στερρῶς
δι' ἀγώνων ἀθλήσεως
τοῦτον ἐθανατώσατε
καὶ κατ' αὐτοῦ νίκην ἐστήσασθε.

Σοφίᾳ τῇ τοῦ Χριστοῦ κοσμούμενοι
Θύρσος καὶ Λεύκιος
τὰς ἐν τοῖς λόγοις ἤλεγξαν πλοκὰς
τῶν Ἑλλήνων πιστούμενοι
τοὺς λόγους ἐν τοῖς πράγμασιν
ὡς ἀληθείας ὄντες μάρτυρες.

θεοτ. * Γνωρίσαι τὴν ἑαυτοῦ βουλόμενος
πᾶσι χρηστότητα
ὁ σαρκωθεὶς ἐκ σοῦ ὡς ἀγαθὸς
ἀπαρχήν σε ἐδέξατο
καταλλαγῆς τῆς κρείττονος,
δι' ἧς, παρθένε, οἰκειούμεθα.

9 χωρήσαντες in marg. χωρίσαντες 16 διαγόνων 25-30 θεοτ. AP 18 (1953), 239

13-15 PG 116, 509: ... οὐδὲ ἤνεγκε (Λεύκιος) τοῦ λοιποῦ τὴν εὐσέβειαν λανθάνουσαν ἔχειν, οὐδὲ κατέχειν ἐπὶ πλέον τὴν παῤῥησίαν, ἀλλὰ τὸν τότε καιρὸν ἐπιτηδειότατον εἶναι ὥστε ταύτην δήλην ποιήσασθαι οἰηθείς ... 513:... ὁ Θύρσος, θάρσους ὑποπλησθείς, μετὰ πλείονος ἤλεγχε μᾶλλον τὸν ἡγεμόνα τῆς παῤῥησίας.

6 Joh. 14,2 29 Rom. 5,11

f. 103 ᾠδὴ γʹ. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ὁπλίσαντες ἑαυτοὺς
τῷ θείῳ πόθῳ τοῦ Χριστοῦ, ἅγιοι,
τὰς τῶν ἐχθρῶν προσβολὰς
χάριτι αὐτοῦ ἀπεκρούσασθε.

Σαλεύσαντες τοὺς βωμοὺς
τῆς ἀσεβείας οἱ σοφοὶ μάρτυρες
τὰς τῶν συνάθλων ψυχὰς
ἐν τῇ ἀληθείᾳ ἐστήριξαν.

Κρατῆρος τοῦ νοητοῦ
ἀπογευσάμενοι, σοφοί, γνώσεως
ὑπὲρ αὐτοῦ εὐσθενῶς
θείᾳ ἡδονῇ ἐνηθλήσατε.

θεοτ. * Ἐσχίσθη τὸ τῆς ἀρᾶς
καὶ παραβάσεως τῆς πρίν, δέσποινα,
διὰ τῆς σῆς, ἄχραντε,
θείας μεσιτείας χειρόγραφον.

f. 103v Κάθισμα.

Ἦχος δʹ. Πρός· *Κατεπλάγη Ἰωσὴφ*

Εὐσεβείας θυρεῷ
....

heirm. γʹ EE 94, n. 133, Joannis 43-46 θεοτ. AP 18 (1953), 239; AHG III, 113 43 Αἰσχίσθη
Κάθ. MR II, 491

35-36 PG 116, 532: ... ἡ τῶν ἀγαλμάτων πληθὺς καθηρεῖτο καὶ εἰς γῆν ἀτίμως ἐρρίπτετο.

46 Col. 2,14

ᾠδὴ δʹ. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία*

Ἀπεμείωσαν τὴν νύκτα τῆς ἀσεβείας
οἱ τοῦ ἡλίου μάρτυρες
τῆς δικαιοσύνης,
ταῖς αὐτοῦ ἐλλάμψεσιν
ἀεὶ φωτιζόμενοι,
ὁ ἔνδοξος Θύρσος καὶ Λεύκιος.

Θάρσος ἤλεγξαν οἱ ἅγιοι ἀπονοίας
θάρσει τῆς ἀληθείας
καὶ τῆς εὐσεβείας
ῥήμασι διέλυσαν
ἀνόμων σοφίσματα
ἐναθλοῦντες Θύρσος καὶ Λεύκιος.

Ἐν ἀγνοίᾳ τῇ τῆς πλάνης θεογνωσίαν
οἱ ἀληθείας μάρτυρες
Θύρσος σὺν Λευκίῳ
εὐσεβῶς κηρύξαντες,
ἀνθρώπους ἐφώτισαν
καὶ συναθλητὰς ἀπειργάσαντο.

Ἰσχυρότατα οἱ ἅγιοι ἐναθλοῦντες
f. 104 ὅπλα κα||τὰ τῆς πλάνης
πίστιν καὶ ἐλπίδα
τὴν πρὸς τὸν τῶν ὅλων Θεὸν
ἀεὶ προβαλλόμενοι
τῷ σταυρῷ ἐχθροὺς ἐτροπώσαντο.

θεοτ. * Ὡραιότατος προῆλθεν ὡς ἐκ παστάδος
ὁ τῆς δικαιοσύνης
ἥλιος, παρθένε,
ἐκ σοῦ καὶ ἐφώτισε
τὰ σύμπαντα, δέσποινα,
τῇ μετὰ σαρκὸς ἐπιλάμψει αὐτοῦ.

heirm. δʹ EE 94, n. 133, Joannis 65 Ἰσχυρότατον 68 τὴν] τῇ Θεῷ 69 προσβαλλόμενοι 71-76 θεοτ. AP 18 (1953), 239; AHG III, 114

72-73 Mal. 3, 20

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*

Λατρεύοντες, σοφοί,
Θεῷ τῷ παντοκράτορι
λατρείαν τὴν τῶν εἰδώλων
καὶ σεβάσματα πάντα,
μάρτυρες, ἐβδελύξασθε.

Ἑάλω ὁ ἐχθρὸς
πτεροῖς τῆς πονηρίας αὐτοῦ
καὶ θήρας οἱ ἀθλοφόροι
τῆς αὐτοῦ τῇ δυνάμει
ἐρρύσθησαν Χριστοῦ τοῦ Θεοῦ.

Λοιμώδη ἐκ τῆς γῆς
ἀθεΐαν ἐλάσαντες,
ἀοίδιμοι ἀθλοφόροι,
ἀληθείας ἀνθρώπους
μεθόδοις ἰατρεύσατε.

f. 104v || Ἐν αἵμασι, σοφοί,
ἀθλήσεως ἐπνίξατε
τὰ στίφη τῆς ἀσεβείας
καὶ τὸν τούτων προστάτην,
Θύρσε σοφὲ καὶ Λεύκιε.

θεοτ. * Ῥομφαίαν κατ' ἐχθρῶν
κεκτημένοι σε, ἄχραντε,
τὰς φάλαγγας τῶν δαιμόνων
καὶ παθῶν τυραννίδας
τροπούμεθα τῷ κράτει σου.

---

heirm. ε' EE 94, n. 133, Joannis 97-101 θεοτ. AP 18 (1953), 239; AHG III, 115 99 δαιμόνων] πολέμων cd. πολεμίων AP 100 τυραννίδος

77-81 PG 116, 513: ... καὶ τῶν ἡμετέρων εἰδώλων, ἔτι δὲ τῶν ἀκαθάρτων βωμῶν τε καὶ θυσιῶν ἐσχάτως καταγελάσας, οὕτω τὴν ἀληθῆ καὶ καθαρωτάτην τῶν Χριστιανῶν πίστιν εἱλόμην.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Ὕδατι
υἱοθεσίας ἀπολουσάμενοι
τοὺς τῆς πατρῴας ἀπάτης
μολυσμοὺς οἱ μάρτυρες, φωτοφόρον
τῆς χάριτος
τοῦ Χριστοῦ τὴν στολὴν ἐνεδύσαντο.

Κύμασι
τοῖς τῶν βασάνων οὐ κατεδύσατε
ὁμολογίας τὸν φόρτον,
ἀλλὰ κυβερνήσει τῇ τοῦ δεσπότου
εἰς λιμένας
ἀχειμάστους ὡρμίσθητε, ἅγιοι.

f. 105 || Ἴσχυσεν
ἐν ἀσθενείᾳ σώματος, ἅγιοι,
ἡ πρὸς Χριστὸν ὑμῶν πίστις
καὶ ἀγάπη θεία καταπαλαῖσαι
τὸν ἔχοντα
τῆς κακίας τὸν ἄσπονδον πόλεμον.

Οἱ λόγοι
τῶν ἀθλητῶν καὶ πόνοι ὠθούμενοι
κατὰ τοῦ ψεύδους καὶ πάντων
τῶν τῇ ἀληθείᾳ ἀντικειμένων
ἐνήργησαν
ἐν αὐτοῖς τὸν νοούμενον ὄλεθρον.

---

heirm ς' EE 94, n. 133, Joannis 107 ἐνεδήσαντο 113 ἀχειμάσθους ὁρμίσθητε ἅ. 117 καταπαλαῖσε

102-107 PG 116, 517-520: Δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ παραγέγονα, ἔφη (Θύρσος), ὥστε καὶ ἱμάτιον ἀφθαρσίας ἐνδύσασθαι, καὶ δι' ὕδατος ἁγίου καὶ Πνεύματος ἀναγεννηθῆναι· οὔπω γὰρ τοῦ θείου βαπτίσματος κατηξίωμαι ... Τελεσθέντων οὖν εὐθὺς τῶν ἐν τούτῳ νενομισμένων, ὁ Θύρσος τὸ ἅγιον βάπτισμα δέχεται...

θεοτ. * Γέγονε
διὰ σοῦ, θεοτόκε, παράδοξα·
οἱ χοϊκοὶ γὰρ πρὸς ὕψος
οὐρανῶν ἀνήχθημεν καὶ ἀγγέλοις
συνήφθημεν,
ἐπὶ γῆς τοῦ δεσπότου φανέντος σαρκί.

Κάθισμα.

Ἦχος πλ. δʹ. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

Ἱερῶς ἐναθλοῦντες οἱ ἱεροὶ
f. 105v ....

ᾠδὴ ζʹ. *Ἐν τῇ καμίνῳ*

Στερεωθέντες
ἐπὶ ἑδραίαν πέτραν οἱ ἀρραγεῖς
πύργοι
τοῦ Χριστοῦ καὶ ἔνδοξοι ἀθληταὶ
προσβολαῖς οὐκ ἐσαλεύθησαν
τοῦ πολεμήτορος,
ἀλλ' ἀνύμνουν τὸν κτίστην ἀκλόνητον.

Τὰς ἐπινοίας
τῶν ἀντιπάλων πάντων καὶ μηχανὰς

126-131 θεοτ. AP 18 (1953), 239; AHG III, 116   128 πρὸς] εἰς AHG
Κάθ. MR II, 491
heirm. ζʹ EE 94, n. 133, Joannis

140-143 PG 116, 521: Τότε λέβητα μεγέθει μέγιστον διακομισθῆναι κελεύσας ὁ Σιλβανός, καὶ τοῦτον μὲν ὕδατος πληρώσας καὶ ἰσχυρῶς καύσας, σχοινίον δὲ τῶν τοῦ Θύρσου ποδῶν ἐκδήσας, καθίησιν αὐτὸν κατὰ κεφαλήν. Ὁ δ', ἐν τοιούτῳ κινδύνῳ ληφθείς, οὐκ ἠπόρει τοῦ βοηθήσοντος. Ἀλλ' ὁ μὲν ἐκάλει Χριστόν, ὑπὲρ οὗ ταῦτα καὶ πάσχειν εἵλετο· ὁ λέβης δὲ αὐτίκα ἐῤῥήγνυτο, καὶ τὸ ὕδωρ ἐχεῖτο, καὶ ἀβλαβὴς

128-129 I Cor. 15, 47-49   131 I Tim. 3,16

θείᾳ
τοῦ Χριστοῦ δυνάμει οἱ ἀθληταὶ
διαλύσαντες ἐκραύγαζον·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

Ἐν τῷ πελάγει
τῶν τοῦ Χριστοῦ θαυμάτων οἱ ἀθληταὶ
πᾶσαν
τοῦ ἐχθροῦ κατέδυσαν στρατιὰν
καὶ νικήσαντες ἐκραύγαζον·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

Τῇ τῆς Τριάδος
καταυγασθέντες αἴγλῃ οἱ ἀθληταὶ
Θύρσος
ὁ σοφὸς καὶ Λεύκιος πρὸς αὐτὸ
τὸ ἀπρόσιτον καὶ ἄδυτον
φῶς ἐξεδήμησαν,
τὸν Χριστόν, διὰ δρόμου ἀθλήσεως.

θεοτ. Ἰσχὺν καὶ κράτος
τοὺς ἀσθενοῦντας ζῶσον ὡς ἀγαθή,
θράσος
τῶν ὑπερηφάνων καὶ κραταιᾷ
καθαιροῦσα δυναστείᾳ σου,
θεοχαρίτωτε,
τῶν εἰς σὲ πεποιθότων τὸ καύχημα.

144, 151 post εὐλογ(ημένος) orat. detruncatur   157 ἄδυτον scripsi: ἄδικον cd.   163 καί: fort. τῇ

ὁ μάρτυς ἐσώζετο.   525: ... περιδήσας πάντοθεν ἀσφαλῶς καὶ εἰς σάκκον αὐτὸν ἐμβαλών, ἀφίησι κατὰ τῆς θαλάσσης, τριάκοντα προσωτέρω τοῦ αἰγιαλοῦ σταδίοις... Τοῦ σάκκου γὰρ παραχρῆμα διαῤῥαγέντος χορὸς λευχειμονούντων ἀνδρῶν, ὢ τοῦ θαύματος! τὸν μάρτυρα ὑπεδέχοντο, καὶ ὥσπερ διὰ ξηροῦ πεζεύοντα τοῦ ἐδάφους, ἐπὶ τὴν χέρσον εὐθὺς ἤγαγον.

144-145, 151-152 Dan. 3,53

f. 106 ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ἤπλωσεν εἰς πᾶσαν ὁ Χριστὸς
τὴν γῆν τὰ θαύματα
ὑμῶν, ἀοίδιμοι,
καθάπερ ἥλιον φαίνοντα
τὰς ἀκτῖνας τῶν ἰάσεων
καὶ καταυγάζοντα τοὺς πίστει ἐκβοῶντας αὐτῷ·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Νέον καὶ ἀκμάζον ἐν δεινοῖς
ψυχῆς τὸ φρόνημα
ἱστῶντες, ἅγιοι,
οὐκ ἐσαλεύθητε βάσεως
ἀληθοῦς ὁμολογίας Χριστοῦ,
ἀλλὰ ἀθλοῦντες δι' αὐτὴν πίστει ἐκράζετε·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Πέπαυται εἰδώλων τελετὴ
καὶ ἀπελήλαται
ἐκ γῆς μιάσματα
τῆς ἀθεότητος ἅπαντα
τῇ ὑμῶν ἐνστάσει, ἅγιοι,
καὶ ἡ λατρεία τοῦ Χριστοῦ κόσμον ἐπλήρωσεν
ἐκβοώντων·
« πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

---

heirm. η΄ EE 94, n. 133, Joannis orat. detruncatur 173, 181, 205 post εὐλογ(εῖτε) 175 ἀκμάζων

183-190 PG 116, 521: Καὶ προσσχόντων αὐτῷ πάντων, εἰς οὐρανὸν ἐκεῖνος χεῖρας ἅμα καὶ ὀφθαλμοὺς ἀνασχών, τὴν ἄφατον τοῦ Θεοῦ δύναμιν ἐκκαλεῖται. Καὶ βροντῆς ἀθρόον καταῤῥαγείσης, ὁ τοῦ Ἀπόλλωνος ἀνδριὰς εἰς γῆν τε πέπτωκε καὶ εἰς κόνιν ἐλύετο. 529: Προσσχόντος τοίνυν τοῦ μάρτυρος, καί τινα πρὸς τὸν ἀληθῆ Θεὸν εὐχὴν ὑπειπόντος, ἀθρόον χρῆμά τι σεισμοῦ φοβεροῦ κατασκῆψαν συντρίβει μὲν αὐτὸ τὸ τοῦ Διὸς ἄγαλμα καὶ εἰς ἔδαφος κατασπᾷ, κατασείει δὲ τῷ φόβῳ τὰς τῶν ἀπίστων ψυχάς, καὶ τὴν θυσίαν ἀπολιπόντες, οἱ μὲν ᾗ ποδῶν εἶχον ἔφευγον, μόνος δὲ κατὰ ναὸν ἀθλητὴς ὑπελείπετο.

Λέλυνται ἀπάται σοφιστῶν
καὶ ἐσιγήθησαν
γλῶσσαι πολύφθογγοι
κατὰ τοῦ ἅπαντα κτίσαντος
δυσσεβέστατα κινούμεναι
καὶ ἐνηχήθη ἐν παντὶ Θεοῦ ἐπίγνωσις
τῇ ἐνστάσει
τῶν ἀηττήτων μαρτύρων Χριστοῦ τοῦ Θεοῦ.

θεοτ. * Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς
ἐκ σοῦ, πανάχραντε,
δι' ἀγαθότητα
σαρκὶ γεγέννηται, δέσποινα,
καὶ ἡμῖν τοῖς ἐπιγνοῦσιν αὐτὸν
ἀναγεννήσεως στολὴν δέδωκε κράζουσιν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

f. 106ᵛ ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Ἄνθρακες ἀνήφθητε θεῖοι,
Θύρσε καὶ Λεύκιε, ἐν κόσμῳ
πόθῳ τοῦ Χριστοῦ πυρωθέντες
καὶ ἀσεβείας ὕλην ἐφλέξατε
καὶ εὐσεβείας ἔλλαμψιν
πᾶσιν ἀνθρώποις ἐφηπλώσατε.

Νόμους εὐσεβείας τρανοῦντες
τοὺς ἀσεβοῦντας, ἀθλοφόροι,
Θύρσε σὺν Λευκίῳ τῷ θείῳ,
ἐν παρρησίᾳ σοφῶς ἠλέγξατε·
διὸ καὶ ἐναθλήσαντες
τιμῶν νομίμων ἠξιώθητε.

199-206 θεοτ. AP 18 (1953), 239; AHG III, 120 204 κραυγάζουσιν AP heirm. θ΄ EE 94, n. 133, Joannis

---

199 Joh. 1,18

Ἠμβλύνθη τὰ βέλη καὶ τόξα
τῶν πολεμίων, συνετρίβη
ἐν τῇ ἀνενδότῳ ἀνδρείᾳ
καὶ καρτερίᾳ ὑμῶν ὠθούμενα
καὶ ἐδοξάσθη Κύριος,
ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Νῦν ἐν οὐρανίαις καὶ θείαις,
Θύρσε καὶ Λεύκιε, χορείαις
μετὰ ἀποστόλων καὶ πάντων
τῶν ἀθλοφόρων ἐπαγαλλόμενοι
ὑπὲρ ἡμῶν πρεσβεύσατε
τῶν εὐσεβῶς ἀνευφημούντων ὑμᾶς.

θεοτ. * Ὑπὲρ φαεινὰς τοῦ ἡλίου
ἡ σὴ ἐκλάμπουσα, παρθένε,
χάρις καταυγάζει τοὺς πόθῳ
ὑμνολογοῦντας τὸν θεῖον τόκον σου
καὶ σὲ ὡς πάντων δέσποιναν
καὶ προστασίαν μεγαλύνοντας.

230 ἀνευφημούντων scripsi: ἀνευφημοῦμεν cd. 231-236 θεοτ. AP 18 (1953), 239 232 ἡ] τῇ cd. 236 μεγ(αλύνοντας)

IN SANCTUM ELEUTHERIUM

Synaxarium, 307-310: Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἐ λ ε υ θ ε ρ ί ο υ. Οὗτος ἦν ἀπὸ τῆς μεγαλοπόλεως Ῥώμης· νέος δὲ τὴν ἡλικίαν ὑπάρχων ἐγένετο ἐκ πατρὸς ὀρφανός· μητέρα δὲ εἶχεν ὀνόματι Ἀνθίαν, παρ' ἧς καὶ τὴν εἰς Χριστὸν πίστιν ἐδιδάχθη, προδιδαχθείσης ὑπὸ τοῦ μεγάλου Παύλου τοῦ ἀποστόλου. Προσήχθη δὲ ὑπ' αὐτῆς τῷ ἐπισκόπῳ Ἀνικήτῳ· καὶ παρ' αὐτοῦ τὰ ἱερὰ γράμματα μανθάνει καὶ τῷ τῶν κληρικῶν καταλέγεται τάγματι καὶ πεντεκαίδεκα χρόνων γενόμενος χειροτονεῖται διάκονος, ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ πρεσβύτερος· εἰς δὲ τὸν εἰκοστὸν ἐλάσας, ἐπίσκοπος προχειρίζεται τοῦ Ἰλλυρικοῦ, πολλὰ πρότερον διὰ τὸ τῆς ἀρετῆς ὑπερβάλλον κατεργασάμενος θαύματα. Ἐπεὶ δὲ διδάσκων πολλοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπέστρεφε, μεταπέμπεται τοῦτον Ἀδριανὸς ὁ βασιλεύς, καὶ τὸν Χριστὸν κηρύξαντα ἐνώπιον αὐτοῦ προστάσσει τεθῆναι ἐπὶ κραββάτου χαλκοῦ καὶ σώρευμα πυρὸς ὑποστρωθῆναι κάτωθεν· εἶτα ἐν ἐσχάρᾳ τεθῆναι, καὶ αὖθις ἐν τηγάνῳ ἐκπυρωθέντι πλήρει ἐλαίου καὶ στέατος καὶ πίσσης· τῇ δὲ τοῦ Χριστοῦ χάριτι καὶ δυνάμει ἐξ ἀμφοτέρων φυλάττεται ἀβλαβής. Εἶτα σκευάζεται κλίβανος τῇ συμβουλῇ τοῦ ἐπάρχου Κορέβορος, ἔχων ἑκατέρωθεν ὀβελίσκους ὀξεῖς, ἐν ᾧ αὐτὸς ὁ Κορέβωρ εἰσῆλθε Πνεύματος ἁγίου πλησθεὶς καὶ τὸν Χριστὸν Θεὸν εἶναι ἀληθινὸν ὁμολογήσας· καὶ ἐξελθὼν ἀβλαβὴς τὴν κεφαλὴν ἀποτέμνεται. Ὁ δὲ ἅγιος Ἐλευθέριος ἐβλήθη ἐν τῷ κλιβάνῳ· καὶ σβεσθείσης τῆς φλογὸς ἐξῆλθε σῶος καὶ ἐν εἱρκτῇ τίθεται. Εἶτα δεσμεῖται ἐν ἅρματι ὑπὸ πώλων ⟨ἀγρίων⟩ συρομένῳ· καὶ ὑπὸ ἀγγέλου λυθεὶς εἰς ὄρος ὑψηλὸν καθίσταται, ἔνθα ἦν μετὰ ἀγρίων ζῴων συνδιαιτώμενος· τὰ δὲ ἐξημεροῦντο, τὰ τοῦ Θεοῦ λόγια διεξιόντος αὐτοῦ. Εἶτα τοὺς εἰς τὴν σύλληψιν αὐτοῦ ἀποσταλέντας στρατιώτας νουθετήσας βαπτίζει, μεθ' ὧν καὶ ἑτέρους ὡσεὶ πεντακοσίους πιστεύσαντας τῷ Χριστῷ. Ἀχθεὶς δὲ πρὸς τὸν βασιλέα καὶ θηρίοις βληθεὶς καὶ σῶος διαφυλαχθείς, ὑπὸ δύο στρατιωτῶν ἀναιρεῖται, προστάξει τοῦ βασιλέως συμπεσόντων αὐτῷ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Ξηρολόφου.

Crypt. Δ.α. XIV	= Cf,	ff. 108v-112v
Mess. gr. 135	= N,	ff. 246(250)-249(253)
Patm. 197	= Πc,	ff. 60v-63v
Patm. 860	= Πr,	pp. 167-174

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἐλευθέρᾳ φωνῇ σε δοξάζω, πάτερ.
⟨Ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ἐλευθερίας τυχόντες
τῆς παρὰ σοῦ
δι' ἁγίου πνεύματος
καὶ ῥυσθέντες τοῦ ἐχθροῦ
τῆς δουλείας, Κύριε, φωναῖς
ἐλευθέροις σε, Χριστέ,
πόθῳ δοξάζομεν.

Λόγοις ἐκόσμησας θείοις
τὴν τοῦ Χριστοῦ
ἐκκλησίαν, ὅσιε,
καὶ ἀθλήσεως αὐτὴν
αἵμασιν ἐφαίδρυνας· διὸ
Ἐλευθέριε, ἀεὶ
πιστῶς γεραίρει σε.

Ἐξ ἀκηράτων λειμώνων
τῶν τοῦ Χριστοῦ
ἄνθη, Ἐλευθέριε,
τὰ τῶν λόγων δαψιλῶς
συναθροίσας, ἔπλεξας φαιδρὸν
ἐκκλησίᾳ τῇ σαυτοῦ
τῆς νίκης στέφανον.

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Ἐλευθερίου φέρων ... Cf   Ὁ κανὼν N   Ὁ κανὼν φέρων ... τήνδε ... Πc Πr; nomen hymnographi Γεωργίου e θεοτ. litteris initialibus deducitur

heirm. α' EE 159, n. 224, Joannis   5 φωνῇ Πc Πr   6 ἐλευθέρᾳ Πc Πr   7 δοξάζωμεν N   15-21 om. N   19 φαιδρῶς Πr   20 αὐτοῦ Cf   21 τῆς νίκης] νίκης τὸν Πc Πr

---

1-3 II Cor. 10, 29

θεοτ. Γεγενημένους συμμόρφους
τοῦ ποιητοῦ
ἐν τῷ θείῳ τόκῳ σου
καθικέτευε, ἁγνή,
ἐν τῇ τούτου χάριτι ἡμᾶς
συντηρεῖσθαι καὶ ἁγνῶς
ἀεὶ γεραίρειν σε.

f. 109 ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σὺ*

Ὑπεραρθέντα σε, σοφέ,
σαρκικῆς προσπαθείας
καὶ πρὸς ἔνθεον πόθον
τοῦ κτίστου καὶ ποιητοῦ
ἀναδραμόντα ἐχθρῶν
μεθοδεῖαι
οὐδόλως καθείλκυσαν.

Θύων θυσίαν μυστικὴν
καὶ ἀναίμακτον, πάτερ,
σεαυτὸν τῷ δεσπότῃ
προσῆξας θῦμα δεκτὸν
ὁλοκαυτώσας πυρὶ
μαρτυρίου
πόθῳ, Ἐλευθέριε.

Ἐν τοῖς θελήμασι Χριστοῦ
σεαυτὸν κατευθύνας
f. 109v ἐκ νε||ότητος, πάτερ,
ἀνεδέξω τὰ αὐτοῦ
θεῖα πάθη ἐν σαρκὶ
τῇ οἰκείᾳ
πόθῳ, Ἐλευθέριε.

---

heirm. γ' EE 159, n. 224, Joannis   34 μεθοδείαις Cf   35 καθείλκυσαν] καθείλησαν Cf   38 ἑαυτὸν Cf N   43-49 om. N   48 τῷ οἰκείῳ Πc Πr

---

22-23 Rom. 8, 29

θεοτ. Ἐν τῇ λαμπρότητι, ἁγνή,
τῆς φαιδρᾶς σου πρεσβείας
ἀπελαύνουσα πᾶσαν
ὁμίχλην τῶν λυπηρῶν
ἀκτῖσι τῆς νοητῆς
εὐφροσύνης
λάμπρυνον τοὺς δούλους σου.

Κάθισμα.

Ἦχος α′. Πρός· *Τὸν τάφον σου, σωτήρ,*

Ἐλεύθερον τὸν νοῦν
....

Ἄλλο.

Ἦχος πλ. α′.

Πρός: *Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι*

Τῷ τῆς χάριτος λόγῳ πολλοὺς ἐφώτισας
ἀλογίας ἀτόπου καὶ προσενήνοχας,
Ἐλευθέριε σοφέ,
τῷ σαρκωθέντι Θεῷ
καὶ ἀθλήσας καρτερῶς
ἐδοξάσθης εὐσεβῶς
ὡς ἱερεὺς καὶ μάρτυς·
διὸ ἱκέτευε τῷ Κυρίῳ
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

---

51 φαιδρᾶς] θερμῆς Πr 52 ἀπελαύνουσαν Cf
κάθ. MR II, 497-498; idem post oden ς′ tradit N et in principio acoluthiae cum sticheris praebet Πc; in Cf, autem, κάθ. heirm. *Χορὸς ἀγγελικὸς* (modi δ′) differens invenies
heirm. ἄλλου καθ. HR 230; ἄλλο κάθ. om. N Πc et ambo om. Πr

f. 110 ᾠδὴ δ′. *Χριστός μου δύναμις*

Ῥανίσιν ἔπλυνας
αἱμάτων, ὅσιε,
ἀθείας τὰ λύθρα
καὶ τὴν Χριστοῦ
ποίμνην καθηγίασας
καὶ προσενήνοχας αὐτῷ
ταύτην, μάρτυς Ἐλευθέριε.

Ἀγρύπνῳ ὄμματι
τὴν ποίμνην, ὅσιε,
τοῦ δεσπότου φυλάττων
ὑπὲρ αὐτῆς
τὴν ψυχήν σου τέθεικας·
διὸ γεραίρει σε ἀεὶ
κατ' ἀξίαν, Ἐλευθέριε.

Φωστῆρα τέθεικε
Χριστός σε, ὅσιε,
τῇ αὐτοῦ ἐκκλησίᾳ
λόγοις αὐτὴν
φαεινοῖς αὐγάζοντα
καὶ τοὺς ἀνθρώπους πρὸς αὐτὴν
ὁδηγοῦντα, Ἐλευθέριε.

Ὡς κλῆρον, ὅσιε,
διαδεξάμενος
εὐσεβείας μητρῴας
πλοῦτον, σοφῶς
τοῦτον ἐπλεόνασας,
ὃν ἐν ἀσύλοις θησαυροῖς
ἐναπέθου, Ἐλευθέριε.

---

heirm. δ′ EE 159, n. 224, Joannis 59 ῥύθρα Πr 69 γέρει σε Πr 71-77, 78-84 inverso ordine profert Cf; ipsa trop. om. N 78 Ὡς] Ὦ Cf 83 ἀσύροις Cf

---

64-68 Joh. 10,11

θεοτ. Ὡραῖος ἔφυ μοι
ὁ τῆς παρθένου καρπός,
τῆς πικρίας τὴν γεῦσιν
τῆς ἐν Ἐδὲμ
τῇ θείᾳ μεθέξει αὐτοῦ
εἰς γλυκασμὸν εὐφροσύνης
καὶ ζωῆς μεταποιήσας Χριστός.

f. 110ᵛ ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Νομοθετήσας τὰ τοῦ Χριστοῦ
ἐπὶ γῆς θεσπίσματα,
τῆς ἀθεΐας προστάγματα
ἔπαυσας καὶ πάντας
ἀνθρώπους ἔπεισας,
θεόφρον, τοῦ δοξάζειν
τὸν πάντων Κύριον.

Ἡ καταυγάσασα τοὺς σοφοὺς
πάλαι ἀποστόλους τοῦ Χριστοῦ
τοῦ θείου πνεύματος ἔλλαμψις
καὶ ἐπὶ σοί, πάτερ,
ἐπιδημήσασα
ἀκτῖσί σε οἰκείαις,
σοφέ, ἐλάμπρυνεν.

Σὺν ἀποστόλοις σε ἡ Χριστοῦ,
πάτερ, ἐκκλησία γεραίρει
καὶ ἱερεῦσι καὶ μάρτυσι·
ταύτην γὰρ ἐκόσμησας,
Ἐλευθέριε,
λόγοις τε καὶ αἵμασι
τοῖς τῆς ἀθλήσεως.

---

85 Ὡραίως Cf 88 τὴν Πc Πr 91 καὶ ζωῆς om. Cf ζωὴν N
heirm. ε΄ EE 159, n. 224, Joannis 99-105 trop. caret N 102 ἐπὶ σοί, πάτερ om. Πr

θεοτ. Ῥητόρων γλῶσσα ἐξασθενεῖ
σὲ ἐγκωμιάζειν, παρθένε,
τοῖς κατ᾽ ἀξίαν ἐπαίνοις σου·
ἀλλὰ συμμετροῦσα
τὸν πόθον, δέσποινα,
πρὸς τοῦτόν σου τὴν χάριν
παρέχοις, πάναγνε.

ᾠδὴ ς΄. *Τοῦ βίου τὴν θάλασσαν*

Ἐκ κήτους ἀνείλκυσας
νοητοῦ τῇ μηχανῇ
τῶν λόγων, Ἐλευθέριε,
βροτοὺς καταποθέντας τῇ τοῦ ἐχθροῦ
πλάνῃ καὶ ἀνήγαγες
πρὸς οὐράνιον λῆξιν
τὴν ζωὴν αὐτῶν.

f. 111 ‖ Δόξης ἀντεχόμενος
ἀληθοῦς καὶ εὐσεβοῦς
δόγματα, Ἐλευθέριε,
τῆς ἀθεΐας ἤλεγξας καὶ λαοὺς
πρὸς ὀρθὴν ὡδήγησας
καὶ ἀμώμητον πίστιν
τοῖς διδάγμασιν.

Οἱ ἱδρῶτες ἔβλυσαν
τῶν ἀγώνων σου πηγὴν
θαυμάτων, Ἐλευθέριε,
ἐξ ἧς ἀντλοῦντες νάματα δαψιλῶς
ἀεὶ τῶν ἰάσεων
εὐφημοῦμέν σε πίστει
καὶ δοξάζομεν.

θεοτ. Γνῶσιν τὴν τοῦ πνεύματος,
θεοτόκε, διὰ σοῦ

---

119 παρέχεις N
heirm. ς΄ EE 159, n. 224, Joannis 120 κήτους] σκότους Πr 123 καταποθέντα Cf 127-133 trop. desideratur in N 133 τοῖς] σοῖς Πc Πr

κατεπλουτίσθη ἅπασα
τῶν γηγενῶν ἡ φύσις καὶ διὰ σοῦ
τῆς ἄνωθεν χάριτος
ἐμυήθη τὰ ξένα
Θεοῦ μυστήρια.

Κοντάκιον.
Ἦχος β'. Πρός· *Τοὺς ἀσφαλεῖς*

Τὴν καλλονὴν
....

(Ὁ οἶκος).
⟨Πρός· *Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,*⟩
Ἔπιδε, εὔσπλαγχνε εὐεργέτα,
....

f. 111v ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ξένοις θαύμασιν ὡς γλώσσαις σε καθώπλισε,
πάτερ, ὁ τῶν χαρίτων δοτὴρ
καὶ ἀπέστειλε
τοῦ κηρύσσειν πᾶσι τοῖς λαοῖς
τὴν γνῶσιν αὐτοῦ τὴν ἀληθῆ
καὶ ἀπελαύνειν ἐκ τῆς γῆς
τὴν ἀθεότητα.

Ἀποσμήχων, Ἐλευθέριε, βαπτίσματι
τοὺς πρώην μολυνθέντας βροτοὺς

Κοντ. et οἶκ. MR II, 500; ipsa om. N Πc Πr Κοντ. 1 Τὴν] Ὡς MR οἶκ. 1 εὐεργέτα] ζωοδότα MR
heirm ζ' EE 159, n. 224, Joannis 148 γλῶσσαι σε Cf 155-161 trop. om. N

155-161 P. Franchi de' Cavalieri, *I martirii di S. Teodoto e di S. Ariadne*, Studi e Testi 6, Roma, 1901, 151: ... Κύριε ἐπίσκοπε, ἐπίθες τὴν χεῖρά σου ἐπ' ἐμὲ καὶ χάλασόν με εἰς τὸ ὕδωρ, ὅπως ἀπολούσωμαι τὴν ἀνομίαν, ἣν εἶχον εἰς τὰ εἴδωλα. ὁ δὲ ἐπίσκοπος Ἐλευθέριος εὐξάμενος καὶ ἐπιλαβόμενος τῆς χειρὸς αὐτοῦ, ἐχάλασεν αὐτὸν ἐν τῷ ὕδατι...

τοῖς μιάσμασι
τῆς δυσώδους πλάνης τοῦ ἐχθροῦ
υἱοὺς ἀπειργάσω τοῦ Θεοῦ
καὶ ἐλευθέρους τῶν κακῶν
καὶ κοινωνοὺς ἀγαθῶν.

Ζήλῳ θείῳ, Ἐλευθέριε, πυρούμενος
τῷ ὑπὲρ τῆς ἀγάπης Χριστοῦ
αἰσθητοῦ πυρὸς
ἀπειλὰς οὐκ ἔπτηξας· διὸ
γενναίως ἐνήθλησας βοῶν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἱλαστήριόν σε ἔχοντες, πανάχραντε,
πάντες καὶ καταφύγιον
καὶ βοήθειαν
καὶ στερρὸν ὀχύρωμα πιστοὶ
προστρέχομεν, δέσποινα, τῇ σῇ
φιλανθρωπίᾳ οἱ τὴν σὴν
χάριν γεραίροντες.

f. 112 ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

* Ὡς δεκτὸν ἱερεῖον
ὁλοκαυτούμενος
τῷ πυρὶ τῶν βασάνων,
πάτερ ἀοίδιμε,
θείαν εὐωδίαν πρὸς ὕψος οὐράνιον
τῆς εὐχαριστίας
ἀνέπεμπες ἐνθέως.

* Πεποιθὼς ὥσπερ λέων
ἀνόμους ἤλεγξας

---

163 τῷ] τὸ Cf 167 post εὐλογητὸς orat. varie detruncant cdd. 173 προστρέχωμεν N τῇ σῇ] τὴν σὴν Cf 174 φιλανθρωπίαν Cf
heirm. η' EE 159, n. 224, Joannis 176-235 odas η' et ϑ' ed. in MR II, 502-503, sed ad alium canon. S. Eleutherii perperam pertinentes, invenies 177 ὁλοκαυτούμενον MR 180 εὐωδίαν] εἰς ὀσμὴν MR τὸ οὐράνιον N MR 181 τὴν εὐχαριστίαν MR 184 ἀνόμοις N

καὶ πολλῇ παρρησίᾳ
στόματα ἔφραξας
τῶν εἰς τὸν δεσπότην ἁπάντων καὶ Κύριον
πάλαι δυσφημούντων
ἐχθρῶν ἀθεωτάτων.

* Ἀνυψῶν, ἱεράρχα,
πιστῶν τὸ φρόνημα
ἐταπείνωσας θράσος
καὶ καταβέβληκας
τῶν εἰς τὸν Θεὸν ἀσεβούντων καὶ ἔκραζες·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Ὁ καρπὸς τῆς κοιλίας
τῆς σῆς, πανύμνητε,
τὴν τοῦ ξύλου κατάραν
ὑλομανήσασαν
πρόρριζον ἐξήρανε καὶ ἀντεβλάστησε
τὴν τῆς εὐφροσύνης,
παρθένε, εὐλογίαν.

f. 112v ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

* Τεμὼν μαχαίρᾳ τῶν θείων λόγων σου
τὴν κεφαλὴν
τοῦ ψεύδους, Ἐλευθέριε ὅσιε,
τῇ Χριστοῦ παρέσχες νικητήρια

---

187 τῶν εἰς] τὸν εἰς Cf δεσπότην] Θεὸν τῶν MR 190-196 trop. om. N 194 ἔκραζες] ἔμελπες MR 195 post ὑπ(ερυψοῦμεν) orat. abrumpunt cdd. 201 ἀνεβλάστησε N Πc Πr MR
heirm. θ' EE 159, n. 224, Joannis 207 τῇ] τοῦ N MR

192-194 P. Franchi de' Cavalieri, *op. cit.*, 156: Θυμοῦ δὲ πλησθεὶς ὁ Ἀδριανὸς περιείλετο τὴν πορφύραν, ἐμβριμούμενος ἑαυτῷ καὶ τῇ ἰδίᾳ αὐτοῦ προαιρέσει διὰ τὸ ἡττᾶσθαι αὐτὸν ὑπὸ τοῦ παιδός.

197-198 Luc. 1,42 204-205 Eph. 6,17

πίστει καὶ ἀληθείᾳ·
ὅθεν γεραίρομεν
σὲ τροπαιοφόρον οἱ πιστοὶ
καὶ θεῖον κήρυκα.

* Ἐκ γῆς ἀπάρας, σοφέ, τὸ φρόνημα
τὸ τῆς ψυχῆς
πρὸς μόνην τοῦ δεσπότου τὴν ἔφεσιν
τοῦτο νοητῶς, πάτερ, ἀνύψωσας·
ὅθεν σαρκὸς ἠρνήσω
πᾶσαν συμπάθειαν
καὶ ἐγκαρτερῶν ἐν τοῖς δεινοῖς
στερρῶς ἐνήθλησας.

* Ῥοαῖς αἱμάτων τῶν τῆς ἀθλήσεως
τὴν ἱερὰν
κοσμήσας σου στολήν, Ἐλευθέριε,
εἰς τὴν ἐπουράνιον σκηνὴν τοῦ Χριστοῦ
μετὰ τέλος εἰσέδυς
τοῦ μαρτυρίου σου·
ἔνθα μνημονεύσαις καὶ ἡμῶν
τῶν εὐφημούντων σε.

θεοτ. * Ὑμνεῖν τὸν τρόπον τὸν ὑπερθαύμαστον
τῆς ὑπὲρ νοῦν
καὶ ξένης σου κυήσεως, πάναγνε,
ἀπορεῖ ἀνθρώπων τὰ συστήματα·
πάντα γὰρ ὑπερέχει
νοῦν καὶ διάνοιαν
καὶ νοήσεις πάσας λογισμῶν
καὶ τὴν τῶν λόγων ἰσχύν.

---

209 γεραίρομεν] τιμῶμέν σε MR γεραίρωμεν N 210 σὲ] ὡς MR 212-219 trop. desideratur in N 214 μόνον MR 215 τοῦτον Πr post ἀνύψωσας cett. desunt in Πc; folium enim e cd. cecidit 217 προσπάθειαν Πr εὐπάθειαν MR 220 τῶν sup. lin. scriptum in N τῶν τῆς] τῆς σῆς MR 222 Ἐλευθέριε] ἱερώτατε MR 223 εἰς] καὶ Cf τὴν om. MR 226-227 ἔ. μνημονεύειν καὶ ἡμῖν μὴ ἐπιλάθῃ σοφὲ Πr μνημονεύσαις scripsi: μνημονεῦσαι Cf μνημονεύσας N μνημονεύοις MR 230 πάναγνε] ἄχραντε Πr 231 τὰ συστήματα] τε τὸ σύστημα Cf 234 νοήσης N πάσας] πᾶσαι Πr πάντων MR

15 DEC.

CANON XXIV

IN SANCTAM SOSANNAM

Synaxarium, 58-59: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας ὁσιομάρτυρος Σ ω σ ά ν ν η ς. Αὕτη ὑπῆρχεν ἐκ Παλαιστίνης, θυγάτηρ τυγχάνουσα Ἀρτεμίου τοῦ ἱερέως τῶν εἰδώλων καὶ Μάρθας ἐκ τῶν Ἰουδαίων καταγομένης. Ἥτις μετὰ τελευτὴν τῶν γονέων ἐβαπτίσθη ὑπὸ Σιλβανοῦ τοῦ πρεσβυτέρου καὶ ἐδιδάχθη παρ' αὐτοῦ τὸν λόγον τοῦ Θεοῦ. Εἶτα τὸν πλοῦτον αὐτῆς δοῦσα τοῖς πτωχοῖς καὶ τὸν κόσμον καταλιποῦσα, ἀπῆλθεν ἐν μοναστηρίῳ· καὶ γέγονε μονάζουσα μετασχηματισθεῖσα ἐν ἀνδρείῳ σχήματι καὶ μετακληθεῖσα Ἰωάννης· καί ποτε κατηγορηθεῖσα παρὰ γυναικός τινος, ὅτι τὰ ἀνδρὸς εἰς αὐτὴν διεπράξατο, καὶ ἀνερευνηθεῖσα παρὰ παρθένων καὶ εὑρεθεῖσα φύσει γυνὴ καὶ ἐλέγξασα τὴν κατήγορον, εἶτα ἀπελθοῦσα εἰς Ἐλευθερόπολιν καὶ καταστᾶσα διακόνισσα παρὰ τοῦ ἐκεῖ ἐπισκόπου, ἐκρατήθη παρὰ Ἀλεξάνδρου ἡγεμόνος· καὶ πολλὰ τιμωρηθεῖσα, εἶτα εἰς φυλακὴν ἐμβληθεῖσα, ἐτελειώθη.

Mess. gr. 135	= N,	ff. 250(254)-254(258)
Sinait. gr. 583	= Σω,	ff. 101-102
Marc. gr. II, 166	= Z,	ff. 150-150ᵛ

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠδὴν ἐπινίκιον*
ᾄσωμεν πάντες

Ἀνθρώπινον ἔρωτα
βδελυξαμένη
τὸν ἔνθεον ἔρωτα
ἐπεσπάσω, πάνσεμνε,
καὶ ᾠκειώθης Χριστῷ,

tit. Τῇ αὐτῇ ἡμέρᾳ (scil. ιε') εἰς τὴν ἁγίαν ὁσιομάρτυραν (sic) Σωσάνναν. Ἀναστ(ασίου) κοιαίστω(ρος) τοῦ καμψ(άκου) ὁ κανὼν Σω

heirm. α' EE 11, n. 15, Andreae 5 οἰκειώθης Z

τὰς τῶν αἱμάτων σου ῥοὰς
προῖκα φορέσασα.

Σαρκὸς ἀφανίσασα
κάλλη, Σωσάννα,
δι' ἄκρας ἀσκήσεως
τὴν ψυχὴν ἐλάμπρυνας
250ᵛ(254ᵛ) ‖ καὶ διεμόρφωσας
τὸ κατ' εἰκόνα τοῦ Χριστοῦ
καὶ καθ' ὁμοίωσιν.

θεοτ. Ἡ σύλληψις ἄσπορος,
ὥσπερ ὁ τόκος
ὠδίνων ἐλεύθερος,
ἡ σφραγὶς ἀσάλευτος
τῆς παρθενίας σου,
πάντα ξενίζοντα τὰ σά,
θεογεννῆτορ ἁγνή.

ᾠδὴ γ'. *Στερεωθήτω ἡ καρδία μου*

Προγονικήν, Σωσάννα ἔνδοξε,
ἀπεκδυσαμένη ἀσέβειαν
καὶ εὐσεβῶς τὸν ποιητὴν
ἐπιγνοῦσα τῆς κτίσεως,
ἐστολίσω τῷ βαπτίσματι
φαιδρὰν ἀναγέννησιν.

Ἀρνησαμένη τὴν συγγένειαν
καὶ τὸ ἐμπαθὲς τῆς παρούσης ζωῆς,

7 φορέσασα] προσφέρουσα Σω 8-14 trop. caret Z 15-21 **θεοτ.** caret Σω

heirm. γ' EE 12, n. 16, Andreae; heirm. integrum profert N 23 **εὐσέ-βειαν** Z 24-25 καὶ ἐπιγνοῦσα εὐσεβῶς / ποιητὴν τὸν τῆς κτίσεως Σω 26 **τῷ** om. Z 28-33 trop. om. Z

13-14 Gen. 1, 26

τὴν δὲ οὐσίαν εἰς ψυχὰς
τῶν πτωχῶν θησαυρίσασα,
f. 251 (255) ᾑρετίσω τοῦ νυμ || φίου
τὸν σταυρὸν καὶ τὸν θάνατον.

θεοτ. Ἀρχὴν λαμβάνει ὁ ὑπέρχρονος
δι' ἐμὲ Θεὸς κατ' ἐμὲ γεγονὼς
καὶ κοινωνεῖ μοι καὶ παθῶν
καὶ θνητότητος, ἄχραντε,
καὶ ἀπάθειαν ἐνδύει
καὶ ζωὴν τὴν αἰώνιον.

ᾠδὴ δ'. *Ἐν πνεύματι προβλέπων*

Τῆς Εὔας τὸν κακοῦργον
ἀρχαῖον πτερνιστὴν
σύ, Σωσάννα, ἔδειξας
ἀνίσχυρον ἐχθρὸν
ἐπιμειξίαις ἀρρένων ἐνστρεφομένη
καὶ τηρουμένη θείου πνεύματος δυνάμει,
μάρτυς, ἀσινὴς καὶ ἀλώβητος.

Ἐκτήξασα τὴν σάρκα
καὶ θήξασα τὸν νοῦν,
κεφαλὰς διέκοψας
f. 251v (255)v || παθῶν καὶ λογισμῶν
καὶ ἀοράτους δυνάστας τροπωσαμένη
τοῖς ὁρωμένοις ἐπεβούλευσας τυράννοις
ἤδη συμπλακῆναι δι' αἵματος.

32 ἡρετήσω N   34-39 θεοτ. om. Σω   35 Θεὸς] Θ. ὢν Z   39 αἰώνιον] ἀθάνατον Z

heirm. δ' EE 11, n. 15, Andreae; heirm. integrum profert N   40 κακοῦργον] ἀρχαῖον Z   41 ἀρχαῖον] κακοῦργον Z   42 σὺ] σοὶ Z   43 ἐχθρὸν] ἐν σοὶ Z   44 ἐντρεφομένη N Z   45 δύναμει Σω   47-53 trop. om. Z   53 συνπλακῆναι N

θεοτ. Ὁ πρῶτος ἐν ἀνθρώποις
παρῴκησε φθορᾷ
τοῦ φυτοῦ γευσάμενος
τῆς γνώσεως, ἁγνή·
ὁ σὸς δὲ τόκος ζωῆς ὑπάρχων τὸ ξύλον
τοὺς ἐξ ἐκείνου ἀκωλύτως ἀπολαύειν
γνώσεως αὐτοῦ μεταδίδωσι.

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

Ὑπὲρ τὸ ἐνδεχόμενον
αὐθόρμητος ἐκ σοῦ
πρὸς τοὺς διωγμοὺς ἡ παράταξις
καὶ οἱ ἀγῶνες ἀξιόνικοι
ἐκ τῆς ἀγωνοθέτου
Χριστοῦ ἐπικουρίας.

Τοὺς λίθους οἱ ἀναίσθητοι
ἐλάτρευον θεούς,
ὧνπερ τὰ τεμένη κατέσειε
διὰ Σωσάννης τὴν εὐσέβειαν
ὁ ἀκρογωνιαῖος
θεμελιώσας λίθος.

2 (256) θεοτ. || Εἰρήνην ἡ κυήσασα
τὴν ὄντως τοῦ Θεοῦ
ἔλυσας τὸν χρόνιον πόλεμον
ἐν γῇ· αὐτῇ γὰρ ἐφανέρωσας
καταλλαγῆς εἰρήνην
τῷ θείῳ τοκετῷ σου.

54-60 θεοτ. om. Σω   55 φθορᾶς Z

heirm. ε' EE 11, n. 15 Andreae   61-66 trop. desideratur in Z   68 ἐλάξευον cdd.   69 τεμένει N Z   73-78 θεοτ. om. Σω

67-72 AA.SS., Sept. VI (1757), 157-158: ... ἀκούσασα ταῦτα ἡ μακαρία Σωσάννα, ἔδραμεν ἐπὶ τὸν ναόν, καὶ ἰδοῦσα τοὺς ἐμψύχους ἀνθρώπους προσκυνοῦντας ἀψύχοις λίθοις, ἔπαθεν τῇ ψυχῇ. εἶτα... προσεύξατο πρὸς τὸν Θεὸν... καὶ πάραυτα ἔπεσον τὰ εἴδωλα πάντα...

54-60 Gen. 2,9   71-72 Marc. 12,10; Luc. 20,17; Act. 4,11; I Petr. ep. 2,7

ᾠδὴ ϛ'. *Τὸν προφήτην Ἰωνᾶν*

Τῆς παρθένου ὁ λῃστὴς
ἀπεσύλα τοὺς μαζούς,
ὁ μνηστὴρ δὲ Ἰησοῦς
ἐθεράπευεν εὐθὺς
ἀνύβριστον
τὴν δι' ἐκεῖνον
ὑβριζομένην τηρῶν.

« Διά σέ μοι γλυκασμὸς
τῶν μαζῶν ὁ αἰκισμός,
ὑπὲρ σοῦ ἁγιασμὸς
ὁ τοῦ νώτου ῥαβδισμός »,
ἡ φίλαγνος
τρυγὼν ἐβόας
πρὸς τὸν νυμφίον Χριστόν.

θεοτ. Ἡ ἐν βάτῳ τυπικῶς
φλὸξ ὀφθεῖσα τῷ Μωσῇ
τῆς ἀφθόρου σου γαστρὸς
εἰκὼν ἦν παναληθής,
οὐ φλέγουσα
ὥσπερ οὐδέ σου
τὸ θεῖον πῦρ τὴν νηδύν.

---

heirm. ϛ' EE 12, n. 15, Andreae 79-85 trop. caret Z 79 λιστῆς N 82 ἐθεράπευσεν Σω 89 νότου Z 91 τρυγῶν N 93-99 θεοτ. om. Σω 94 Μωσῇ] πυρὶ Z

79-85 AA.SS., Sept. VI (1757), 158: Οἱ δὲ δήμιοι λαβόντες τὴν ὁσίαν ἔξω τοῦ πραιτωρίου, ἀπέτεμον αὐτῆς τοὺς δύο μασθοὺς καὶ ἔρριψαν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ εἰς βοράν. Καὶ ἅμα τοῦτο γέγονεν, ἰδοὺ ἄγγελος Κυρίου ἥρπασεν τοὺς δύο μασθοὺς τῆς ὁσίας καὶ ἀπεκατέστησεν αὐτοὺς εἰς τὸν τόπον αὐτῶν, ποιήσας αὐτὴν ὑγιῆ, ὡς τὸ πρότερον.

88-89 AA.SS., Sept. VI (1757), 159: Τότε χολέσας ὁ ἡγεμών, ἐκέλευσεν ἐκταθεῖσαν αὐτὴν τύπτεσθαι ῥάβδοις ἀνηλεῶς...

93-94 Ex. 3,2

Κάθισμα.

Ἦχος δ'. Πρὸς τό· *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Τῇ μετ' ἀνδρῶν διαγωγῇ
τὸν τῆς Εὔας
52v (256v) ‖ καταβαλοῦσα πτερνιστὴν
θείᾳ νεύσει
τὰς ἡδονὰς τοῦ σώματος ἐπάτησας,
χαίρουσα δὲ πρὸς ἄθλησιν
ηὐτομόλησας, μάρτυς,
βάσανα πολύπλοκα
ὑποστᾶσα ἀνδρείως
καὶ τὸν ἀγῶνα ὄντως τὸν καλὸν
ἠγωνισμένη
βραβείων ἠξίωσαι.

ᾠδὴ ζ'. *Τοὺς ἐν καμίνῳ παῖδάς σου, σωτήρ,*

Τὴν πρὸς Θεὸν διάπυρον ψυχὴν
ὁ μόλυβδος
ζέων οὐ κατέφλεξεν ἐντός·
ὁ γὰρ τοὺς τρεῖς
ἐν τῇ σκιᾷ παῖδας δροσίζων
αὐτὸς περιέσωζε
τὴν ἀληθῶς δι' αὐτὸν
ἀναιρουμένην πυρί.

---

heirm. καθ. MR I, 162 Κάθ. om. Σω Z

heirm. ζ' EE 12, n. 15, Andreae; heirm. integrum praebet N heirm. 1 Τῶν ἐν κ. παίδων σου, σωτὴρ EE 100 ψυχὴν] εὐχὴν Σω 102 ζέων] ῥέων N Σω 107 πυρὶ] πυρᾷ Σω

100-107 AA.SS., Sept. VI (1757), 159: Καὶ προσέταξεν ἐνεχθῆναι λέβητα χαλκοῦν, καὶ λυθῆναι μόλιβδον ἐν αὐτῷ, εἶθ' οὕτως ἐπιτεθῆναι χώνην ἐν τῷ στόματι αὐτῆς, καὶ ἐνεχθῆναι τὸν μόλιβδον βράζοντα, καὶ χεθῆναι ἐν τῷ λάρυγγι αὐτῆς. Καὶ τούτου γενομένου, τῇ χάριτι καὶ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὥσπερ ὕδωρ ψυχρότατον ἐν καιρῷ καύσωνος, οὕτως καὶ ὁ βρασμὸς τοῦ μολίβδου ἐγένετο ἐν τοῖς σπλάγχνοις τῆς ἁγίας παρθένου.

Τυραννικῆς ἐπίνοια ποινῆς,
Σωσάννα, σοὶ
ὤφθη καὶ νηπίων παιδιά·
ἤμβλυνας γὰρ
f. 253 (257) ‖ πρὸς τὰ δεινὰ ἐγκαρτεροῦσα
τὴν ὀξεῖαν μάχαιραν
καὶ τὸν θυμὸν καὶ τὸ πῦρ
τοῦ κοσμοκράτορος.

θεοτ. Τῆς ἀχωρίστου φύσεως ὁ εἷς
τὴν μήτραν σου
ᾤκησε τηρήσας σε ἁγνήν,
ὥσπερ προῆς·
καινοτομεῖ γὰρ καὶ τὰς φύσεις
ὁ τὴν ξένην γέννησιν
καινοτομήσας Χριστός,
ὁ τῶν πατέρων Θεός.

ᾠδὴ η′. *Ὃν φρίττουσιν ἄγγελοι*

Ἐρῶσαν καὶ μένουσαν
ἀθλεῖν διὰ Χριστόν,
ὁρμῶσαν καὶ σπεύδουσαν
γενέσθαι σὺν Χριστῷ,
αὐτός σοι τὸ κρεῖττον
συμφερόντως πληροῖ
πρὸς τοὺς οὐρανίους
μετοικίζων θαλάμους.

Ἀλάστορας δαίμονας,
ἐμφύτους ἡδονάς,
τυράννους καὶ θάνατον

108-115 trop. caret Z 116-123 θεοτ. om. Σω 116 ἀχωρίτου Z
117 μήτρα Z 120 καὶ om. Z 122 καινοτομίσας N -σου Z
heirm. η′ EE 12, n. 15, Andreae 124-131 trop. om. Z 124 Ἐρῶσαν] Ὁρῶσαν Σω 131 θαλάμους μετοικίζων Σω 133 ἡδονὰς om. Z

νικῶσάν σε ἰδὼν
Χριστὸς μετ' ἀγγέλων
καὶ ἁγίων ψυχῶν
διενυμφαγώγει
253v (257v) ‖ πρὸς τὰς ἄνω παστάδας.

θεοτ. Βροντῇ μὲν κατέρχεται
ἐν ὄρει ὁ Θεός,
ὡς ὄμβρος δὲ κάτεισιν
ἠρέμα ἐν γαστρὶ
σταγόσιν ἐλέους
ἀναψύχων ἡμᾶς
τοὺς φλογὶ τακέντας,
ἁγνή, τῆς ἁμαρτίας.

ᾠδὴ θ′. *Τὴν ζωοδόχον πηγὴν τὴν ἀέναον,*
τὴν φωτοφόρον λυχνίαν τῆς χάριτος,
τὸν ναὸν τὸν ἅγιον,
τὴν σκηνὴν τὴν ἔντιμον,
τοῦ οὐρανοῦ καὶ τῆς γῆς τὴν πλατυτέραν
ὡς θεοτόκον πιστοὶ μεγαλύνομεν.

Ἐκ τῶν ἱδρώτων, σεμνή, τῆς ἀσκήσεως
ἐκ τῶν αἱμάτων, σεπτή, τῆς ἀθλήσεως
οἱ τῆς δόξης στέφανοι
ἀντεπιμετροῦνταί σοι
καὶ τῶν βραβείων τιμαὶ καὶ τῶν ἐπάθλων
ἐξ οὐρανοῦ ἐπὶ γῆς πολλαὶ ἰάσεις.

140-147 θεοτ. om. Σω 143 ἐν sup. lin. scriptum est in N ἐν] σῇ Z
144 σταγῶνας Z
heirm. θ′ EE 14, n. 18, Andreae, sed discrepans in nonnullis verbis ab EE heirm. 3 ἅγιον] ἔμψυχον EE 4 ἔντιμον] ἄχραντον EE
5 καὶ γῆς EE 6 οἱ πιστοὶ EE 148 σεμνοὶ N Z 149 σεπτοὶ N Z
151 ἀντεπιμετρῶνταί σοι N

140-141 Ex. 19,16 142 Jud. 6, 37-40

Τοῦ ἐραστοῦ τὸ ἐράσμιον πρόσωπον
οὐ δι' ἐσόπτρου ἀλλ' ἔγγιστα βλέπουσα
f. 254 (258) || βασιλεῖ ἀγάθυνον,
ἵνα τὸ μνημόσυνον
ἐξολοθρεύσῃ ἐκ γῆς τῶν βλασφημούντων,
ποῦ ὁ Θεὸς αὐτῶν ζῇ ἐσταυρωμένος.

θεοτ. Σὺ εἶ πυρφόρος λαβὶς ἡ καθαίρουσα
ἁμαρτιῶν τὰ ὑλώδη βλαστήματα,
κιβωτὸς ἡ πάγχρυσος,
ἐξ ἧς τὸ ἀκένωτον
θεογνωσίας ἡμῖν μάννα πηγάζει,
ᾧ τὰς ψυχὰς στηριζόμεθα, δέσποινα.

154-159 trop. om. Z 155 ἀλλ' ἔγγιστα] ἀλλὰ μέγιστα Σω 158 φλασφημούντων N 164 μάννα πηγάζει] πηγάζει μάννα Σω 165 ὦ οἱ πιστοὶ τὰς ψυχὰς φωτιζόμεθα Σω ᾧ] ὧν N στηριζώμεθα N

154-155 I Cor. 13,12 160 Is. 6,6 162 Ps. 131,8

IN SANCTUM MARINUM

Synaxarium, 313: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου. Οὗτος ἦν ἐπὶ Μακρίνου τοῦ βασιλέως Ῥώμης, Ῥωμαῖος τὸ γένος, τῆς συγκλήτου μετέχων βουλῆς καὶ τιμῆς ἐπὶ παιδικῆς ἔτι τῆς ἡλικίας. Διαβληθεὶς δὲ ὡς εἴη χριστιανὸς καὶ εἰς ἐξέτασιν ἀχθεὶς καὶ θῦσαι μὴ βουληθεὶς ἀναρτᾶται καὶ σπαθίζεται. Εἶτα ἐπὶ ἐσχάρας πυρὸς τίθεται καὶ ἐν τηγάνῳ ἐκκαυθέντι καὶ ἐν χαλκῷ λέβητι, καὶ ἐκ πάντων τῇ τοῦ Χριστοῦ χάριτι ῥύεται, τοῦ πυρὸς εἰς δρόσον μεταβληθέντος· καὶ πολλῶν ἐπ' αὐτὸν θηρίων ἀπολυθέντων, διαφυλάττεται ἀσινής· εἶτα διὰ προσευχῆς καταβάλλει τὰ εἴδωλα, ἀπατήσας τὸν βασιλέα, ὡς ἀφίξεται πρὸς τὸν ναὸν καὶ θυσίαν τοῖς εἰδώλοις προσάξει· καὶ οὕτως τὴν διὰ ξίφους δέχεται τελευτήν, προπεμπόντων αὐτὸν τῆς τε μητρὸς καὶ τοῦ πατρὸς καὶ μακαριζόντων.

Crypt. Δ.α. XIV	=	Cf, ff. 113v-118v
Crypt. Δ.α. IV	=	Ce, ff. 97-100
Vallic. gr. 167	=	Eb, ff. 29v-31
Vat. gr. 2069	=	Vb, ff. 88v-90
Sinait. gr. 578	=	Σc, ff. 18v-19v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν παμμέγιστον Μαρῖνον μέλπειν θέμις· **Ἰωσήφ.**

Ἦχος γ'.
ᾠδὴ α'. *Ὁ τὰ ὕδατα πάλαι*

Τὸν γενναῖον ὁπλίτην
ᾄσμασι θείοις
Μαρῖνον ἀνευφημήσωμεν πάντες·

---

tit. Ὁ κανὼν τοῦ ἁγίου Μαρίνου φέρων... Cf Τῇ ἑσπέρᾳ κανὼν τοῦ ἁγίου μάρτυρος Μαρίνου φέρων ... Ce Eb Εἰς τὸ μεσονύκτιον ψάλλομεν τὸν κανόνα παρόντα τοῦ ἁγίου μάρτυρος Μαρίνου... Vb Ἕτερος κανὼν εἰς τὸν ἅγιον μάρτυρα Μαρῖνον Σc nomen hymnographi Ἰωσὴφ in marg. exstat in Cf Eb, cett. cdd. in rubrica; hoc etiam e litteris primis trop. odes θ' deducitur
heirm. α' EE 67, n. 95, Joannis 3 πάντες Σc: ὕμνοις cett. cdd.

τοῦ Χριστοῦ οὗτος γὰρ
σαρκὶ τὰ στίγματα
χαίρων ἀνεδέξατο
καὶ τὸν μεγάλαυχον ὄφιν
γνώμης ἀνδρειότητι
εἰς γῆν κατέαξεν.

Ὁ κλεινὸς ἀθλοφόρος
νεύματι θείῳ
τὴν θείαν ἀναλαβὼν πανοπλίαν,
πρὸς ἐχθροῦ πόλεμον
παραταξάμενος,
νίκην ἀπηνέγκατο
f. 114 καταπαλαί||σας τὰς τούτου
δυνάμεις τῇ χάριτι
τοῦ παντοκράτορος.

Νέῳ σώματι, μάκαρ,
φρόνημα φέρων
ἐν χάριτι παλαιόν, ἀθλοφόρε,
εὐγενὲς βλάστημα,
Μαρῖνε, ἤνθησας
φρόνημα παράνομον
καταπατῶν καὶ κραυγάζων·
« ἕνα μόνον Κύριον
Θεὸν ἐπίσταμαι ».

θεοτ. * Πολυώνυμε κόρη,
χαίροις, ἁγία
Μαρία, μήτηρ Χριστοῦ καὶ παρθένε,
τῶν πιστῶν καύχημα,
κατάρας λύτρωσις,
Εὔας ἡ ἀνάκλησις,
ἀκατανόητον θαῦμα,
βάτε ἀκατάφλεκτε,
γῆ ἀγεώργητε.

---

15 ἀπηνέγκατο] σε ἠνέγκατο Cf εἰσηγάγετο Ce Eb 24 παράνομων Ce Eb 25 κραυγάζων] κράζων Σc 28-36 θεοτ. in TR 435, sed. vv. 30, 33 variis lectionibus discrepantes 30 παρθένε, θεοκυῆτορ, Μαρία TR Μαρία om. Σc 33 κλίμαξ ἐπουράνιε TR

4-6 Gal. 6,17 35 Ex. 3,2

f. 114ᵛ ᾠδὴ β'. *Πρόσεχε, γῆ καὶ οὐρανέ,*
καὶ ἐνωτίζου τὰ ῥήματά μου·

Ἀνενδοιάστῳ λογισμῷ
πρὸς τοὺς ἀγῶνας τοῦ μαρτυρίου
ἐχώρησας, ἀθλητὰ
θεομακάριστε.

Μαρτυρικῶς ἐν αἰκισμοῖς
δοκιμασθεῖσά σου ἡ καρδία
καθαρωτέρα χρυσοῦ,
Μαρῖνε, γέγονεν.

Μονάδα φύσει προσκυνῶν
καὶ καταγγέλλων, Μαρῖνε μάρτυς,
πολυθείας πυρὰν
αἵμασιν ἔσβεσας.

θεοτ. Εὐλογημένος ὁ καρπὸς
τῆς σῆς κοιλίας, εὐλογημένη,
ὁ διασώζων ἡμᾶς
ταῖς ἱκεσίαις σου.

f. 115 ᾠδὴ γ'. *Ὁ ἐκ μὴ ὄντων*
τὰ πάντα παραγαγὼν

Γενναιοφρόνως
τὸ πάθος τοῦ ἀπαθοῦς
μιμούμενος, ἔνδοξε,
ἐπὶ ξύλου ἀνήρτησαι
ἀφειδῶς ξεόμενος
καὶ καταράσσων ἐχθροῦ τὴν δυναστείαν.

---

heirm. β' EE 79, n. 112, Germani 37-52 ode β' desideratur in Ce Vb Σc 37 Ἀνενδυάστω Ce Eb 48 αἵμασιν ἔσβεσας] ἔσβεσας χάριτι Eb heirm. γ' EE 67, n. 95, Joannis 58 τὴν δυναστείαν] τὰς μεθοδίας Σc

---

49-50 Luc. 1, 42

Ἰσχὺν καὶ κράτος
ἔχων Χριστὸν ἐν τῇ ψυχῇ
ἔδειξας ἀνίσχυρον
τὴν ὁρμὴν τοῦ δικάζοντος,
ἀθλητὰ μακάριε·
καὶ νῦν μαρτύρων χοροῖς συνηριθμήθης.

Σὲ διαπρίσαι
οἱ σπεύδοντες ἀφειδῶς
Θεοῦ ἐπινεύσεσιν
ἑαυτοὺς κατεμέλιζον,
τοῦ Χριστοῦ σε ἄτρωτον
ὡς ἀθλοφόρον αὐτοῦ διατηροῦντος.

θεοτ. Τῶν θεηγόρων,
παρθένε, σὲ προφητῶν
φωναὶ προκατήγγειλαν
ἐσομένην λοχεύτριαν
τοῦ δι' οἶκτον ἄφατον
τὴν τῶν ἀνθρώπων μορφὴν ἀναλαβόντος.

ᾠδὴ δ'. *Ἔθου πρὸς ἡμᾶς*

Ὅλος τῷ φωτὶ
τοῦ Θεοῦ, παμμάκαρ, λαμπόμενος
πᾶσαν ἐξηφάνισας ἐχθροῦ
εἰδωλικὴν μανίαν καὶ γέγονας
δεκτὸν ὁλοκάρπωμα
καὶ ἱερεῖον,
μάρτυς, καθαρώτατον.

59-64 trop. om. Σc 60 Χριστοῦ Cf τῇ om. Ce Eb Vb 66 ἀφειδῶς] ἀθλητὰ Σc 70 διατηροῦντα (et sup. lin. corr. in -ος Eb) Cf Eb

heirm. δ' EE 67, n. 95, Joannis 79 ἐχθροῦ] ἰσχὺν Cf 80 μανίαν] μαρίναι Σc

---

65-68 P. Franchi de' Cavalieri, *Note agiografiche 5*, Studi e Testi 27, Roma 1915, 87: ... νομίζοντες γὰρ πρίζειν αὐτοῦ τὰ μέλη ἑαυτοὺς κατεκόψαμεν.

Νάμασι τῶν σῶν
ἀνδρικῶν ἀγώνων κατέσβεσας
ἐσχάρας τὸ φλογῶδες καὶ πυρὶ
τοῦ παρακλήτου ὅλος πυρούμενος
δαιμόνων ἐνέπρησας
τὴν τυραννίδα,
μάρτυς, τὴν ὀλέθριον.

Μέλη δεδωκὼς
ἀφειδῶς, σοφέ, κατατέμνεσθαι
θηρσὶν ὠμοτάτοις πρὸς βορὰν
καταδικάζει· μένεις δὲ ἄτρωτος
τῆς τούτων κακώσεως
τῇ δυναστείᾳ,
μάρτυς, τοῦ Θεοῦ ἡμῶν.

Ἄνω πρὸς Θεὸν
διανοίας ἔχων τὰ ὄμματα
πάσχοντος ὡς ἄλλου, ἀθλητά,
ἐνεκαρτέρεις γνώμης στερρότητι,
Χριστοῦ σε ῥωννύοντος·
δι' ὃν τοὺς θείους
ἄθλους ἀναδέδεξαι.

Ce, f. 98 θεοτ. Ῥήγνυται φραγμὸς
παλαιᾶς κατάρας τῷ τόκῳ σου·
κύεις γὰρ Θεὸν Ἐμμανουήλ,
τὸν εὐλογίαις πάντα τὰ πέρατα
φαιδρύναντα, πάναγνε,
ὃν ἀνυμνοῦντες
πίστει σε δοξάζομεν.

91-104 trop. om. Σc 103 δι' ὧν Cf 104 ἀναδέδειξαι Cf post v. 104 folium cecidit in Cf; itaque θεοτ. et ode ε' desunt in Cf

---

107 Is. 7,14; Matth. 1,23

ᾠδὴ ε'. *Ἐπὶ τῆς γῆς*
ὁ ἀόρατος ὤφθης

Ἴσον ἡμῖν
γεγονότα τὸν Λόγον
λόγοις σοφοῖς
δογματίζων ἐν μέσῳ
σταδίου, ἔνδοξε,
ἀνομοοῦντας ᾔσχυνας
καὶ στερρῶς, παμμάκαρ, ἤθλησας.

Νύκτα δεινῆς
ἀσεβείας μειώσας
ὁλοφαὴς
ὡς ἀστήρ, ἀθλοφόρε,
ὡς μέγας ἥλιος
τῶν πιστῶν ἐφώτισας
πᾶν τὸ πλήρωμα, ἀοίδιμε.

Οὐ δειλιῶν
τὴν παφλάζουσαν φλόγα
καὶ τῶν θηρῶν
τὰς ὁρμὰς καταπτύων
Τριάδα ἄκτιστον
ἐναντίον, ἔνδοξε,
παρανόμων ὡμολόγησας.

---

heirm. ε' EE 68, n. 96, Joannis 119-125 trop. deest in Σc
127 παμφλάζουσαν Ce Eb 128 καὶ] οὐ Σc 129 καταπτήσων Σc

115-116 Id., 85: Δευτέρας δὲ ἐξετάσεως γινομένης ἐκέλευσεν ὁ βασιλεὺς θέατρον γενέσθαι καὶ τὸν ἅγιον Μαρῖνον ἀχθῆναι ἐν τῷ θεάτρῳ·

126-127 Id., 89: ... Κέλευσον, αὐτοκράτορ, μετὰ τὸ ἄριστον ἀρῆναν ἀχθῆναι καὶ βληθῆναι πυρὰν μεγάλην καὶ ἀκοντισθῆναι εἰς τὸ πῦρ τὸν ἅγιον ... Κέλευσον, αὐτοκράτορ, οἰκοδομηθῆναι κάμινον καὶ ἐκκαυθῆναι αὐτὴν εἴκοσιν ἡμέρας καὶ εἴκοσι νύκτας, καὶ βληθήσεται ἐκεῖ καὶ ὁμολογήσει τοὺς θεούς.

f.98v θεοτ. ‖ Νέον ἡμῖν
ἀπεγέννησας βρέφος
τὸν ἐκ Πατρὸς
γεννηθέντα ἀχρόνως
πρὸ τῶν αἰώνων, ἁγνή·
διὰ τοῦτο κόρη σε
καταχρέως μακαρίζομεν.

Cf, f. 116 ᾠδὴ ϛ'. *Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν*

Μέλη σου φλεγόμενα καθορῶν
ἐξῆπτες πλέον
τὸν πρὸς Κύριον ἔρωτα
καὶ τὸ θεῖον ἴαμα
ἐξ ὕψους κομιζόμενος
γῆν κατέστρεψας
τῆς ἀπάτης, θεόληπτε.

Ἔφερες τοὺς πόνους τῶν αἰκισμῶν
καὶ θείᾳ, μάρτυς,
ἐπικλήσει συνέσεισας
καὶ εἰς γῆν κατέρραξας
καὶ ὡς κόνιν ἐλέπτυνας
τὰ σεβάσματα
τῶν ἀθέων, πανόλβιε.

Λέοντας ὡς πάλαι ὁ Δανιὴλ
φιμώσας, μάρτυς,

---

136 ἀχρόνως] ἀρεύστως Σc
heirm. ϛ' EE 67, n. 95, Joannis 142 τὸν πρὸς] πρὸς τὸν Cf
148 θείας Eb Vb 154-160 trop. om. Σc

154-155 Id., 88: ... ἀπελύθη δὲ αὐτῷ ὁ λέων μετὰ τῆς παρδάλεως. ἔδραμεν δὲ ὁ λέων πρὸς τὸν ἅγιον τοῦ Θεοῦ παῖδα καὶ περιεπλάκη αὐτοῦ τοῦ σώματος ... τὰ δὲ ζῷα οὐκ ἀπηλάσσοντο αὐτοῦ, ἀλλὰ πρὸς τοὺς πόδας τοῦ ὁσίου ἀνδρὸς ἐκυλίοντο.

154-155 Dan. 6, 19

εἰς Θεοῦ αἶνον ἅπαντας
τοὺς ὁρῶντας ἤγειρας
καὶ σαυτὸν κατεκάλλυνας
ταῖς λαμπρότησι
τῶν ὡραίων στιγμάτων σου.

θεοτ. Πύλην σε ὁρᾷ Ἰεζεκιήλ,
δι' ἧς διῆλθε
τῆς φθορᾶς ἐξαιρούμενος
ὁ τῆς δόξης ἥλιος,
θεοτόκε, τὸν ἄνθρωπον·
ὃν ἱκέτευε
λυτρωθῆναι τοὺς δούλους σου.

f. 116v Κάθισμα.

Ἦχος γ'. Πρός· *Τὴν ὡραιότητα τῆς παρθενίας σου*

Ῥώμῃ τοῦ πνεύματος ἐνδυναμούμενος
πᾶσαν ὑπήνεγκας, Μαρῖνε, βάσανον
καὶ ἐκαρτέρησας πληγὰς ἀνυποίστους τοῦ σώματος·
ὅθεν τελειούμενος τῷ Θεῷ προσενήνεξαι
θῦμα εὐωδέστατον
καὶ σεπτὸν καλλιέρημα·
αὐτὸν οὖν ἐκδυσώπει σωθῆναι πάντας
τοὺς πόθῳ σε γεραίροντας.

ᾠδὴ ζ'. *Τὸ πρὶν εἰκόνι τῇ χρυσῇ*

Ἐπὶ ἐσχάρας ἱερὸν
ὡς θῦμα ὀπτώμενος
τραπέζῃ προσενήνεξαι

---

161 ὁρῶν Ce Eb Vb
heirm. καθ. MR III, 278 3 ἀνυπίστους Cf
heirm. ζ' EE 69, n. 97, Joannis heirm. 1 Τὸ] Τῷ Ce Eb

158-160 Gal. 6, 17 161 Ez. 44, 2

Χριστοῦ, Μαρῖνε,
ἐν πίστει ἀναμέλπων·
« τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ ».

Ἴαμα θεῖον ἐν ψυχῇ
φέρων, ἀξιάγαστε,
f. 117 λεβήτων ‖ καὶ τηγάνων πυρὰν
κατασβέσας
ἐν πίστει ἀνακράζεις·
« τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ ».

Νέους τοὺς τρεῖς ἰχνηλατῶν
ὑπῆλθες τὴν κάμινον
ζεούσῃ προθυμίᾳ, σοφέ,
ἀβλαβὴς δὲ
μείνας Χριστῷ ἐβόας·
« τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ ».

θεοτ. Θεογεννῆτορ Μαριάμ,
τὸν σὸν καθικέτευε
δεσπότην καὶ υἱὸν ἐκτενῶς
πυρὸς ῥυσθῆναι
τοὺς μελῳδοῦντας πόθῳ·
« τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ ».

173, 179, 185, 191 post πατέρων orat. varie intermittunt cdd. 173 ὁ om. Σc 178 ἀνακράζεις Cf: ἀνεβόας cett. cdd. 180-185 om. Σc

---

180-182 Id. 89: Κύριε ... ἐπάκουσον τοῦ δούλου σου Μαρίνου καὶ ἐξελοῦ με ἀπὸ τοῦ πυρὸς τούτου ... ὁ ῥυσάμενος ἐκ καμίνου πυρὸς Ἀνανίαν, Ἀζαρίαν καὶ Μισαὴλ ...
183-185 Id., 90: ... εἰσελθόντος δὲ τοῦ ἁγίου μάρτυρος ἐν τῇ καμίνῳ, παρευθὺ ἐσβέσθη ἡ κάμινος καὶ οὕτως ἦν ἐν μέσῳ τοῦ πυρὸς τῆς καμίνου δοξάζων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ...

180-181 Dan. 3, 24 sqq.

f. 117v ᾠδὴ η'. *Βαβυλωνία κάμινος*

Ἐπὶ βημάτων, ἔνδοξε,
Θεὸν ὡμολόγησας
σάρκα γεγονότα δι' ἡμᾶς καθ' ἕνωσιν ἀπόρρητον·
διὸ τοὺς τῶν μαστίγων πόνους ὑπέφερες
« εὐλογεῖτε », κραυγάζων,
« τὰ ἔργα τὸν Κύριον ».

Μαρτυρικῶς ἠγώνισαι
ἐν γῇ κυλιόμενος
λίθος ὡς ὑπέρτιμος, σοφέ, καὶ τῆς πλάνης ὀχύρωμα
συντρίβων ἐν τῷ μέλπειν γενναιοτάτῃ ψυχῇ·
« εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον ».

« Ἰσχύς μου καὶ ὕμνησις
ὑπάρχει ὁ Κύριος »,
μάρτυς, ἀνεβόας ἀφειδῶς, Μαρῖνε, σπαθιζόμενος·
αὐτοῦ τῇ συμμαχίᾳ κατετροπώσω ἐχθρούς
« εὐλογεῖτε », κραυγάζων,
« τὰ ἔργα τὸν Κύριον ».

θεοτ. Σὲ Ἰακὼβ ἑώρακε
κλίμακα, πανάμωμε,
ἐν ᾗ ἐπεστήρικτο Θεὸς ἐκ γῆς πρὸς οὐρανὸν ἀνυψῶν
τοὺς πίστει ὀρθοδόξως βοῶντας πάντοτε·
« εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον ».

---

heirm. η' EE 69, n. 98, Joannis 195 τῶν] ἐκ Σc 201 γενναιοτάτη Ce Eb ψυχὴ Ce 202, 214 post ἔργα orat. detruncant cdd. 207 κατατροποῦμαι Ce Eb Vb κατὰπαλαίσω Σc 208 post κραυγάζων orat. varie abrumpunt cdd. 209 τὰ ἔργα] κυρίου Σc 213 ὀρθοδόξων Ce Vb ὀρθοδόξω Σc

---

192-193 Cfr. sup. vv. 115-116.

---

194 Joh. 1,14 204-205 Ps. 117,14 210-211 Gen. 28,12

f. 118 ᾠδὴ θ'. *Ἐν νόμῳ σκιᾷ καὶ γράμματι*

Ἰκρίῳ παγείς, ὡς πάλαι
ὁ Χριστός, κοπτόμενος μεληδὸν
εἰς πῦρ ἐβλήθης, μάκαρ,
καὶ θηρῶν ἐφίμωσας ὁρμὰς
καὶ διὰ ξίφους τὸ τέλος
λαβὼν ἀνέδραμες
πρὸς ὃν ἐπόθεις, Μαρῖνε,
καὶ τῆς ἄνω δόξης ἔτυχες.

Ὡς θῦμα δεκτόν, ὡς μύρον
εὐῶδες, ὡς καθαρὰ προσφορά,
σεπτὸν ὡς ἱερεῖον,
ὡς κριὸς ἐπίσημος, σοφέ,
τῷ πλαστουργῷ προσηνέχθης
μαρτυρικαῖς καλλοναῖς
ὡραϊσμένος, Μαρῖνε,
καὶ τῆς θείας δόξης ἔτυχες.

Σοφῶν προφητῶν, μαρτύρων,
ἁπάντων ὁσίων ἱεραρχῶν,
κηρύκων, ἀποστόλων
ἠριθμήθης, μάκαρ, τοῖς χοροῖς
καὶ σὺν αὐτοῖς τρισαγίαν
μέλπεις ᾠδὴν τῷ Θεῷ
εὐπρεπεστάτῳ στεφάνῳ
μαρτυρίου σεμνυνόμενος.

---

heirm. θ' EE 71, n. 101, Cosmae
heirm. 1 σκιὰν Eb 223 νίκης γέρα κομισάμενος Σc 226 σ. ὠ ἱερείων Σc 231 θείας] ἄνω Σc 236-237 καὶ τῷ Θεῷ νῦν παρίστασε ἀξιάγαστε Σc

---

216-217 Id., 86: Ἐκέλευσεν δὲ ὁ βασιλεὺς κύβον ἐλθεῖν λίθινον καὶ ξύλινον πρίονα καὶ σφῆνας τορνευτὰς καὶ διαταθέντα πρίζεσθαι τὸν ἅγιον τοῦ Θεοῦ παῖδα.

f. 118v || Ἡ σὴ ἑορτὴ ὡς ἥλιος
λάμπει ἡμᾶς φωτίζουσα,
ἐν ᾗ συναθροισθέντες
ὡς φωτὸς ὑπάρχοντα υἱὸν
καὶ κληρονόμον ἡμέρας
ἀδιαδόχου σὲ
ἐκδυσωποῦμεν, Μαρῖνε·
« σῶσον πάντας ἱκεσίαις σου ».

θεοτ. Φανεῖσα Θεοῦ ἀλόχευτος
μήτηρ πάντων ὑπέρκεισαι νῦν
τῶν ἄνω στρατευμάτων·
ἣν ὑμνοῦσι πᾶσαι γενεαὶ
καὶ μακαρίζουσι πόθῳ,
καθὼς προέφης, ἁγνή·
διὸ ἐκ πάσης ἀνάγκης
ῥῦσαι κόσμον ἱκεσίαις σου.

240-247 trop. om. Σc 245 σὲ] σου Ce Eb 251, 252 ὑμνοῦμεν, μακαρίζομεν Σc

243-244 I Thes. 5,5 251-253 Luc. 1,48

IN SANCTUM MARINUM

Crypt. Δ.α. XIV = Cf, ff. 114-118v
Mess. gr. 135 = N, ff. 242(246)-245v(249v)

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Μαρῖνον αἰνῶ τὸν σοφὸν θεηγόρον χαίρων.
⟨Ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος*

Μεγάλῳ καὶ ὑψηλῷ κηρύγματι
Μαρῖνος σήμερον
τοὺς φιλεόρτους πάντας προσκαλεῖ
πρὸς εὐφρόσυνον μέθεξιν
καὶ μυστικὴν ἐντρύφησιν
τῶν παλαισμάτων καὶ ἀγώνων αὐτοῦ.

Ἀπάρας τῶν αἰσθητῶν τὰ ὄμματα,
Μαρῖνε ἔνδοξε,
τὰ τῆς ψυχῆς πρὸς θέαν νοητὴν
τὸν τῶν ὅλων ἐπέγνως Θεόν,
ὃν ἐκ ψυχῆς ἠγάπησας
καὶ ὑπὲρ οὗ στερρῶς ἐνήθλησας.

Ῥομφαίαν τὴν νοητὴν σπασάμενος
τοῦ λόγου, ἔνδοξε,
ἐν τῇ καρδίᾳ ἔτρωσας ἐχθρὸν

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Μαρίνου φέρων ... Cf Ὁ κανὼν N nomen hymnographi Γεωργίου e θεοτ. litteris primis deducitur, rubrica silet
heirm. α' EE 94, n. 133, Joannis 3 συγκαλεῖ N 7-12 trop. om. N 15 ἐχθρῶν Cf

τὸν τοῦ ψεύδους παραίτιον
καὶ τῇ Χριστοῦ ἐβράβευσας
πίστει, Μαρῖνε, νικητήρια.

Ἱδρύσας ἐπὶ στερρὰν καὶ ἄσειστον
πέτραν τῆς πίστεως
τὰς τῆς ψυχῆς σου βάσεις, ἀθλητά,
τρικυμίαις βασάνων πολλῶν
οὐκ ἐσαλεύθης, ἔνδοξε·
Χριστὸν γὰρ εἶχες ἐπερείδοντα.

θεοτ. Γαλήνην ἐν τρικυμίαις ἔχοντες
σέ, θεονύμφευτε,
τῶν ἀλγεινῶν οἱ μάρτυρες ἀεὶ
διὰ σοῦ πρὸς τὸν εὔδιον
τῆς νίκης καθωρμίζοντο
λιμένα θεῖον καὶ τὰ τρόπαια.

f. 114v ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

Νέφεσιν, ἔνδοξε,
τοῖς τῶν βασάνων τὸ φαιδρὸν
καὶ διαυγὲς τῆς ὑπομονῆς
οὐκ ἐκαλύφθης, Μαρῖνε·
τὸν ἥλιον τῆς δόξης
Χριστὸν γὰρ εἶχες ἀεί σε ἀκτῖσι
ταῖς οἰκείαις καταυγάζοντα φαιδρῶς.

Ὅπλοις τῆς πίστεως
περιφραξάμενος στερρῶς
παρεμβολὰς ἔτρεψας ἐχθρῶν
καὶ ἀριστεύσας ἀνδρείως,

19-24 trop. deest in N
heirm. β' EE 105, n. 148, Andreae 31-65 ode β' desideratur in N
32 τοῖς] ταῖς Cf

Μαρῖνε, ἐν ἀγῶσι
τοῦ μαρτυρίου τῆς νίκης βραβεῖα
ὑπεδέξω τοῦ δεσπότου ἐκ χειρός.

Νύκτα παρέδραμες
τὴν τῆς ἀπάτης, ἀθλητά,
καί, ἀπλανοῦς πίστεως φωτὶ
καταυγασθείς, ἑωσφόρος
ἐν μάρτυσιν ἐδείχθης,
τῆς καρτερίας ἀκτῖνας ἐκλάμπων
καὶ συνάθλους καταυγάζων νοητῶς.

f. 115 ‖ Ἅρματι, ἔνδοξε,
ὡς πυριμόρφῳ ἐπιβὰς
ἐν τῇ φλογὶ τῇ τοῦ ὁρατοῦ
πρὸς πῦρ μετέωρος ἤρθης
καὶ θέας ἠξιώθης,
τοῦ ἀθλοθέτου δεσπότου βραβεῖα
σοὶ προτείνοντος, Μαρῖνε, νοητῶς.

θεοτ. Ἔχοντες, δέσποινα,
τὴν σὴν πρεσβείαν συνεργὸν
οἱ ἀθληταὶ ἔθραυσαν ἐχθρῶν
βέλη καὶ κράτη καθεῖλον
ἀντίθεα καὶ νίκην
τὴν κατ' αὐτῶν εἰληφότες αἰνοῦσιν
εἰς αἰῶνάς σε μητέρα τοῦ Θεοῦ.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἰσχὺν καὶ κράτος Χριστοῦ
ἐνδεδυμένος φοβερός, ἔνδοξε,

---

55 πῦρ scripsi: γὰρ cd. 58 προτείνοντι Cf 62 κράτει Cf
heirm. γ' EE 94, n. 133, Joannis 67 φοβερῶς N

52-58 P. Franchi de' Cavalieri, *Note agiografiche 5*, Studi e Testi 27, Roma 1915, 90: ... καὶ ἐτέθη θρόνος ἐν τῇ καμίνῳ... καὶ οὕτως ἦν ἐν μέσῳ τοῦ πυρὸς τῆς καμίνου δοξάζων τὸν κύριον ... 91: ἅρματι πυρίνῳ τοῦτον διαστρώσας ... ἡ δὲ ψυχὴ αὐτοῦ ἦν βαδίζουσα εἰς τὸν οὐρανὸν...

τοῖς πολεμοῦσιν ἐχθροῖς
καρτερῶν ἐδείχθης ἐν σκάμματι.

Ναμάτων ἐμφορηθεὶς
τῶν τῆς ἀγάπης τοῦ Χριστοῦ, ἔνδοξε,
τῶν ἐπικήρων τερπνῶν
καὶ δόξης φθαρτῆς κατεφρόνησας.

Ὡς κλίμακι ἐπιβὰς
ταῖς τῶν βασάνων μηχαναῖς ἔφθασας
τῇ ἐπιδόσει αὐτῶν
πρὸς ὕψος οὐράνιον.

θεοτ. Ὡς ἄγκυραν ἀρραγῆ
τὴν σὴν οἱ μάρτυρες Χριστοῦ ἔχοντες
θείαν πρεσβείαν, ἁγνή,
εἰς λιμένα νίκης ἰθύνοντο.

N, f. 243 (247) ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία*

Τὴν τοῦ κτίστου ὑπὲρ ἔννοιαν ῥητορεύων
καὶ θείαν συγκατάβασιν
γλώσσας δυσφημούντων
ἔδησας καὶ στόματα,
Μαρῖνε, ἀπέφραξας
κατὰ τοῦ Θεοῦ πλατυνόμενα.

⟨O — ´ — — — ´ — — — — — ´ —
— ´ — — — — ´ —
´ — — — — ´ —
´ — — — — ´ — —
— ´ — — — ´ — — —
— ´ — — — ´ — — — ´ — —⟩.

70-73 trop. deest in N post v. 81 folium cecidit in Cf; itaque odae δ' et ε' desunt in cd. usque ad v. 131
heirm. δ' EE 94, n. 133, Joannis 88-99 duo trop. desiderantur in N

⟨N— — ´ — — — — ´ — — — — — ´ —
— ´ — — — — ´ —
´ — — — — ´ —
´ — — — — ´ — —
— ´ — — — ´ — —
— ´ — — — ´ — — — ´ — —⟩.

Συνετρίβη τῇ ἐνστάσει τῆς σῆς ἀνδρείας
ὄρη τῆς ἀσεβείας
καὶ βωμοὶ εἰδώλων
εἰς γῆν κατεβλήθησαν,
Χριστοῦ δὲ ἡ δύναμις
διὰ σοῦ, Μαρῖνε, δεδόξασται.

θεοτ. Ῥώμην σύμμαχον καὶ κράτος οἱ ἀθλοφόροι
ἐν τῷ σταδίῳ, ἄχραντε,
τὴν σὴν μεσιτείαν
ἔχοντες κατέβαλον
τυράννων φρυάγματα
καὶ στεφανηφόροι ἐδείχθησαν.

ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*

243v (247v) ‖ Οἱ ὄμβροι τῶν σεπτῶν
αἱμάτων σου κατέκλυσαν
τὴν ὕλην τῆς ἀσεβείας
καὶ πιστοῖς, ἀθλοφόρε,
θεῖον ἴαμα ἔβλυσαν.

Φωστῆρ⟨α⟩ ἀειφανῆ
τῆς δόξης σε ὁ ἥλιος
ἀνέδειξεν ἐν τῷ κόσμῳ
τῶν θαυμάτων ἀκτῖνας,
Μαρῖνε, ἀπαστράπτοντα.

101 ὄρει N
heirm. ε' EE 94, n. 133, Joannis 117 Φωστὴρ N: malim Φωστῆρ'

⟨Ο —́ — — — —́
— —́ — — — —́ — —
— —́ — — — — — —́ —
— — —́ — — —́ —
— —́ — — — —́ — —⟩.

θεοτ. Γαλήνην ἐν σφοδραῖς
τρικυμίαις, πανάχραντε,
βασάνων οἱ ἀθλοφόροι
σὲ εὑρόντες ἐξ ὕψους
τῆς νίκης ἐγκαθώρμησαν.

Cf, f. 116 ᾠδὴ ς΄. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Νάματα
θεολογίας βλύζων, ἀοίδιμε,
τῇ τῶν πιστῶν ὁμηγύρει
ποταμὸς ἐδείχθης, ταύτης ἀρδεύων
τοὺς αὔλακας
εὐσεβείας, Μαρῖνε, τοῖς δόγμασιν.

Θῆρές σε
ἐπεγνωκότες, μάρτυς, θεράποντα
ἠγαπημένον τοῦ κτίστου
f. 116ᵛ ἔπτηξαν καὶ φό||βῳ ὑποχωροῦντες
ἀλαλήτοις
σέ, Μαρῖνε, φωναῖς ἀνεκήρυττον.

Ἔτεμες
τὰς κεφαλὰς τοῦ ψεύδους, πανόλβιε,
τῆς ἀληθείας μαχαίρᾳ

122-126 trop. om. N
heirm. ς΄ EE 94, n. 133, Joannis 136 τοὺς] τὰς N 138 Θῆρές σε] Θηρεῦσαι Cf 144-149 trop. deest in N

καὶ συνδέσμους ἔλυσας τῆς ἀπάτης
καὶ ἀνθρώπους
τῇ Χριστοῦ ἀγαπήσει συνέδησας.

θεοτ. Ἴσχυσεν
ἡ ἀσθενοῦσα φύσις τῷ τόκῳ σου
δυναμωθεῖσα, παρθένε,
τοῦ ἐχθροῦ τὸ κράτος καταπαλαῖσαι·
διὰ τοῦτο
τῶν μαρτύρων τὰ πλήθη γεραίρει σε.

f. 117 ᾠδὴ ζ΄. *Ἐν τῇ καμίνῳ*

Ἠκονημένα
τὰ τῶν σοφῶν σου λόγων, μάρτυς Χριστοῦ,
βέλη
ἐν καρδίᾳ ἔπηξας τοῦ ἐχθροῦ
καὶ αὐτὸν εἰς γῆν ἀπέρριψας
καὶ ἐθανάτωσας
καὶ βραβεῖα τῆς νίκης ἀπείληφας.

Γαληνιώσῃ
καὶ συμπαθεῖ τῇ γνώμῃ καὶ προσηνεῖ,
μάρτυς,
τῇ φλογὶ ὡμίλησας τοῦ πυρὸς
καὶ εἰς δρόσον μετεποίησας,
Μαρῖνε ἔνδοξε,
τὴν αὐτῆς ἐνέργειαν ἐντεύξεσιν.

Ὁ θεῖος ἔρως
ἐν τῇ ψυχῇ σου, μάρτυς, κατοικισθεὶς

Post oden ς΄ κάθ. « Σήμερον τὰ τῶν ἀγγέλων στρατεύματα », PaR 292, praebet N
heirm. ζ΄ EE 94, n. 133, Joannis 163 Γαληνιῶσα N 164 συμπαθεῖ] εὐπαθεῖ Cf προσινῆ N 170-183 duo trop. desiderantur in N

μόνῃ
τῇ τοῦ ποθουμένου σε νοητῶς
ἀλλοιώσει, παναοίδιμε,
ὅλον ἐπύρωσε
καὶ ἐχθροῖς φοβερώτατον ἔδειξεν.

Ῥώμῃ τῇ θείᾳ
κραταιωθεὶς ἐν ἄθλοις, μάρτυς Χριστοῦ,
πᾶσαν
προσβολὴν τυράννων καὶ μηχανὴν
ἀπεκρούσω γενναιότητι·
τὸν δυναμοῦντα γὰρ
προεώρας, Μαρῖνε, ἐνώπιον.

θεοτ. Ὁ τὴν ἀνθρώπων
ἐκ σοῦ φορέσας φύσιν ὡς ἀγαθὸς
Λόγος
τοῦ Θεοῦ, παρθένε, τὸ ταπεινὸν
ταύτης ὕψωσεν, ἐδόξασε
καὶ ἀπροσμάχητον
κατὰ τῶν ἐναντίων ἀνέδειξεν.

f. 117v ᾠδὴ η′. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ὁ πάντα ποιῶν ὡς δυνατὸς
τῷ θείῳ νεύματι
καὶ τῷ βουλήματι
ἐκαινοτόμησεν, ἔνδοξε,
διὰ σοῦ καὶ μετεποίησε
τὰς τῶν πραγμάτων ὡς Θεὸς
φύσεις καὶ δόξης σε
ἠξίωσε
τοῦτον ὑμνοῦντα, Μαρῖνε, ὡς Κύριον.

heirm. η′ ΕΕ 94, n. 133, Joannis   194 ἐκενοτόμησεν Cf   197 δόξη σε N

Νοῦν διανυψώσας πρὸς Θεὸν
καὶ τῆς σαρκώδους ζωῆς
ἐπιλαθόμενος
ὥσπερ ἀσώματος ἔπασχες,
καρτερῶν ἐν τοῖς παλαίσμασι
καὶ εὐχαρίστως ἐκβοῶν,
Μαρῖνε ἔνδοξε·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Χεῖρας ἐκπετάσας πρὸς Θεόν,
ὡς ὁ προφήτης ποτὲ
ἐν λάκκῳ, ἔνδοξε,
θηρῶν ἀπέφραξας στόματα
καὶ πυρὸς ὁρμὴν ἀπέσβεσας
καὶ εὐχαρίστως τῷ Χριστῷ,
Μαρῖνε, ἔκραζες·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Αἵμασι κατέσβεσας τὸ πῦρ
τῆς ἀθεότητος,
f. 118 || Μαρῖνε ἔνδοξε,
καὶ θεῖα νάματα ἅπασι
τοῖς πιστοῖς θαυμάτων ἔβλυσας,
τῷ σὲ δοξάσαντι Θεῷ
ἀπαύστως κράζουσιν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

θεοτ. Ὑπέρμαχον τέθεικε βροτῶν,
σέ, θεονύμφευτε,

207, 216, 225 post εὐλογ(εῖτε) orat. varie detruncant cdd.   209-226 duo trop. desiderantur in N

210-211 Dan. 6,18 sqq.

ὁ ὑπὲρ ἔννοιαν
ἐκ σοῦ δι' ἄφατον ἔλεον
σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος·
διὸ καὶ κράτος διὰ σοῦ
περιβαλλόμεθα
ἐκβοῶντες·
« πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

f. 118v ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ἰλύος παθῶν ἐκκαθάρας
τὸ τῆς ψυχῆς ὄμμα, θεόφρον,
καθαρῶς τὴν δόξαν τοῦ κτίστου
τῇ νοουμένῃ θέᾳ κατώπτευσας,
πρὸς ἣν καὶ ἐξεδήμησας,
Μαρῖνε, χαίρων δι' ἀθλήσεως.

Ῥεῖθρα ἀενάου σοφίας
τῆς ἀληθοῦς, μάρτυς, πηγάζων
τὰς τῆς ψευδωνύμου σοφίας
πλοκὰς καὶ λόγους καὶ τὰ σοφίσματα
κατέκλυσας καὶ ἤρδευσας
πιστοὺς τοῖς νάμασι τῆς γνώσεως.

Ὡς ἐν πολυφώτῳ παστάδι
ἐν τῷ σταδίῳ ὑπεισδύσας
καὶ τοῖς τῶν βασάνων ποικίλοις
σαυτὸν κοσμήσας, Μαρῖνε, στίγμασι
πρὸς οὐρανὸν ἐχώρησας
πεποικιλμένος θείαις χάρισιν.

Νῦν σὺν ἀσωμάτων χορείαις
καὶ ἀποστόλων καὶ μαρτύρων,

---

235 post πάντα orat. abrumpit N
heirm. θ' ΕΕ 94, n. 133, Joannis 248-259 trop. duo om. N

250-251 Gal. 6, 17

μάρτυς, κατοπτεύων τὰ κάλλη
τοῦ ἀθλοθέτου Χριστοῦ ἱκέτευε
τοῦτον, Μαρῖνε ἔνδοξε,
ὑπὲρ τῶν πόθῳ εὐφημούντων σε.

θεοτ. Ὑμνοῦσι τὸν τόκον σου πάντες
οἱ ἀθλοφόροι, θεοτόκε,
ὡς ὑπεραθλήσαντες τούτου
καὶ σὲ μεσῖτιν καὶ συνεργὸν τῶν καλῶν
καὶ τῶν στεφάνων πρόξενον
ἀκαταπαύστως μεγαλύνουσιν.

---

258 τούτου Cf 263 μεσίτην cdd.

IN DANIELEM PROPHETAM ET TRES PUEROS

Synaxarium, 317-320: Μνήμη τῶν ἁγίων τριῶν παίδων Ἀνανίου, Ἀζαρίου, Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου. Οὗτος ἦν ἐκ φυλῆς Ἰούδα, γένους τῶν ἐξεχόντων τῆς βασιλικῆς ὑπηρεσίας· ἐγεννήθη δὲ ἐν Βηθαρῷ τῇ ἀνωτέρᾳ. Ἀλλ' ἔτι νήπιος ὢν ἤχθη ἐκ τῆς Ἰουδαίων αἰχμαλωσίας εἰς τὴν Χαλδαίων γῆν· καὶ προεφήτευσεν ἔτη ἑβδομήκοντα, προέλαβε δὲ τὴν γέννησιν τοῦ Χριστοῦ ἔτη υξ'. Ἦν δὲ ἀνὴρ σώφρων, ὥστε δοκεῖν τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα. Πολλὰ δὲ ἐπένθησεν ἐπὶ τῆς γῆς καὶ ἐν νηστείαις ἤσκησεν ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς· καὶ ἦν ξηρὸς τὴν ἰδέαν ἀλλὰ πάνυ ὡραῖος τῇ χάριτι τοῦ Ὑψίστου. Οἱ δὲ τρεῖς παῖδες, κατὰ τὴν ἱστορίαν, ὑπῆρχον ἐκ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, Ἐζεκίου πατρὸς καὶ μητρὸς Καλλιγόνης. Ὅστις Ἐζεκίας ἐτόλμησεν εἰπεῖν τῷ Θεῷ φυλάξαι τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ· καὶ προσθήκην ἔλαβε τῆς ζωῆς ἔτη ιε'. Τῆς δὲ Ἱερουσαλὴμ ὑπὸ τοῦ βασιλέως Ἀσσυρίων Ναβουχοδονόσορ πολιορκηθείσης, ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα μετὰ Δανιὴλ τοῦ προφήτου καὶ καθίστανται ἐπιστάται τῶν πραγμάτων τοῦ βασιλέως διὰ τὴν ἀρετὴν αὐτῶν. Εἶτα ἐξουδενώσαντες τὴν εἰκόνα, ἣν ἔστησε, καὶ μὴ προσκυνήσαντες βάλλονται ἐν τῇ ἑπταπλασίως καυθείσῃ καμίνῳ, ἐν ᾗ τῇ τοῦ θείου ἀγγέλου συγκαταβάσει δροσιζόμενοι ἔψαλλον. Ἔνθα τὸ παράδοξον ἰδὼν ὁ βασιλεὺς ὡμολόγησε μέγαν εἶναι τὸν Θεόν, τὸν ὑπ' αὐτῶν ὑμνούμενον· ἡ γὰρ κάμινος μετεποιήθη εἰς δρόσον καὶ ἔμειναν οἱ ἅγιοι ἀβλαβεῖς. Δανιὴλ δὲ καίτοι συμβιοτεύων αὐτοῖς καὶ συνδιαιτώμενος καὶ τῆς τιμῆς αἴτιος αὐτοῖς γενόμενος, τῇ καμίνῳ οὐ συνεμβάλλεται· οὐδὲ γὰρ τοῦτο ἔστιν μαθεῖν ὑπὸ τῆς γραφῆς ὡς σιωπηθὲν ταύτῃ καὶ μεῖναν ἀπαρασήμαντον, τάχα, ὡς ἐμοὶ δοκεῖ, καὶ τῇ ἀληθείᾳ τῶν εἰκότων λόγων οὐκ ἔξω, διὰ τὸ ἐπιτεθὲν αὐτῷ Βαλτάσαρ ὄνομα, τῆς ὑπερεχούσης τιμῆς γνώρισμα. Ἵνα γὰρ παρὰ τοῖς θεοποιοῦσι τὸ πῦρ κατὰ λογισμῶν τῶν ἑστώτων ἐκμόχλευσιν μὴ τὸ παράδοξον τοῦ θαύματος δόξῃ πεποιηκέναι Βαλτάσαρ ὁ αὐτῶν θεὸς οὕτω καλούμενος, οὐκ οἰκονομεῖται Δανιήλ, τὴν τοῦ Θεοῦ προσηγορίαν λαβών, τὴν πρὸς τὸ πῦρ συνεισέλευσιν· οὔτε μὴν τοῖς περὶ τὴν κάμινον διηγήμασιν ἀναγράφεται. Οἱ δὲ ἅγιοι τρεῖς παῖδες μετὰ τὴν ὑπὲρ νοῦν ἐκ τοῦ πυρὸς σωτηρίαν ἐφ' οἷς εἶχον πάλιν ἀποκαταστάντες καὶ πᾶσαν τὴν ζωὴν ἐπίδοξον διαγαγόντες, ἐν εἰρήνῃ σὺν τῷ Δανιὴλ καὶ αὐτοὶ τελευτῶσιν. Φασὶ δέ τινες, ὅτι μετὰ τὴν τελευτὴν Ναβουχοδονόσορ καὶ τῶν λοιπῶν βασιλέων, οἳ διὰ τιμῆς ἦγον τόν τε Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας, ἀνέστη βασιλεὺς ἕτερος τοὔνομα Ἀττικός, ὃς τοὺς ἁγίους ἐξετάσας καὶ ἐλεγχθεὶς ὑπ' αὐτῶν, κελεύει τὴν κεφαλὴν Μισαὴλ ἀποτμηθῆναι· οὗτινος Ἀζαρίας, ἁπλώσας τὸ φιβλατόριον, αὐτὴν ἐδέξατο. Ὡσαύτως καὶ Ἀνανίας τὴν κεφαλὴν τμηθεῖσαν Ἀζαρίου ἐνεκολ-

πώσατο. Ἀνανίου δὲ Δανιήλ, τὸ περιβόλαιον ἁπλώσας, ἐδέξατο τὴν κάραν· ὕστερον δὲ καὶ αὐτὸς ἐτμήθη τὴν κεφαλήν. Λέγεται δὲ μετὰ τὴν τομὴν κολληθῆναι τὰς κεφαλὰς τούτων τοῖς σώμασιν. Ἄγγελος δὲ Κυρίου ἄρας αὐτοὺς ἤγαγεν ἐν τῷ ὄρει Γεβάλ· ἐν ᾧ τεθέντες ὑπὸ τὴν πέτραν ἔτη τετρακόσια, ἐπὶ τῇ ἀναστάσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ αὐτοὶ συνανίστανται, καὶ πάλιν κεκοίμηνται. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ· ὧν τὴν μνήμην ἄγειν ὑπὸ τῶν πατέρων ἡμῶν παρελάβομεν πρὸ ἑπτὰ ἡμερῶν τῆς δεσποτικῆς ἐπιφανείας καὶ θείας διὰ σαρκὸς παρουσίας τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τὸ καὶ αὐτούς, οἶμαι, τῆς ἐξ Ἰούδα φυλῆς, ἐξ ἧς καὶ ὁ σωτὴρ πάντων Χριστός, πρὸς γένος κατάγεσθαι.

Crypt. Δ.α. XIV = Cf, ff. 121^{v}-127

Ὁ κανὼν φέρων ἀκροστιχίδα σπονδειακὴν καὶ δακτυλικήν, τροπάρια πεντάστιχα ἰαμβικά·

f. 122 ‖ Φοινιχθείημεν χείλη γεύσει τῶν θείων·
Μαρτυρικοῦ λαβόμεσθα νόεσσι πρόθυμα κυπέλλου
Χριστοῖο πλευρᾶς πλησθέντος τοῖς προζήλοις·
τῷ Δανιὴλ ἐριηχεῖ παισί τε τοῖς ἑτάροισι·

Μεθόδιος ταπεινός.

Ἦχος α'.

ᾠδὴ α'. *Ἔσωσε λαὸν θαυματουργῶν δεσπότης*

Φῶς πνεῦμα Χριστοῦ πατροπροβλήτως βλύσαν
Ὁρᾶν Ἰούδα τοῖς νεοττοῖς προστέθῃ
Ἰὸν δι' αὐτῶν ἀκρίτους καταυγάσαι·
Νέοι πρόφρων τε πηὸς εὐχαῖς καὶ κρίσει
Ἵμειρον ὡς πῦρ πρεσβυτῶν ἀπήμβλυναν.

---

acr. 1 γεύση et sup. lin. corr. in γεύσει 2 λαβόμενθα et sup. lin. corr. in λαβόμεσθα 3 προζηλοῖς 4 ἐριήχει

heirm. α' EE 7, n. 9, Joannis 3 Ἰῶν ἀκρίτοις

† Χείλεσι †, Χριστέ, τῶν προφητῶν, ὡς ἔφης,
Θεσμοῖς ἐῴκει οἷς ἐβουλήθης λόγων
Ἐφ' οἷς τε τὰς σὰς προστέθεικας ἐκφάσεις·
Ἰσοχρέως δὲ λοιπὸν ὡς πρωταιτίῳ
Ἠοῖ προφητῶν ᾄδομέν σοι, Κύριε.

Μήδοις τε Περσῶν συντεθειμένον γένος
Ἐπῆλθε δήμοις τοῦ θεοκτήτου λάχους
Ναὸν καθαιροῦν, λαὸν ἔκδοτον φέρον·
Χάριν νέμει δὲ Χριστὸς ἐν ξένῃ νέοις
Εὖ γε κραταιῶν καὶ σοφοὺς καὶ μάρτυρας.

θεοτ. Ἵστησι Μωσῆς ἐν πυραφλέκτῳ βάτῳ
Λαμπρῶς τε παῖδες ἐν ῥοδοτρόποις φλόγαις
Ἡσθέντες ἀμφοῖν τῶν τύπων τοῦ σοῦ τόκου·
Γένους λύτρον γὰρ παντὸς ὠράθης, κόρη,
Ἔχουσα τὴν σὴν δόξαν ἔνδον, Κύριον.

f. 122v ᾠδὴ γ'. *Νεῦσον πρὸς ὕμνους ἱκετῶν, εὐεργέτα,*

† Ὕλας τυποῦντες τῶν προφητῶν τοὺς νόας
Σοφῶς ταπεινοῖς τὸ συνελθεῖν ἀγγέλοις
Ἔδειξαν ὡς τὸ σχῆμα τῷ μυουμένῳ
Ἵστησιν εἰς ἄληστον ἔμπρακτον λόγον,
Τρόπῳ καθιστᾶν τοὺς τόπους ἐτήτυμα †.

Ὦρται τὸ πνεῦμα τοῦ Θεοῦ νεωτέρῳ
Νοστεῖν ἀγωγῆς πρεσβυτῶν χαλδοτρόπων
Θύγατρα τοῦ Ἰούδα Σωσάνναν μόρου,
Ἔσωσε δ' ἀπρόοπτον † ἠθοϊσμένος †,
Ἵνα κραταιῶς ἐγκρίνῃ παλίνδρομα.

---

6 Χείλεσι: fort. Χεῖλος σύ 7 Θέσμοις 9 Ἰσοχρεῶ 10 ἄδωμεν 12 θεοκήτου 13 ἔκδωτον φέρων 17 φλόγαις: cfr. sup. in canon. VIII, vv. 254 et 274, τοῖς ἄνδραις 18 τὸν τύπον
heirm. γ' EE 7, n. 9, Joannis 28 Θυγατρὰ τὸν Ἰούδαν 29 ἠθοϊ-σμένος: fort. scribendum ἀθῷαν μένους 30 ἐγκρίνει

11-13 Dan. 1,1-2 16 Ex. 3,1-2 17 Dan. 3,21-23 26-30 Dan. Sus. 44-62.

Ὦ τῆς ἀκμαίας πρεσβυτῶν ἀβουλίας,
Νοήμονος δὲ τοῦ θεοκρίτου νέου!
Μέρει γὰρ ἄμφω τούσδε χωρίσας κρίσει
Ἄρδην μέσους λόγοισσι ἔπρισε σχίσας·
Ῥῆμα προλεχθὲν εἰς χρόνους δὲ γίνεται.

θεοτ. Τόκος νοεῖται καὶ προφεύγει τὸν τρόπον·
Ὑπῆλθε γὰρ πῦρ τὴν θεηδόχον κόρην
Ῥύπτον μὲν ἀλλ' οὐ καῖον ὡς πάλαι βάτον·
Ἵστησι τοὺς τόπους δὲ μόνη παρθένῳ
Κτίστης κατοικῶν καὶ λύων σκιώδεα.

f. 123v || ᾠδὴ δ'. *Γένους βροτείου τὴν ἀνάστασιν πάλαι*

Ὁ ⟨—⟩ πρὸς ὄρθρους τῆς μυήσεως ἄρας
† Ὑ . . . ἐξ ἄυπνον ἐξ ἀθρέπτου σαρκίου †
Λοπῶσα φύσις ἀγγελοφράστως ὅθεν
Ἀνηγγέλη σοι παντὸς ἐν γῇ τὸ κράτος
Βαιόν τε πικρὸν κτηνομόρφῳ τῇ μάχῃ.

Ὅρους προσθέντες καρδιῶν τοῖς χωρίοις
Μάρψαι τυράννου τῆς διαίτης οὐδέπω
Εὐήκοός τις ἦν Ἀμελσὰρ ὁ σπάδων·
Σπέρμα πρόπειραν ἰσχύος βεβρωκότες
Θεότροφοι τρεῖς σὺν προφήτῃ τῷ φίλῳ.

Ἄλεκτον ὕπνον καὶ προέκδρομον φάσιν
† Νόω βραδύστης † ἀμπολεῖν περσοκράτωρ,
Ὅμως ἀπῄτει τοὺς σοφιστὰς ὀλλύων·
Ἔνθεν ζάλῃ τε συγκέκληκε καὶ νέους·
Σταλεῖσα δ' αὐτοῖς ἐκ Θεοῦ σώζει χάρις.

---

32 Νόημόνος 34 Ἄρδειν 37 Ὑπῆρθε 38 Ῥύπτων . . . καίων . . . βάτω 40 σκιοδέα
heirm. δ' EE 7, n. 9, Joannis 41 post Ὁ syllaba desideratur: fort. scr. Ὄναρ 43 Λεπῶσα 44 Ἀνηγγέλει 45 Βαίον 46 χορείοις 52 περσοκρᾶτορ 53 ἀπήττει ὁ λύων 54 συνκέκληκε

31-35 Dan. Sus. 52 sqq. 46-50 Dan. 1,8-21 50-53 Dan. 2,1-2,12 54-55 Dan. 2,17sqq.

θεοτ. Σῆμα βροτείου πρὸς Θεὸν παρρησίας
Ἵκται τὸ θαῦμα τῆς ἀχράντου παρθένου·
Πᾶσιν γὰρ οὕτω τοῖς παρειμένοις μένος
Ῥύψιν γένους τε προσφὺς ἡμῖν ἀτρέπτως
Ὁμοῦ προειπὼν καὶ παρέσχεν ἐν κόρῃ.

f. 124 ᾠδὴ ε΄. *Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένοις πλάνης*

Θαμβηθὲν ὄμμα τῶν προφητικῶν νόων
Ὑπερδίκαιος Χριστὸς ἥλιος φάει
Μάλιστα δείξας πᾶσιν ὡς ἐν ἐσόπτρῳ
Ἀποσκιάζει τῶν ὀνείρων τοῦ νόθου
Κριτῶν λογιστεύει δὲ καὶ δυσβουλίαν.

Ὑπελθὸν ὕλης πεντασωμίαν βρέτας
Πρὸς ὑλόληπτον Χριστὸς οὕτως γὰρ νέμει
Ἔδειξας † ὕλας σύσσαθραις στερεμνίοις †
Λάαν πατάσσειν οὐ χειρότμητον νάπης
Λεπτῶς χνόῳ τρίβοντα κρείονας πέδου.

Ὁ πιστὸς ὄντως τῶν ὁμοφρόνων πρόφρων
Ὑπερτίθησι δ᾽ εὐθὺ αὐτοῦ τοὺς φίλους·
Χάρις γὰρ οὕτω μᾶλλον ἐκφανεστέρα
† Ῥᾴοις ἑτέροις ὡς προφήτης πεπράχει
Ἱστὰν ἀπρακτένοντα πράξει τοὺς πέλας †.

θεοτ. Συνεσχέθημεν τῇ προπατρίῳ δίκῃ,
Τῆς παρθένου δὲ τῷ τόκῳ θεογράφου
Οἴκτου λαβόντες ψῆφον εἰς σωτηρίαν,
Ἴωμεν ἄντην εἰς Ἐδὲμ τῆς Βηθλεὲμ
Ὁμοῦ συνήγορόν τε τὸν κριτὴν ἔχειν.

---

56 παρρησίαν
heirm. ε΄ EE 7, n. 9, Joannis 61 τὸν προφητικὸν νόον 63 πᾶσαν 66 Ὑπελθὼν 69 Λαὸν νάπης scripsi: ἄπης cd. 70 κρείονας πέδου scripsi: κρειὸν ἀσπέδου cd. 76 Συνεσχέθη μὲν

66-70 Dan. 2,28-45 71-75 Dan. 2,48-49

f. 124ᵛ ᾠδὴ ϛ΄. *Ναίων Ἰωνᾶς ἐν μυχοῖς θαλαττίοις*

Πέρας προαρθεὶς τὴν ἀγνὴν ὁρᾷ φρένα,
Λεκτῶς ἀκούει θεόθεν τὰς ἐκβάσεις·
Εὐθὺς τὸ δένδρον ἐκτιναχθεὶς γὰρ μέδων
Ὑπῆλθε χόρτον τὴν τροφὴν βοητρόπως,
Ῥίζῃ φέρει δὲ τὴν φυὴν ἐπ᾽ ἐλπίσιν.

Ἅρπαξ ὁ Περσῶν νηλεὴς θηροτρόπως
Σαφῶς τυποῦται κτηνόφρων τε τῷ λάγνῳ·
Πιστοῦ προφήτου μηνὸς συστόλους χρόνους
Λιταῖς ἐπλήρου προσδεῆ μηνὶ χρόνον,
Ἤρθη δ᾽ ἐφ᾽ ὕψος μεῖζον αὖθις θειόφρων.

θεοτ. Στέργει παλαιὰν καὶ προλάμπει τὴν νέαν
Θεὸς βροτοῖσιν ἀτρέπτως ἡνωμένος,
Εἰς πῦρ δροσίζων τοὺς μελιτρόπους νέους
Ναὸν δὲ μήτραν τῆς ἁγνῆς προδεικνύων,
Τίων, σαόζων τὴν Ἀδὰμ ταύτην φύσιν.

f. 125 ᾠδὴ ζ΄. *Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ*

Ὁ τὴν ἄμετρον τῆς πυρᾶς ἄρας φλόγα
Σῆμα πρὸς ἰσάριθμον ἑπτακαιρίαν
Ταύτην δικαίως κέκριτο κτηνωδίαν
† Ο εὔστοχα πλὴν πέφθακεν μετεννόω
Ἴησιν ὡς εἰς μῆνας ἕλξε τοὺς χρόνους †.

---

heirm. ϛ΄ EE 7, n. 9, Joannis 83 μέδον 84 βοητρόπως] βοοι- cd. 85 Ῥίζει 89 Ληταῖς 90 ὕψους
heirm. ζ΄ EE 7, n. 9, Joannis 98 κέκριτο κτηνωδίαν scripsi: καὶ κριτοκτηνοδίαν cd.

86-89 Th. Schermann, *Prophetarum vitae fabulosae*, Lipsiae 1907, 51: Ὁ Δανιὴλ οὖν τὰ ἑπτὰ ἔτη προσευχόμενος πρὸς τὸν ὕψιστον ᾔτησεν γενέσθαι, οὓς εἶπεν καιροὺς ... μῆνας ἑπτά. Καὶ τὸ μυστήριον τῶν ἑπτὰ καιρῶν ἐτελέσθη ἐπ᾽ αὐτόν, ὅτι ἀποκαταστὰς ἐν ἑπτὰ μησίν, ὡς ἦν τὸ πρίν, τὰ ἓξ ἔτη καὶ πέντε μῆνας ὑπέπιπτε κυρίῳ καὶ ὡμολόγει τὴν ἀσέβειαν αὐτοῦ...

81-85 Dan. 4,10-15,20-26 96 Dan. 3,19,22 97-100 Dan. 4,16-37

Σαρκοβόροισσι προσριφθεὶς τοῖς θηρίοις
Πλέον θεοπρόσευκτος ἐνστερνισμένος
Ῥῆμα πρὸς ὕψος χεῖρας ἔχων ὠράθης·
Οὗ σχήματος πρὶν ἔκφασις τεθνηκότων
Ζώωσις εἰς αἰῶνας ἐσταυρωμένῳ.

Ἠπειγμένος νῦν τῷ παροίνῳ Βαλτάσαρ
Λόγοισσι μητρῴοισσιν εἰσηνεγμένος
Ὅρους, προφῆτα, ῥήσεων τοιχογράφων
Ἱστῶντί σοι νοῦν ἔνθεον διετράνους·
Σέσωκεν οὐκ αὐτὸν δὲ φράδμων τοῦ μόρου.

θεοτ. Τὸν καινόν, ἁγνὴ καὶ λοχώς, ὑφηλίῳ
Ὤφθης ὑποκρύπτοντι μὲν τῷ Δαβίδι
Δῆλον προφήταις πᾶσι δ' ἐκπεφασμένον·
Ἀνάπλασις σὺ δόξα γὰρ ταῖς μητράσιν
Νέμουσα ταῖς ἁγναῖς τε κῦδος εἰς τέλος.

f. 126 ᾠδὴ η'. *Μήτραν ἀφλέκτως εἰκονίζουσι κόρης*

Ἴσμεν προφήτου σὺν προφήτῃ τὴν χάριν,
Ἣν ὡς παλαιὰν ἐκλαβόντες οἱ νέοι
Λογιστικῶς τιμῶμεν εἰς σωτηρίαν·
Ἔνθεν παθῶν δὲ θηριοτρόφου τάφου
Ῥυσθῶμεν εἴπερ ἀγνονήστευτοι λίαν.

Ἴδες, προφῆτα, κοσμικὸν διαρρέον
Ἦθος τυπωθὲν τοῦ Χοβὰρ τῶν κυμάτων·
Χειροκρατῶν ἤγειρε συμπεπτωκότα

---

101 Σαρκοβόρυσι et sup. lin. corr. in -οισι 102 fort. θεοπρόσευκτον 104 Οὐ 106 Ἡπηγμένος 107 μητρώοισσοι 108 Ὅρους τυχογράφων 109 διετράνοις 111 λοχώς, cf. Ep. Jer. 28, ed. Rahlfs heirm. η' EE 7-8, n. 9, Joannis 117 ἐκλαβῶτες 120 ἀγνονίστευτοι

101-105 Dan. 6,18 sqq. 106-110 Dan. 5,1 sqq. 121-125 Dan. 10,1 sqq.

Ἔχων τὸ σῶμα θαρσὶς ἠγλαϊσμένον
Ἱστῶν, μυῶν σε Γαβριὴλ ἐνισχύων.

Πάντας διδάσκων τοῦ Θεοῦ τὴν δευτέραν
Ἄνωθεν φρικτὴν ἔντρομον παρουσίαν
Ἰδοὺ σαφῶς εἴρηκας οἴχθησαν βίβλοι·
Σάλπιγξ γὰρ ὄντως ἡ πανεσχάτη μία
Ἱστᾶν βοήσει τοὺς βροτοὺς πρὸς τὴν κρίσιν.

θεοτ. Τρόπον τὸ θαῦμα τῆς λοχείας οὐκ ἔγνω·
Ἔξω λογισμῶν ἡδονῆς γὰρ ἡ κόρη
† Τῷ Γαβριὴλ ὕψιστον ἠκουτισμένον †
Ὅμως κιχρᾷ δὲ πνεύματι πρὸ νυμφίου
Ἱστῶνα μήτρας ἐξυφῆναι τῷ Λόγῳ.

f. 126v ᾠδὴ θ'. *Στέργειν μὲν ἡμᾶς ὡς ἀκίνδυνον φόβῳ*

Σῴζειν μὲν εὐχαῖς καὶ δεήσεσι χάρις
Ἔγνω προφητῶν ὡς νέους σὺν τῷ πρόμῳ
† Τέχνων δὲ τέχνης μητρὸς εἰδωλουργία
Ἀφῇ παρέστω πυρσορείθρων ἀνθράκων
Ῥιπτὴν χονεύει ὡς προφήτης τὸν Βάαλ †.

Ὄφιν τὸν ἀρχῆς τῷ Σατᾶν ὑπηρέτην
Ἴχνοις ἐπελθὼν δικτύοις μαζοτρίχοις
Σύντριμμα Μήδων τὸ κλέος κατειργάσω
† Ἱστῶν σποδῷ δὲ τῶν κλοφῶν τὴν λυχνίαν †
Μάργοι λέουσι ἀντεβλήθησαν κρίσει.

Ἔδωκε πιστοῖς, τῷ προφήτῃ παισί τε,
Θεὸς τὸ λαμπρὸν ἀξίωμα μαρτύρων·

---

124 θαρσῆς 132 λογισμὸν 134 προνυμφίων heirm. θ' EE 8, n. 9, Joannis 137 νέοις 141 τῷ] τὸ

126-128 Dan. 7,10 129-130 Apoc. 10,7 133 Luc. 1,8-38 138-140 Dan. Bel. 7 sqq. 141-145 Dan. Bel. 27 sqq.

Ὃς δεύτερος γὰρ τὴν κάραν πρώτου φέρει,
f. 127 || Δυοῖν δὲ τρίτος καὶ προφήτης τῶν ὅλων
Ἵκται τέλευτος ἐξαπλῶν νέον πέπλον.

Ὄντως τὸ φαιδρόν σου, προφῆτα, καὶ φίλον
Στοργῇ προσηνῶς ἐκ βρέφους ἠγασμένον,
Τλήμων ἰδοὺ νῦν ἐντέθειμαι τῷ σκότει
Ἀπρὶξ χορείαις ζωτάφοις συνημμένος,
Πλὴν προφθάσαι με σοὺς πρὸς ὕμνους ἐξάγον.

θεοτ. Ἔλαμψεν αὐγὴ Βηθλεὲμ τῇ παρθένῳ
Ἱστῶσα πρὸς γῆν ἀγγέλους σὺν ποιμέσι
Νίκην κροτοῦντας Κυρίῳ γεννωμένῳ·
Ὀρθοὶ δὲ πίστιν οὐ παρέγκλητον τρόποις
Στῶμεν φέροντες καὶ γεραίρωμεν τόκον.

---

149 Δυεῖν 154 χορείας 159 Ὀρθοῖ 160 γεραίρομεν

17 DEC. ***CANON XXVIII***

IN DANIELEM PROPHETAM ET TRES PUEROS

Crypt. Δ.α. XIV = Cf, ff. 122-127v
Athon. Stavronikita 41 = Ak, ff. 138-140

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ὕμνοις Δανιὴλ τὸν προφήτην δοξάσω· Ἰωσήφ.

Ἦχος δ′.

ᾠδὴ α′. *Ἀνοίξω τὸ στόμα μου*

Ὑμνοῦντα τὴν ἔνδοξον
καὶ φωταυγῆ σου πανήγυριν
φωτί με καταύγασον
θείῳ, προφῆτα Χριστοῦ,
διαλύων μου
τὸ σκότος τῆς ἀγνοίας
καὶ τὴν ἀμαυρότητα
τῶν παραπτώσεων.

Μεγίστων ἐλλάμψεων
ἡ καθαρά σου διάνοια
f. 122v τοῦ || πνεύματος, ἔνδοξε,
δοχεῖον γέγονεν·
ἐσομένων γὰρ
μεμύησαι τὴν γνῶσιν
προφήτης ὡς ἔνθεος,
μακαριώτατε.

---

tit. Ἕτερος τοῦ προφήτου Δανιὴλ φέρων . . . Cf Ὁ κανὼν τοῦ προφήτου φέρων . . . τήνδε Ak nomen hymnographi Ἰωσήφ in marg. cd. Cf indicatum e litteris primis trop. odes θ′ deducitur
heirm. α′ EE 99, n. 141, Joannis 13 γὰρ] τε Ak

Νόμου παρωσάμενοι
πάλαι πρεσβύτεροι ἄδικοι,
προφῆτα, τὸ δίκαιον,
δικαιοτάτῃ σου
ὑποπίπτουσιν
ἐνδίκως θείᾳ κρίσει,
Θεοῦ σε σοφίσαντος
ἀπὸ νεότητος.

θεοτ. Ὄρος σε τεθέατο
ὁ Δανιήλ, ἀπειρόγαμε,
ἐξ οὗ λίθος τέτμηται
ἀνθρώπου ἄνευ χειρὸς
καὶ συνέτριψε
τὰ εἴδωλα τῆς πλάνης·
ὅθεν καταχρέως σε,
κόρη, γεραίρομεν.

ᾠδὴ γʹ. *Οὐκ ἐν σοφίᾳ*

Ἱερολόγος
ἱερῶς προσημαίνων τὰ μέλλοντα
f. 123 || ἀνεδείχθης, Δανιήλ,
τοῦ ἀρχηγοῦ τῶν ἀγγέλων σε
ὅλον συνετίζοντος,
μακαριώτατε.

Σώζεις Σωσάνναν
ἀπωλείας ἀδίκου, πανόλβιε,
πρεσβυτέρους τε δεινοὺς

---

22 θείᾳ κρίσει] διακρίσει Ak 25 Ὅρος Cf τεθέαται Ak 28 χει-ρῶν Ak 31 καταχρέος Ak
heirm. γʹ EE 96, n. 136, Joannis 34 Ἱερὸς Ak 36 σε] τε Cf

17-24 Dan. Sus. 28 sqq. 25-30 Dan. 2,34,35 39-44 Dan. Sus. 44 sqq.

ὑπάγεις κρίσει δικαίᾳ σου
πνεύματος ἁγίου σε,
μάκαρ, σοφίσαντος.

Δικαιοτάτην
ἐκ παιδὸς ἐπεπόθησας σύνεσιν
καὶ προστάγμασι Θεοῦ
τὴν σὴν καρδίαν ἐλάμπρυνας·
ὅθεν προφητείας σοι
χάρις ἐκκέχυται.

θεοτ. Ἀποσκοπήσας
καθαρᾷ διανοίᾳ τεθέασαι
ὄρος θεῖον ἐμφανῶς
τὴν ἀπειρόγαμον δέσποιναν,
ἐξ ἧς ὁ ὑπέρθεος
Λόγος σεσάρκωται.

Κάθισμα.

Ἦχος αʹ. Πρός· *Τὸν τάφον σου, σωτήρ,*

Προφήτης προδηλῶν
τῶν μελλόντων τὴν γνῶσιν
ἐδείχθης, Δανιήλ·
τῆς παρθένου γὰρ πᾶσι
τὸν τόκον προϋπέγραψας
καὶ Χριστοῦ τὴν ἐπέλευσιν·
ὅθεν σήμερον
τὴν παναγίαν σου μνήμην
ἑορτάζομεν,
ἐν εὐφροσύνῃ καρδίας
πιστῶς εὐφημοῦντές σε.

---

47 προστάγματι Ak
heirm. καθ. PaR 9 heirm. 1 σῶτερ Cf Κάθ. om. Ak

51-56 Dan. 2, 34-35, 45

Ἄλλο.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

Προφητείας τὴν χάριν πεπλουτηκὼς
....

Τῆς Τριάδος εἰκόνα προφητικῶς
....

f. 123v ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*

Νοερῶς γενησομένων
τὰς ἐκβάσεις μυούμενος,
ἱερὲ προφῆτα,
σύγκρισιν ὀνείρων ἐδήλωσας
καὶ τοὺς σοφοὺς Βαβυλῶνος σοφιζόμενος
θείᾳ χάριτι ὡς ἀληθῶς ἀπεμώρανας.

Ἱσταμένῳ σοι καὶ θείᾳ
λαμπομένῳ φαιδρότητι
καθωράθη, μάκαρ,
δόξης ἐπὶ θρόνου καθήμενος
καὶ τοῖς χοροῖς τῶν ἀγγέλων προσκυκλούμενος,
Δανιήλ, ὁ πάντων ποιητὴς καὶ Θεὸς ἡμῶν.

Ἡ γραφὴ τῷ ἀστραγάλῳ
ἐπὶ τοῖχον τετύπωτο
καὶ τῷ καθορῶντι
δέος ἐνεποίει, πανεύφημε,
f. 124 || ὃν ἐπὶ πλεῖον τῷ φόβῳ συνετάραξας
ἐπιλύσας, σοφὲ Δανιήλ, τὰ δυσέφικτα.

ἄλλα καθ. in MR II, 513
heirm. δ' EE 95, n. 135, Joannis 57 γενησομένην Cf 58 μυούμενος] ποιούμενος Ak 63 σου Cf 67 προσκυνούμενος Ak 69 ἀστραγγάλω Cf 70 τοῖχον scripsi: τύχον Cf τοίχου Ak τετύπωται Ak

---

60-62 Dan. 2,4 sqq.; 4, 19-20 63-68, 81-86 Dan. 7, 9-10 69-74 Dan. 5, 5 sqq.

θεοτ. Λίθος ὄρους ἀπετμήθη
ἐκ γαστρός σου ὁ Κύριος,
θεομῆτορ κόρη,
πάλαι Δανιὴλ ὡς προέφησε,
καὶ τοὺς βωμοὺς τῶν εἰδώλων ἐξηφάνισε
καὶ τὴν σύμπασαν θεοπρεπῶς ἐκαινούργησεν.

ᾠδὴ ε'. *Ἀσεβεῖς οὐκ ὄψονται*

Τὸν κριτὴν καθήμενον
ἐν θρόνῳ φοβερῷ
ἐθεάσω ὡς παλαιὸν
ἡμερῶν κυκλούμενον ἀπείροις πλήθεσιν
ἀσωμάτων τάξεων,
Δανιὴλ ἀξιοθαύμαστε.

Ὁλικαῖς συννεύσεσιν
ἐγγίζων τῷ Θεῷ
f. 124v πρὸς αὐτοῦ || λύσιν ἀληθῆ
ὀνειράτων, ἔνδοξε, σὺ ἐξεζήτησας
καὶ φονῶσαν ἔστησας
δεξιὰν παρανομώτατα.

Νοὸς καθαρότητα
κτησάμενος, σοφέ,
συλλαλοῦντά σοι ἐμφανῶς
Μιχαὴλ ἑώρακας τὸν ἀρχιστράτηγον
καὶ παντοίαν ὅρασιν
ἱερῶς σε συνετίζοντα.

---

79 εἰδώλων] δαιμόνων Ak
heirm. ε' EE 97, n. 138, Joannis 85 ἀσωμάτοις τάξεσι Cf 86 ἀξιοθαύμαστε] θεομακάριστε Ak 90 ἔνδοξε] πάνσοφε Ak σὺ] σοὶ Cf 91 φονῶσαν] φημῶσαν Cf 96 Μιχαὴλ] Γαβριὴλ Ak

---

75-78 Cfr. supra vv. 51-56 89-92 Dan. 2,1 sqq. 93-98 Dan. 8,16-26

θεοτ.

Προφητεύων ἔφησεν
ὁ θεῖος Δανιὴλ
ὄρος μέγα καὶ ὑψηλὸν
σέ, παρθένε πάνσεμνε, ἐξ ἧς κεκύλισται
ὥσπερ λίθος Κύριος
πλάνης λύων ὀχυρώματα.

ᾠδὴ ς΄. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Ῥημάτων σου
ἀστραπὰς ἐνεγκεῖν μὴ δυνάμενοι
οἱ κακοῦργοι
βασκανίας ὁμίχλῃ κρατούμενοι
σὲ θανατωθῆναι,
Δανιήλ, ἐξαιτοῦνται, πανεύφημε.

Οἱ θῆρές σε,
Δανιήλ, ἐν τῷ λάκκῳ ᾐδέσθησαν
ἐπιγνόντες
ἀληθῆ τοῦ Κυρίου θεράποντα
καὶ σεπτὸν προφήτην,
πληρωτὴν ἐνταλμάτων τοῦ πνεύματος.

f. 125 ||Φερόμενος
ὑπ' ἀγγέλου προφήτης ὁ ἔνθεος
ὡς προφήτῃ
καθειργμένῳ ἐν λάκκῳ κομίζει σοι
Ἀμβακοὺμ ὁ θεῖος
τὴν τροφήν, Δανιὴλ ἀξιάγαστε.

---

heirm. ς΄ EE 125, n. 172, anonymi 110 ἐξαιτοῦντας Cf 115 καὶ σεπτὸν προφήτα Cf σεπτῶν Cf 117 Φερόμενος] Φερώνυμος Cf 121 Ἀβ-βακοὺμ Ak

---

99-103 Cfr. sup. vv. 51-56 107-110 Dan. 6,5-17 111-114 Dan. 6,18-19 117-122 Dan. Bel. 33-39

θεοτ.

Ἡγίασε,
παναγία, Θεὸς ὁ πανάγιος
πᾶσαν κτίσιν,
τὴν ἁγίαν οἰκήσας γαστέρα σου
ὁ ἐν τοῖς προφήταις
κηρυχθεὶς πρὸ τῆς θείας σαρκώσεως.

Κοντάκιον.

Ἦχος β΄.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες
....

(Ὁ οἶκος).

Ἔκτεινόν σου τὴν χεῖρα
....

Ἄλλο.

Ἦχος γ΄. Πρός· *Ἡ παρθένος σήμερον*

Καθαρθεῖσα πνεύματι
....

(Ὁ οἶκος). Πρός· *Τὴν Ἐδὲμ Βηθλεὲμ*

Ἰησοῦν τὸν Χριστὸν
....

---

124 πανάγιος] παντέλειος Ak
Post oden ς΄ legitur in Ak: Κοντ(άκιον): *Χειρόγραφον εἰκόνα σου ζή(τει) ὄπισθεν*; postea vero Ἄλλο κοντ. et οἶκ. profert
Κοντ. et οἶκ. MR II, 456-457
Ἄλλο κοντ. MR II, 513; οἶκ. PAS I, 384

f. 125v ᾠδὴ ζ′. *Οὐκ ἐλάτρευσαν τὴν κτίσιν οἱ θεόφρονες*

Τῇ ἁπλότητι τῶν τρόπων σεμνυνόμενος
καὶ τῇ φρονήσει τὸν νοῦν
ὡραϊζόμενος
τρισὶ συνεξήστραψας
τοῖς νεανίαις, σοφέ,
οἷς συνέψαλλες·
« ὁ τῶν πατέρων Κύριος
καὶ Θεός, εὐλογητὸς εἶ ».

f. 126 ‖ Ἠγαθύνθη ἡ καρδία σου τοῖς ῥήμασι
τοῦ ἱεροῦ Μιχαὴλ
καὶ προσετέθη τῷ σῷ
νοΐ, παμμακάριστε,
δύναμις μέλλοντι
συνετίζεσθαι
τὴν κεκρυμμένην ὅρασιν,
Δανιήλ, Θεοῦ προφῆτα.

Νεανίαι τρεῖς τὴν κάμινον κατέσβεσαν
δρόσῳ τοῦ πνεύματος
καὶ Δανιὴλ ὁ σοφὸς
λεόντων τὰ στόματα
ψάλλων ἐνέφραξεν·
« ὑπερύμνητε,
ὁ τῶν πατέρων Κύριος
καὶ Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Δανιήλ σε ὄρος ἅγιον ἐκάλεσε,
θεοχαρίτωτε,

heirm. ζ′ EE 100, n. 141, Joannis heirm. 1 τῇ κτίσει EE 129 τὸν τρόπον Cf τῶν λόγων Ak 134 post συνέψαλλες Ak εὐλο(γητὸς) profert et orat. detruncat 135, 151, 159 post πατέρων orat. detruncat Cf 138 Μιχαὴλ] Γαβριὴλ Ak 150 post ὑπερύμνητε orat. detruncat Ak 153 ἐκάλεσε] προέγραψε Ak

137-144 Cfr. sup. vv. 93-98 153-157 Cfr. sup. vv. 51-56

οὗ ἀπετμήθη σαφῶς
λίθος καὶ συνέτριψε
πλάνης τὰ ξόανα·
ᾧ κραυγάζομεν·
« ὁ τῶν πατέρων Κύριος
καὶ Θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η′. *Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε,*

f. 126v ‖ Οἱ σοφοὶ Βαβυλῶνος ᾐσχύνθησαν,
ἀσινῆ σε Θεοῦ συντηρήσαντος
ὡς ἀληθείας μάρτυρα,
καὶ βορὰ τῶν λεόντων
γεγενημένοι
θείᾳ ψήφῳ ἐνδίκως ἀπώλοντο.

Ξένοις λόγοις τὴν ξένην ἐδήλωσας
τοῦ τῶν ὅλων δεσπότου κατάβασιν,
δι᾽ ἧς ἐκ γῆς ἀνήχθημεν
μελῳδοῦντες, προφῆτα·
« πάντα τὰ ἔργα
εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον ».

Ἀληθείας τὰ θεῖα κηρύγματα
τῆς πανσόφου σου γλώττης θεώμενος
γεγενημένα πράγματα
τὸν πληρώσαντα, μάκαρ,
σοῦ τὰς προρρήσεις
εὐλογῶν μεγαλύνεις ὡς Κύριον.

Συνεχῶς τοὺς παράνομα πράσσοντας
καὶ τὸν Βὴλ σεβομένους διήλεγξας,

159-160 εὐλογημένος, πάναγνε, / ὁ καρπὸς τῆς σῆς κοιλίας Ak
heirm. η′ EE 96, n. 135, Joannis 164 βορᾷ Cf **167-172 trop. desideratur in Ak** 179 Συνετῶς Ak πράττοντας Ak

161-166 Dan. 6,18-25 179-184 Dan. Bel. 7 sqq.

εἰς τοὐμφανὲς τὸ σόφισμα
τῆς αὐτῶν κακουργίας
ἀνακαλύψας,
Δανιὴλ θεορρῆμον πανόλβιε.

θεοτ. Ὥσπερ ὄρος σε βλέπει, πανάμωμε,
Δανιὴλ ὁ προφήτης ὁ ἔνθεος,
ἐξ οὗ ὁ λίθος τέτμηται
Ἰησοῦς, τὰ τεμένη
τὰ τῶν εἰδώλων
καὶ βωμοὺς ἐκλεαίνων, πανάμωμε.

f. 127 ᾠδὴ θ΄. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Ἴσχυσας δυνάμει θεϊκῇ
τὸν δράκοντα θανατῶσαι τὸν ὀλέθριον
φρενοβλαβῶς ὑπὸ ἀθέων,
παμμάκαρ, ὡς Θεὸν προσκυνούμενον
θυσίας τε πρὸς τούτων δεχόμενον·
ὅθεν σε πίστει μεγαλύνομεν.

Ὡς μάρτυς ἐν λάκκῳ ἐμβληθεὶς
τὸ δεύτερον τῶν λεόντων μέσον ἵστασο
οἷά περ ἄγγελος νηστείᾳ
τὸ σῶμα στομωθὲν φέρων, ἔνδοξε,
νηστεύειν τε αὐτοὺς προτρεπόμενος
θείᾳ δυνάμει, παμμακάριστε.

Σήμερον ἡ μνήμη σου ἡμῖν
ἀνέτειλε τοῦ ἡλίου τηλαυγέστερον,
φέγγει πλουσίων χαρισμάτων

---

188 ἵσταται μένει Cf 190 κ. β. ἐκλεπτύνων τῇ χάριτι Ak heirm. θ΄ EE 98, n. 139, Joannis et Stephani 195 τοῦτον Cf 203-208 trop. desideratur in Ak

---

185-190 Cfr. sup. vv. 51-56 191-195 Dan. Bel. 23 sqq. 197-202 Dan. Bel. 31-39

φωτίζουσα ψυχὰς τῶν ὑμνούντων σε,
προφῆτα θεηγόρε πανεύφημε,
ὡς τοῦ δεσπότου φίλον γνήσιον.

Ἤστραψαν ἐν μέσῳ τῆς φλογὸς
οἱ ἔνδοξοι Ἀνανίας Ἀζαρίας τε
καὶ Μισαὴλ χρυσὸς καθάπερ
ἐν λάκκῳ Δανιήλ τε ὁ πάνσοφος·
αὐτῶν ταῖς παρακλήσεσι, δέσποτα,
τοὺς οἰκτιρμούς σου ἡμῖν δώρησαι.

θεοτ. Φέγγει φωτιζόμενος, σοφέ,
f. 127v τεθέασαι τὴν παρθέ||νον ὄρος ἅγιον,
λίθος ἐξ οὗ ἐναπετμήθη
ὁ ἀκρογωνιαῖος ἐν πνεύματι,
λεπτύνας τῶν εἰδώλων τὰ ξόανα
τῇ δυναστείᾳ τῆς θεότητος.

---

209 Ἤστραψεν cdd.

17 DEC. *CANON XXIX*

DOMINICA ANTE CHRISTI NATIVITATEM
IN PROGENITORES CHRISTI

Synaxarium, 315-318: Τὰ κατὰ τὸν μακάριον Ἀβραὰμ ἀπὸ τῆς βίβλου τῆς γενέσεως, τῷ θεσπεσίῳ ἱστορηθείσης Μωσεῖ, καὶ σοφοὶ καὶ ἰδιῶται γινώσκοντες, εἰς ἐπήκοον γὰρ κατὰ τὰς νηστευσίμους ἀναγινώσκομεν ἡμέρας — οὐκ ἀγνοοῦμεν, ὅτι ἐκ τῆς Χαλδαίων χώρας ὁρμᾶται καὶ ὅτι ἐθνικὸς (ἔθνος γὰρ πρὸ τῶν Ἰουδαίων οἱ Χαλδαῖοι) καὶ ὅτι πατέρα εἰδωλολάτρην ἐστὶν ὑπογραφόμενος· ἀλλ' ὅμως καὶ ἀπὸ τοιούτου τὸ γένος κατάγων οὐδὲν ἔσχε κώλυμα πρὸς θεογνωσίαν. Ἀλλ' εἴ τι δεῖ καὶ παράδοξον εἰπεῖν, ἐντεῦθεν πρὸς τὴν τοῦ ὄντος κατάληψιν μᾶλλον ἐχειραγωγήθη. Κατανοήσας γάρ, ὡς οὐδὲν τῶν κτισμάτων Θεός, καὶ τὴν εὐταξίαν τῶν ὄντων συνιδών, ἐκ τῶν ὁρωμένων τὸν ἀόρατον ἔγνω καὶ Θεὸν τοῦτον προσεκύνησε διακρατοῦντα καὶ κυβερνῶντα τὰ πάντα καὶ τοῖς οὖσι τὴν φαινομένην εὔκοσμον τάξιν ἐπιτιθέντα. Ὃς καὶ χρηματισθεὶς καὶ τὴν οἰκείαν καταλιπεῖν κελευσθεὶς τοῦτο δὴ καὶ ποιεῖ μηδὲν τῇ πίστει διακριθείς· καὶ γέρας τῆς ὑπακοῆς ἐν βαθεῖ γήρᾳ υἱὸν τὸν Ἰσαὰκ γεννῆσαι λαμβάνει καὶ τὸ πολλῶν ἐθνῶν γενέσθαι πατέρα. Ἐξ αὐτοῦ γὰρ τὸν Ἰακὼβ καὶ ἀπὸ τούτου τὸν Ἰούδαν, ἀφ' οὗ καὶ ὁ Χριστός, καὶ τοὺς λοιποὺς αὐτοῦ ἀπογόνους κτᾶται· τοσοῦτον γὰρ ὑπῆρχεν ὁ πατριάρχης οὗτος Ἀβραὰμ φιλόθεος, ὡς καὶ προσταχθεὶς παρὰ Θεοῦ θῦσαι τὸν υἱὸν αὐτοῦ τὸν ἀγαπητὸν τὸν Ἰσαάκ, μὴ ἀποσχέσθαι, ἀλλὰ προθύμως ἀπάρξασθαι τοῦ κατασφάξαι αὐτόν· καί γε πάντως τοῦτο ἀπετέλεσεν, εἰ μὴ θεία οὐρανόθεν φωνὴ τοῦτον, ὡς ἴσμεν, διεκώλυσεν, ἀντιδοῦσα κριὸν εἰς ὁλοκάρπωσιν. Τοῦτον ὡς προπάτορα Χριστοῦ γεγονότα μνήμης ἀξιοῦντες, οἱ θεοφόροι πατέρες ἡμῶν καὶ διδάσκαλοι παρέδοσαν ἡμῖν ταύτην ποιεῖν ἐγγύς που καὶ οὐ κατὰ διάστασιν πολλῶν ἡμερῶν τῆς κατὰ σάρκα γεννήσεως τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τάχα κατὰ θείου Πνεύματος ἔμπνευσιν τοῦτο καὶ οὐχ ἁπλῶς διαταξάμενοι καὶ τυπώσαντες. Ἐπεὶ γὰρ ὑπὲρ φιλανθρωπίας ὁ ὑπεράγαθος σωτὴρ καὶ φιλάνθρωπος γενάρχην αὐτὸν καὶ τοὺς ἐξ αὐτοῦ ἔχειν κατηξίωσεν, ἐδικαίωσαν τῆς πρὸς ἡμᾶς αὐτοῦ ἀναδείξεως οὐ πόρρω πάνυ τὴν τούτου μνείαν πανηγύρεως ἄγειν ἡμέραν ὡς γενάρχου τε καὶ προπάτορος.

Τελεῖται δὲ καὶ τῇ κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως τοῖς πατράσιν ἡμῶν καὶ ἡ μνήμη τῶν ἁγίων τριῶν παίδων Ἀ ν α ν ί ο υ, Ἀ ζ α ρ ί ο υ, Μ ι σ α ὴ λ καὶ Δ α ν ι ὴ λ τοῦ προφήτου.

Crypt. Δ.α. IV	= Ce,	ff. 113-119
Vallic. gr. 167	= Eb,	ff. 40-43
Crypt. Δ.α. XIV	= Cf,	ff. 138-144
Crypt. Δ.α. XXIV	= Cy,	ff. 52-54
Paris. gr. 1623	= Pi,	ff. 60v-63v

Ὁ κανών· ποίημα Ἀνδρέου.

Ἦχος γ'.

ᾠδὴ α'. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Τῷ ἀναστάντι ἐκ τοῦ τάφου ἐν δόξῃ
καὶ ζωὴν πηγάσαντι τοῖς ἐν τῷ ᾅδῃ
ᾄσωμεν τῷ σωτῆρι Χριστῷ,
ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Οἱ θεοκήρυκες τῆς νομικῆς εὐσεβείας
καὶ τῆς Χριστοῦ ἐκφάντορες οἰκονομίας
τὸ σύστημα τῶν ἁγίων προφητῶν
τὴν τοῦ Θεοῦ συγκαλοῦσιν ἐκκλησίαν.

Τὰ ἀκροθίνια τῆς κατὰ νόμον λατρείας,
Μωυσῆς καὶ Ἀαρών, ἀνευφημείσθω·
τιμάσθω καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ
καὶ Ἰακώβ, οἱ πρὸ νόμου πατριάρχαι.

Ἡ θεοκήρυκτος τῶν προφητῶν συμφωνία
τὴν τοῦ Χριστοῦ ἀνάδειξιν προϋπογράφει
καὶ δείκνυσι τῶν μελλόντων τὰς ἀρχὰς
ὡς ἐνεστῶτα πρὸ γνώσεως ἐκφάναι.

Ἡ ἀκηλίδωτος τῆς προφητείας διόπτρα
προβλεπτικοῖς τοῖς ὄμμασι κατανοοῦσα

tit. Ὁ κανών· ποίημα Ἀνδρέου Ce Eb Ὁ κανὼν Cf Cy Ὁ κανὼν τῶν ἁγίων προπατόρων Pi

heirm. α' EE 78, n. 110, Germani; heirm. integrum referunt cdd. 1-4 trop. om. Cf Cy Pi 8 συγκροτοῦσιν Cy 9 κατὰ νόμον λατρείας] νομικῆς προφητείας Pi νόμου Cy 14 τοῦ om. Pi 15 καὶ δείκνυσι] δεικνύουσα Cf καὶ προδείκνυσι Pi μελλόντων] μενόντων Eb 16 πρὸ γνώσεως scripsi: προγνώσεως Ce Eb πρὸ γενέσεως Cy πρὸ γνώσεως ἐκφάναι] τὰ μέλλοντα (προβλέπειν Cf) προβλέπει Cf Pi 17-36 trop. desunt in Cy

f. 113v
τὸ μέλλον προϋπο||γράφει ὡς παρόν,
ὑποφωνεῖ καὶ τὸ πόρρω ὡς ἐγγίζον.

Ὁ περιώνυμος τῶν πρὸ τῆς χάριτος δῆμος,
τῶν προφητῶν ὁ σύλλογος, σοὶ τῷ δεσπότῃ
τρανῶς ὑπερεντυγχάνει ὡς Θεῷ·
ὧν ταῖς πρεσβείαις εἰρήνευσον τὸν κόσμον.

Ἡ δωδεκὰς τῶν προφητῶν ἐπαξίως
σὺν τοῖς ἄλλοις τέσσαρσιν ἀνευφημείσθω,
τὰ ἄδηλα καὶ τὰ κρύφια Χριστοῦ
διαγορεύουσα πᾶσιν ἐν τῷ κόσμῳ.

Οἱ θεορρήμονες τῶν ἀπορρήτων λογάδες,
τῶν προφητῶν τὸ σύστημα, ὥσπερ κρατῆρα
προτίθενται τῇ Χριστοῦ ἐκκλησίᾳ
τῶν διδαγμάτων αὐτῶν τὴν θείαν βίβλον.

τριαδ.
* Σὺν τῷ Πατρὶ καὶ τὸν Υἱὸν προσκυνοῦμεν
καὶ τὸ Πνεῦμα λέγοντες· « Τριὰς ἁγία,
ἐπάκουσον τῶν βοώντων σοι πιστῶς·
‘ἡ ἐν Τριάδι μονάς, ἐλέησόν με’ ».

θεοτ.
Ἐν σοὶ πεπλήρωται τῶν προφητῶν, παναγία,
τρανῶς ἡ ἀναφώνησις· ἰδοὺ γὰρ ἦλθεν
ὃν εἶδον, ὃν προεκήρυξαν Χριστὸν
Ἐμμανουήλ, τῶν ἐθνῶν ἡ προσδοκία.

19 παρὼν Cf Pi   20 ὑπὸ φωνῇ Cf   ὑπὸ φωνῆς Pi   τὸ] τὰ Cf   τῷ Ce Eb Pi   ἐγγίζων Pi   22 σὺ Pi, om. Cf   23 ὡς Θεῷ Cf: ὁ Θεὸς cett. cdd. 25-32 trop. om. Cf Pi   33-36 τριαδ. AHG VI, 365; idem om. Pi   33 καὶ om. Cf   36 με] ἡμᾶς Cf AHG   37 πεπλήρωνται Cy   παναγία] θεοτόκε Cy Pi   38 ἡ ἀναφώνησις] ἀναφωνήσεις Pi   39 ἴδον Cf Cy Pi   προεκήρ-] ἐκήρ- Cf

37-40 Is. 7,14; Matth. 1,23

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Τὴν σταύρωσιν
καὶ τὴν ταφὴν τοῦ δεσπότου
σὺν τῇ ἐγέρσει προεῖπον οἱ προφῆται.

Πρόσεχε,
οὐρανέ, καὶ λαλήσω
τὴν ἐν προφήταις ἐκλάμψασαν σοφίαν.

f. 114
|| Τιμάσθωσαν
τὰ καθαρώτατα σκεύη
τῆς ἐκκλησίας, οἱ ἅγιοι προφῆται.

Δόξα σοι,
ὁ τοὺς προφήτας δοξάσας
ὡς ἐνεστῶτα τὰ μέλλοντα προβλέπειν.

Κύριε,
τῶν προφητῶν ταῖς πρεσβείαις
τὴν σὴν εἰρήνην παράσχου τῷ λαῷ σου.

Στηρίξατε
ὡς θεολάξευτοι στῦλοι
τὴν ἐκκλησίαν τῆς χάριτος, προφῆται.

heirm. β' EE 78, n. 110, Germani; heirm. integrum referunt Ce Eb Cf   41-100 ode β' desideratur in Cy Pi   45 καὶ λαλήσω] φθέγξομαι γὰρ Cf   47-49 pro hoc aliud trop. profert Cf: Οἱ πρόβολοι / τῆς νομικῆς εὐσεβείας / τῆς Ἐκκλησίας στηρίζουσι τοὺς στύλους.   52 in Ce corrupto tantum προβλέπ legitur; cfr. autem v. 16   53-55 pro hoc trop. aliud profert Cf: Τὰ ῥήματα / τῆς τοῦ Θεοῦ πρὸς ἀνθρώπους / οἰκονομίας ἐγράψατε, προφῆται.

Εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ σωτὴρ τοῦ κόσμου

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ ἐν τοῖς προφήταις
καταγγελλόμενος Θεὸς
καὶ μυστικῶς αὐτοῖς ὀφθεὶς
ὡς ἐχώρουν θεάσασθαι.

Ἔγνωμεν, Κύριε,
ὅτι σὺ προϋπέδειξας
ἐν ὀπῇ τῆς πέτρας
τῷ σῷ θεράποντι Μωσεῖ
τῶν ὀπισθίων τὴν γνῶσιν
προμαθόντι τὴν δόξαν σου.

Εὐφημείσθω Μωυσῆς
καὶ Ἀαρών, οἱ ἅγιοι,
Σαμουὴλ ὁ μέγας
καὶ ὁ θεσπέσιος Δαβὶδ
καὶ ὁ θεσβίτης Ἠλίας
καὶ Ἐλισαῖος ᾄσμασιν.

Ὑμνείσθω Ἡσαΐας
ὁ μεγαλοφωνότατος
καὶ Ἱερεμίας,
οἱ ἐν προφήταις θαυμαστοί,
μεθ' ὧν Ἰεζεκιὴλ
καὶ Δανιήλ, οἱ κράτιστοι.

---

heirm. β' ἄλλος EE 78, n. 111, Germani; heirm. integrum invenitur in Ce Eb 64 θεάσασθε Cf 71-72 Ἀνευφημείσθωσαν / Μωσῆς καὶ Ἀαρὼν Cf 80 προφήτες et sup. lin. corr. in -αις Eb

---

66-70 Ex. 33,22-23

Τὰ δώδεκα στελέχη
τῶν προφητῶν τιμάσθωσαν,
ἐξ ὧν ἀποστάζει
ὁ τῶν χειλέων γλυκασμὸς
ὑπὲρ κηρίον εὐφραίνων
τὴν ἐκκλησίαν τοῦ Χριστοῦ.

τριαδ. Τριάδα δοξάσωμεν,
μονάδα προσκυνήσωμεν,
f. 114v ἄναρχον || ἀνάρχου
Πατρὸς Υἱὸν μονογενῆ
καὶ Πνεῦμα τὸ σύνθρονον
καὶ Πατρὶ συναΐδιον.

θεοτ. Θεοτόκον σε πάντες
οἱ προφῆται προέβλεπον,
κεχαριτωμένη
Μαρία, θύγατερ Δαβίδ,
πολυωνύμως καλοῦντες
καὶ πολυτρόπως γράφοντες.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ*

Τὸν ἐν σταυρῷ προσηλωθέντα Χριστὸν ὑμνοῦμεν
ὡς τὸ κράτος λύσαντα τοῦ θανάτου
καὶ τοὺς νεκροὺς συνεγείραντα
τῇ ἐγέρσει αὐτοῦ.

Τῶν κατὰ νόμον λίθων τοὺς ὑπερτίμους
τοῖς ἐπαίνοις στέψωμεν τοὺς προφήτας,
οὓς καὶ ἡ χάρις ἔστεψε
προικοφορήσασα.

---

88 τοῦ om. Cf 95 ἅπαντες Cf 96 προέλεγον Cf
heirm. γ' EE 78, n. 110, Germani; heirm. integrum referunt cdd. 101-104 trop. om. Cf Cy Pi Cy diverso ordine trop. odes γ' disponit: 2, 7, 3, θεοτ.; Pi, autem, hunc ordinem profert: 6, 3, 2, 4, 5, 7, θεοτ. 105 νόμον Cf: νόμων cett. cdd.

Τὰς νομικὰς τηρήσαντες διατάξεις
καὶ σὺν νόμῳ ζήσαντες οἱ προφῆται
ὡς ἀκριβεῖς νομοφύλακες
μακαριζέσθωσαν.

Τοὺς ἐπὶ θρόνου δόξης ποικιλοτρόπως
τὸν Θεὸν καθήμενον κατιδόντας,
τῶν προφητῶν τοὺς ἀκρέμονας
ἐγκωμιάσωμεν.

Ἡ δωδεκὰς τῶν νόμου τιμίων λίθων
σὺν τοῖς ἄλλοις τέσσαρσιν εὐφημείσθω,
τῶν προφητῶν ἡ ὁμήγυρις
σκέπουσα πάντας ἡμᾶς.

Ὁ ἐν πυρὶ διφρεύσας αἰθεροδρόμος
καὶ ὁ ἐν λάκκῳ λέουσι προσπελάσας
καὶ οἱ τὴν κάμινον σβέσαντες
παῖδες τιμάσθωσαν.

Ὡς τὰ ἐγγὺς προβλέποντες τῇ προγνώσει
καὶ τὰ πόρρω φθάνοντες τῇ προρρήσει,
Χριστοῦ προφῆται, πρεσβεύσατε
σωθῆναι πάντας ἡμᾶς.

f. 115 τριαδ. * ‖ Χερουβικῶς ὑμνήσωμεν τὴν Τριάδα
σὺν ἀγγέλοις κράζοντες ἀσιγήτως·
« ἅγιος, ἅγιος, ἅγιος,
Τριὰς μονὰς ὁ Θεός ».

θεοτ. Τοῖς θεογλώσσοις στόμασι θεοτόκον
οἱ πρὸ νόμου πάντες καὶ μετὰ νόμον
σὲ προανέκραζον ἅπαντες
Θεοῦ προφῆται, σεμνή.

---

110 συνόμως Pi 111 νόμου φύλακες Cy 112 ἐμακαρίσθησαν Cf Cy Pi 113-116 trop. tantum Cf Pi tradunt 114 καθιδόντας Pi 117-124 trop. desunt in Cy 117 τοῦ Cf Pi τίμιον λίθον Pi 121 αἰθεροδρόμως Pi 122 ὁ om. Pi 123-124 καὶ οἱ τὴν φλόγα δροσίσαντες / παῖδες ὑμνείσθωσαν Pi 125 Ὀστὰ Ce 126 φράνοντες Ce φθάσαντες Pi 127 Χριστοῦ] Θεοῦ Cy Pi 129-132 τριαδ., quod in AHG V, 314 invenies, deest in Cy Pi 133-136 aliud θεοτ. profert Cy « Ἡ τὸν Θεὸν ἐν μήτρᾳ σου δεξαμένη », MR VI, 113 135 ἅπαντες] ἄχραντε Pi 136 σεμνὴ] ποτὲ Pi

Κάθισμα.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

Προπατόρων, πατέρων, πατριαρχῶν
....

ᾠδὴ δ'. *« Εἰσακήκοα
τὴν ἀκοήν σου καὶ ἐφοβήθην·
κατενόησα τὰ ἔργα σου »,
ὁ προφήτης ἐβόα.*

Τὴν τριήμερον
ἀνάστασίν σου δοξολογοῦμεν
καὶ δοξάζομεν, φιλάνθρωπε,
τὴν σὴν οἰκονομίαν.

Ἡ ἀκρόπολις
τῶν κατὰ νόμον πολιτευθέντων,
προφητῶν ὁ ἓξ καὶ δέκατος
ἀναδέδεικται στῦλος.

Κάθ., quod Cy Pi om., in PeR 458 leges; ante hoc alia duo καθ. Cf continet, quae inedita videntur: Ἦχος δ'. Πρός· *Ἀπεστάλη Γαβριὴλ* Ἐν τοῖς πατράσιν ὁ Θεὸς / προανεφώνεις μυστικῶς / τὴν ἐσομένην ἐπὶ γῆς / θεοφανίαν σαρκικῶς / τοῦ πρὸ αἰώνων Υἱοῦ σου / ἐκ τῆς παρθένου, / ἐν τῷ Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, / Ἰούδα ἐφεξῆς / καὶ Ἰεσσαὶ καὶ Δαβὶδ / καὶ τοῖς προφήταις ἅπασιν ἐν πνεύματι / προκαταγγέλλων (-λλειν cd.) τὸν ἐν (ἐμ cd.) Βηθλεὲμ / Χριστὸν φανέντα τοῖς ἐν τῷ κόσμῳ, / πάντων προσδοκία ἐθνῶν. Ἄλλο. Ἦχος πλ. δ'. Πρός· *Ὅτε οἱ ἔνδοξοι μαθηταὶ* Ὅτε τοῦ μάντεως Βαλαὰμ / οἱ μυηταὶ προσεδώρουν, προσεκύνουν σοί, / τότε Ἡρώδης ὁ δυσσεβὴς / χριστοκτονίαν νοσήσας ἐξεμαίνετο / καὶ ἀνόμοις σφαγαῖς / δῆμον δικαίων βρεφῶν παραδίδωσι· / βλέπε παράνομον βουλὴν / κατὰ Θεοῦ τολμηθεῖσαν καὶ στέναξον, / φεῦγε ἀτίθασον (ἀντίθασσον cd.) ὁρμὴν / βρεφοκτονίας αἰτίαν καὶ δάκρυσον / ὁ περὶ πάντας ἀγαθός, Κύριε, δόξα (σοι).

heirm. δ' EE 78, n. 110, Germani; heirm. integrum servant cdd. heirm. 4 καὶ ἐδόξασά σου, φιλάνθρωπε Pi καὶ ἐδόξασά σε EE 137-140 trop. deest in Cf Cy Pi 141-144 trop. deest in Cy Pi Pi, autem, hoc ordine trop. odes δ' disponit: 3, 5, 7, 4, θεοτ. 142 νόμων Ce 144 στῦλος scripsi: στόλος cdd.

Τοὺς ἐκφάντορας
τῶν μυστηρίων Χριστοῦ προφήτας
εὐφημήσωμεν τοὺς δώδεκα
καὶ τοὺς τέσσαρας ἅμα.

f. 115v || Τίς ἐδίδαξε
τιμᾶν προφήτας θῆρας ἀγρίους;
τίς τὸ πῦρ δροσίζειν ἔπεισεν,
εἰ μὴ ἡ εὐνομία;

Τίς τὸ πέλαγος
τὸ Ἐρυθραῖον ἔπηξε πάλαι,
ὥσπερ τεῖχος διαιρούμενον,
εἰ μὴ ἡ εὐνομία;

Τίς ἐνεύρωσεν
ἄοπλον παῖδα γίγαντα ῥῆξαι;
τίς κατέσχε τὸν ἀλάστορα,
εἰ μὴ ἡ εὐνομία;

Τίς ἡμέρωσε
τὸ κῆτος πάλαι τὸ τῆς θαλάσσης
διασώσασθαι τὸν δίκαιον,
εἰ μὴ ἡ εὐνομία;

Τίς ἐποίησε
Θεοῦ προφήτας τοὺς πρὶν ἀγροίκους;
τίς ἐσόφισε τὰ μέλλοντα
εἰ μὴ ἡ εὐνομία;

---

148 τέσσαρεις Cf -ρις Cy 149-152 trop. om. Cy 151 ἔπεισεν] ἔδειξεν Cf Pi 153-156 trop. deest in Cf 153 πέλαγος] πλάτος Pi 157-160 trop. om. Cy Pi 159 κατέσχε] καθεῖλε Cf 161-164 trop. om. Cy 165-168 trop. om. Pi 166 ἀγροίκους] ἀγνώστους Cy 167 τίς] καὶ Ce Eb

---

150 Dan. 6,19 151 Dan. 3,49-50 153-156 Ex. 14,15 sqq. 157-160 I Regn. 17,1-58 161-164 Ion. 2,1 sqq.

Τίς παρέπεισε
τὴν σιαγόνα ὕδωρ ἐκβλύσαι
καὶ εἰς ὅπλον τίς παρέπεισεν,
εἰ μὴ ἡ εὐνομία;

Ἐπιδίφριος
δι' εὐνομίαν ἔμπυρος ὤφθη
ὁ οἰκήσας ὡς παλάτιον
τὸ Καρμήλιον ὄρος.

Δυσωπούμενος
ὁ ταῦτα πάντα τῇ σῇ δυνάμει
τοῖς προφήταις χαρισάμενος
σῶζε πάντα τὸν κόσμον.

τριαδ. Ἀνυμνήσωμεν
τὸν ἐν Τριάδι καὶ ἐν μονάδι
δοξαζόμενον Θεὸν ἡμῶν
εἰς αἰῶνα αἰῶνος.

θεοτ. Ἀξιόχρεως
ὁ ὑπὸ πάντων αἶνος, παρθένε
θεοτόκε, σοὶ προσάγεται
παρὰ πάντων τὸ « χαῖρε ».

169-172 trop. tantum Cy praebet; idem cd. post hoc refert trop. « Τίς τὸ πέλαγος » (vv. 153-156) 173-176 trop. deest in Cy Pi 177-180 trop. deest in Cf Cy Pi 181-184 τριαδ. om. Cy Pi 185-188 aliud θεοτ. profert Cy, quod ineditum videtur: Χαῖρε, καύχημα / τῶν ἀποστόλων καὶ τῶν μαρτύρων, / ἀγαλλίαμα καὶ κήρυγμα / προφητῶν καὶ ὁσίων. / Pi, autem, hoc θεοτ. porrigit: Τὸ μυστήριον / τῆς ὑπὲρ λόγον κυήσεώς σου / οἱ προφῆται προεκήρυξαν, / ὑπερένδοξε κόρη. 185 Ἀξιόχρεος cdd. 188 τὸ « χαῖρε » γὰρ παρὰ πάντων ἀκούεις Cf

---

169-172 Jud. 15,15-19 173-176 IV Regn. 2,1-12

ᾠδὴ ε΄. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, υἱὲ τοῦ Θεοῦ,*

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, Υἱὲ τοῦ Θεοῦ,
ὁ ἀφθαρσίαν πηγάσας
f. 116 || τῇ ἐγέρσει σου
καὶ τοὺς ἐν τῷ ᾅδῃ
ἀναστήσας ἐκ νεκρῶν
σὺν τῷ προπάτορι.

Προφητικὸν συμπόσιον πρόκειται σήμερον·
προφητικὴν εὐωχίαν
ἡτοιμάσατο
Χριστὸς τῇ ἐκκλησίᾳ·
δεῦτε οὖν συνευφρανθῶμεν,
ὦ φιλέορτοι.

Τῶν προφητῶν τοὺς δώδεκα ὡς τοῦ Χριστοῦ μαθητὰς
πάντες τιμήσωμεν·
πάντες ἀνυμνήσωμεν
τοὺς τέσσαρας δὲ πάλιν,
ὡς τοὺς γράψαντας ἡμῖν
τὰ εὐαγγέλια.

Σὺν τῷ Ἀδὰμ τιμάσθωσαν πάντες οἱ δίκαιοι,
Ἄβελ καὶ Σὴθ καὶ Ἐνώς,
Ἐνὼχ καὶ Νῶε καὶ Σήμ,
μεθ' ὧν οἱ πατριάρχαι
Ἀβραὰμ καὶ Ἰσαὰκ
καὶ Ἰακὼβ καὶ Λευΐ.

---

heirm. ε΄ EE 78, n. 110, Germani; heirm. integrum ostendunt Ce Eb Cf Pi; Cy, vero, diversum heirm. praebet, qui duobus primis vv. similis est illi qui in EE 79, n. 111, Germano tribuitur   189-194 trop. deest in Cf Cy Pi   Pi, autem, hoc ordine trop. odes ε΄ instituit: 2, 4, 7, 5, 6, 3, θεοτ.   201-206 trop. tantum Cy Pi tradunt   203 desideratur in Cy   204 τέσσαρας] -ρις Cy   205 γράψαντα Pi   206 τὸ εὐαγγέλιον Pi   208 ἑνὸς Cy   210 οἱ] καὶ οἱ Cy   212 καὶ Λευΐ om. Cf

Οἱ πρὸ Μωσέως ἅγιοι ἀνευφημείσθωσαν
καὶ σὺν Μωσεῖ Ἀαρὼν
καὶ Ἐλεάζαρ καὶ Ὢρ
καὶ τοῦ Ναυῆ ὁ γόνος,
Ἰεφθάε καὶ Βαρὰκ
καὶ Γεδεὼν καὶ Σαμψών.

Ὁ ἐκ κοιλίας ἅγιος τιμάσθω νῦν Σαμουήλ·
ὁ ἐκλεκτὸς τοῦ Θεοῦ
ἀνευφημείσθω Δαβίδ,
Νάθαν καὶ Ἰωσίας
καὶ οἱ τρεῖς παῖδες ὁμοῦ
σὺν τῷ πιστῷ Δανιήλ.

Μελχισεδὲκ ὁ δίκαιος, εἰρήνης ὢν βασιλεύς,
ὡς ἱερεὺς τοῦ Θεοῦ
ἀνευφημείσθω πιστῶς
ὡς ἀφωμοιωμένος
τῷ Χριστῷ, καθὼς βοᾷ
Παῦλος ὁ πάνσοφος.

τριαδ. Τριὰς ἁγία, δόξα σοι εἰς τοὺς αἰῶνας ἀμήν,
ἡ ἐν Πατρὶ καὶ Υἱῷ
καὶ θείῳ Πνεύματι
θεολογουμένη
ὡς ἀμέριστος μονὰς
καὶ τρισυπόστατος.

θεοτ. Σὲ ἀψευδῶς προέγραψαν πάντες προφῆται, ἁγνή,
στάμνον καὶ ῥάβδον καὶ βάτον

213-218 trop. om. Cy   214 Μωσῆ Cf Pi   Ἀααρὼν Cf   217 καὶ om. Pi   Βαραὰκ Pi   226 ὡς] καὶ Pi   231-236 aliud τριαδ. profert Cf: Ὀνόμασι καὶ πράγμασιν / ἡ Τριὰς ἡμῖν θεολογείσθω· / μονὰς γὰρ / τῇ οὐσίᾳ ἐστὶ καὶ φύσει, / Τριὰς δὲ πάλιν ἐν τοῖς χαρακτῆρσιν, / ὁ Πατὴρ σὺν Υἱῷ τε / καὶ ἁγίῳ Πνεύματι. Pi, autem, τριαδ. omnino omittit   237 ἁγνὴ] Θεοῦ Pi   238 βάτον] πλάκαν Cy   πλάκας Pi

---

225-230 Ps. 109,4; Hebr. 7,1-14   238 στάμνον Ex. 16,33; Hebr. 9,4   ῥάβδον Num. 17,23; Hebr. 9,4   βάτον Ex. 3,2

καὶ λυχνίαν χρυσῆν
καὶ κλίμακα καὶ ὄρος,
θεοτόκε, κιβωτὲ
τοῦ ἁγιάσματος.

f. 116v || ᾠδὴ ϛ΄. *Ἐβόησα*
ἐν στεναγμοῖς ἀσιγήτοις
πρὸς τὸν οἰκτίρμονα Θεὸν
καὶ εἰσήκουσέ μου
ἐξ ὄρους ἁγίου αὐτοῦ
καὶ ἀνήγαγεν
ἐκ φθορᾶς τὴν ζωήν μου.

Ἐσκύλευσας
τοῦ θανάτου τὸ κράτος
ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν
καὶ συνήγειρας Ἀδὰμ
ὡς φιλάνθρωπος Θεὸς
καὶ ἀνήγαγες
ἐκ φθορᾶς τὴν ζωήν μου.

Κηρύξαντος
τὴν ἀπειλὴν τοῦ προφήτου
ἐν Νινευὶ πάλαι, σωτήρ,
μετεστράφης ὡς Θεὸς
καὶ ἠλέησας αὐτούς·
οὕτω καὶ νῦν ἡμᾶς
ἐλέησον, οἰκτίρμον.

---

heirm. ϛ΄ EE 79, n. 111, Germani; heirm. integrum servant cdd. heirm. 4 εἰσήκουσε] ἐπήκουσε Cf Cy Pi EE v. 5 ἐξ ᾅδου κατωτάτου Cy Pi EE 6 ἀνάγαγε Cy 243-249 trop. om. Cf Cy Pi Pi, autem, hoc ordine trop. odes ϛ΄ profert: 3, 4, 5, 2, θεοτ. 250 Κηρύξαντες Cy 252 ἐν] τῇ Ce Eb τὴν Cy 253 ἐπεστράφης Cy ὡς] ὁ Cf 254 ἐλέησας Cf Cy

---

239 Ex. 25,31; Hebr. 9,2 240 κλίμακα Gen. 28,12 ὄρος Ps. 67,66-67 241 Ex. 25,10-22; Ps. 131, 8; Hebr. 9, 4 250-254 Ion. 2,4-10

Τῷ Ἀχαὰβ
ὁ θεσβίτης Ἠλίας
Θεοῦ ἀπήγγειλεν ὀργήν·
ὁ δὲ τοῦ θρόνου ἀναστὰς
περιεβάλετο σάκκον
καὶ μετελήλυθεν
ἡ ὀργὴ εἰς γαλήνην.

Ὁ βασιλεὺς
Ἐζεκίας τεθνάναι
μέλλων προσκλαύσας τῷ Θεῷ
προσθήκην ἔλαβε ζωῆς,
τοῦ προφήτου πρὸς αὐτὸν
τὸ τοῦ οἰκτίρμονος
ἀπαγγείλαντος ῥῆμα.

Ὑψώσατε,
μεγαλοκήρυκες, ὕμνους
καὶ προσευχὰς πρὸς τὸν Θεὸν
ὑπὲρ ἡμῶν τῶν εὐσεβῶς
ἐκτελούντων τὴν μνήμην
τῆς πρὸς Θεὸν ὑμῶν
ἐκδημίας, θεόπται.

τριαδ. Δοξάσωμεν
σὺν τῷ Υἱῷ τὸν Πατέρα
καὶ Πνεῦμα ἅγιον, πιστοί,
διαιροῦντες εὐσεβῶς
καὶ συνάπτοντες πιστῶς
ὡς τρία ἄναρχα
ἐν μονάδι ἀνάρχῳ.

---

258 θεσβίτης] προφήτης Cf Cy Pi 259 ἠπείλησεν Cf Pi 261 περιεβάλλετο Cy 263 εἰς γαλήνην τὴν ὀργὴν Cy 269 τὸ] τὰ Cy Pi 270 ἀπαγγέλλοντος ῥητὰ Cy προκαταγγείλαντος ῥητὰ Pi 271-277 trop. deest in Cy 275 τὰς μνήμας Cf Pi 276 Θεὸν] αὐτὸν Cf Pi 277 θεόπται] προφῆται Pi 278-284 τριαδ. desideratur in Cy Pi 279 τῷ om. Ce Eb

---

257-263 III Regn. 20,19,27 264-270 Is. 38,1-8

θεοτ. Πεπλήρωνται
τῶν προφητῶν αἱ προρρήσεις,
f. 117 θεογεννῆτορ, || ἐπὶ σοί·
κλῖμαξ γὰρ ὤφθης νοητὴ
καὶ βάτος φέρουσα τὸ πῦρ
καὶ ὄρος ἅγιον
καὶ βασίλειος πύλη.

ᾠδὴ ζʹ. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Ἀνέστης ἐκ τοῦ τάφου,
Ἰησοῦ παντοδύναμε,
δωρησάμενος ἡμῖν τὴν ἀνάστασιν·
διὰ τοῦτο βοῶμεν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Τὰ δώδεκά σου σκῆπτρα,
Ἰσραήλ, προτετίμηνται·
ἐξ ὧν τοὺς δώδεκα προφήτας καὶ τοὺς τέσσαρας Χριστὸς

---

288 γὰρ tantum Cy Pi ὤφθη Cy 291 καὶ βασιλέως πορφύρα Cy post oden ςʹ Cf praebet Ὑπ(ακοὴν) « Ἄγγελος παίδων », MR II, 529, et κοντάκια duo inedita: Ἦχος πλ. βʹ. Πρός· *Τῷ θρόνῳ ἐν οὐρανῷ* Τῷ θρόνῳ θεοπρεπῶς, / τῇ φάτνῃ βροτοπρεπῶς / ἐποχούμενος, Χριστὲ βασιλεῦ, / μετὰ ποιμένων οἱ ἄγγελοι / καὶ μετὰ μάγων τὰ σύμπαντα / προσεκύνουν βοῶντά σοι· / « εὐλογημένος εἶ ὁ γεννώμενος / εἰς βροτῶν νῦν ἀναγέννησιν. // Ἄλλο. Ἦχος πλ. δʹ. Πρός· *Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους* Τὸν ἐκ παρθένου τεχθέντα / δεῦτε λόγῳ τιμήσωμεν· / αὐτὸν γὰρ ὁρῶντες ἐν σπηλαίῳ / ἐκραύγαζον οἱ ἄγγελοι· / « εἰ καὶ βροτὸς θέλων ὤφθης, / σὺ ὑπάρχεις πάντων κτίστης καὶ Κύριος ». In Ce, autem, post oden ςʹ haec leguntur: Κονδάκιον ἦχος πλ. βʹ: *Χειρόγραφον εἰκόνα* ζήτει ὄπισθεν εἰς τὸ Τρεῖς παῖδες; in Eb, postremo, ζήτει κοντάκιον... in marg. scriptum est
heirm. ζʹ EE 79, n. 111, Germani; heirm. integer exstat in Pi 292-297 trop. deest in Cf Cy Pi post v. 296 orat. abrumpitur trop. odes ζʹ hoc ordine disponuntur in Pi: 2, 3, 7, 4, 5, 6, θεοτ. 299 ὁ Ἰσραὴλ Cy προτετίμηται Cf Cy Pi 300 ἐξ] μεθ' Cy τέσσαρας] -ρεις Ce Eb Cf -ρις Cy

---

288 Cfr. sup. v. 240 289 Cfr. sup. v. 238 290 Hab. 3,2 291 Ez. 44, 2

ἐπαξίως τιμήσας
τῆς ἐκκλησίας λογικοὺς
στύλους ὑπέθετο.

Εὐφράνθητι, Ἰούδα,
καί, Λευΐ, μεγαλύνθητι,
ἐξ ὧν ἐτέχθη ὁ Χριστός, ὁ βασιλεὺς καὶ ἱερεύς,
ἐξ Ἰεσσαὶ κατὰ σάρκα
ἀναβλαστήσας ἐκ Δαβίδ,
ὡς οἱ προφῆται φασίν.

Ἰὼβ ἐδικαιώθη
ὑπομείνας τὸν Κύριον
καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ Ἰωσὴφ
πειρασθέντες τιμῶνται
σὺν Μωυσεῖ καὶ Ἀαρὼν
καὶ Ἰησοῦ τοῦ Ναυῆ.

Διώκεται Ἠλίας,
Ναβουθὲ φθόνῳ κτείνεται,
Ἱερεμίας ἐν βορβόρῳ κατηνέχθη δεσμευθεὶς
καὶ Ἡσαΐας ἐπρίσθη
καὶ Ἰωσὴφ καὶ Δανιὴλ
λάκκῳ ἐβλήθησαν.

---

303 ὑπέθηκεν Cy 306 ἐτέχθη] προῆλθεν Cy ὁ Χριστὸς] μοι Χ. Pi καὶ ἱερεὺς] τοῦ παντὸς Cy 307 ἐξ Ἰεσσαὶ] ἐξ ἧς ἀεὶ Cy 309 φη(σὶν Cf) Cy 310-321 trop. caret Cy 314 Μωυσῇ Cf Pi Ἀαρὼν Cf 317 κταίνεται Pi

---

319 Th. Schermann, *Prophetarum vitae fabulosae*, Lipsiae 1907, 104: ...θνήσκει δὲ (Ἡσαΐας) ὑπὸ Μανασσῆ τοῦ βασιλέως Ἰούδα πρίονι ξυλίνῳ πρισθεὶς εἰς δύο... PG 13,223: Aiunt ideo Isaiam esse sectum a populo, quasi legem praevaricantem, et extra scripturas annuntiantem.

---

316 III Regn. 19,1 sqq. 317 III Regn. 20,1-16 318 Jer. 45,6 320-321 Gen. 37,24; Dan. 6,18

Τιμάσθωσαν ἀξίως
οἱ τὴν κάμινον σβέσαντες
καὶ τῇ εἰκόνι τῇ χρυσῇ μὴ προσκυνήσαντες
παῖδες, οὓς ἐδικαίωσε
σὺν Ἀζαρίᾳ Μισαὴλ
καὶ Ἀνανίᾳ ὁ Θεός.

f. 117v ‖ Ἀγάλλεσθε, προφῆται,
ἐν Κυρίῳ καὶ χαίρετε·
προητοιμάσθη γὰρ ὑμῖν ἡ ἀνεκλάλητος χαρά,
ὡς προκηρύξασι πᾶσι
τὸν τρισυπόστατον Θεὸν
κρυφιομύσταις φωναῖς.

τριαδ. Τριάδα παναγίαν
ἐν μονάδι θεότητος
διαιροῦντες εὐσεβῶς καὶ ἑνοῦντες πιστῶς
ὁμοφρόνως βοῶμεν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἣν εἶδον οἱ προφῆται
θεοτόκον ὑμνήσωμεν
ὡς βασίλειον σκηνὴν καὶ σκῆπτρον οὖσαν ἐκ Δαβὶδ
τοῦ βασιλέως τῶν ὅλων
καὶ ὡς πορφύραν νοητὴν
τοῦ σαρκωθέντος Θεοῦ.

---

325 ἐδικαίωσας Cy 326 Ἀζ.] Ἀνανίᾳ Cf 327 Ἀν.] Ἀζαρίᾳ Cf vv. 326-327 Χριστέ, Ἀνανία, Ἀζαρία / καὶ Μισαήλ, ὁ Θεὸς Cy 331 προκηρύξαντες Cf Pi 328-333 trop. deest in Cy 329 χαίρεσθε Pi 333 κρυφιομύσται σοφοὶ Pi 334-339 τριαδ. om. Cy Pi 336 καὶ ἑνοῦντες πιστῶς om. Ce post v. 338 orat. abrumpit Ce 340-345 aliud θεοτ. tradit Pi, quod ineditum videtur: Τὸν ἄφραστόν σου τόκον / οἱ προφῆται προέγραψαν, / θεοτόκε, ἡ ἐλπὶς καὶ προστασία ἡμῶν· / ἀλλὰ πρεσβεύειν μὴ παύσῃ / τὸν εὐδιάλλακτον Θεόν, / τὸν σαρκωθέντα ἐκ σοῦ. 340 Ἣν] Ὃν Ce Cf

---

322-327 Dan. 3,12 sqq. 342 σκηνὴν Ex. 26,1 sqq; Hebr. 9, 1-5 σκῆπτρον III Regn. 11,13

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ*

Τὸν ἐκ νεκρῶν
ἀναστάντα ἐν δόξῃ
Χριστὸν τὸν Κύριον
καὶ θανάτου τὸ κράτος
θανάτῳ σκυλεύσαντα,
ἱερεῖς, εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἡ εὐσεβὴς
ἐπαξίως τιμάσθω
τῶν προφητῶν δωδεκάς,
ὡς πιστὴ νομοφύλαξ,
σὺν τοῖς ἄλλοις τέσσαρσι
θεοφόροις, σοφίαις
ταῖς ἐν προφητείαις
δᾳδουχήσασι κόσμον.

Τὴν νομικὴν
ἀναπτύξας σου βίβλον
τίς, ὦ προφῆτα, εἰπέ,
Μωυσῆ, ὃν προεῖπας
Χριστός; « ὁ αὐτός ἐστιν
ὁ δακτύλῳ χαράξας
τὰς τοῦ νόμου πλάκας
καὶ λαλήσας μοι πάλαι ».

---

heirm. η' EE 78, n. 110, Germani; heirm. integrum legimus in Pi 346-353 trop. deest in Cy Pi; Pi, autem, trop. odes η' hoc ordine digerit: 3, 4, 5, 6, 2, 7, θεοτ. 352 post ὑπερυψοῦτε orat. abrumpit Ce 357 πιστοὶ Cy πίστει Pi νόμου φύλαξ Cy 359 σοφίαις] σοφίσαι Ce Eb 360 τὸν ἐν τοῖς προφήταις Ce Eb Cf Cy 361 δαδουχήσαντα Ce Eb Cf δαδουχίσαν τὸν Cy 362-369 trop. caret Cy 365 Μωυσεῖ Ce Eb ὄνπερ εἶπας Pi

---

362-369 Ex. 31,18

Τί σὺ ὁρᾷς
φράζε, ὦ Ἡσαΐα·
« θρόνον καὶ δόξαν Θεοῦ,
ἑξαπτέρυγα ζῷα
καὶ τὰ πολυόμματα
καὶ τὸν θεῖον ἄνθρακα,
ὅνπερ τῇ λαβίδι
ἐν τοῖς χείλεσι φέρω ».

f. 118 || Φράσον ἡμῖν
τίς ὁ θρῆνος ὁ μέγας,
Ἱερεμία, καὶ εἰπέ·
« Ἰσραὴλ προεάλω,
ἡ Σιὼν κατέστραπται,
ἐν χερσὶ τὰ ἅγια
τῶν προνομευσάντων·
διὰ ταῦτα ὁ θρῆνος ».

Δεῦρο εἰπέ,
Δανιήλ, ἃ κατεῖδες·
« θρόνοι ἐτέθησαν·
ἠνεῴχθησαν βίβλοι
καὶ Θεὸς ἐκάθητο
καὶ ἀγγέλων τάγματα
τότε μυριάδες
ἐλειτούργουν ἐν φόβῳ ».

Σάρρα ἡ πρὶν
γηραλέα καὶ στεῖρα
σὺν τῇ Ῥεβέκκᾳ,
Μαριὰμ ἡ Μωσέως

370 σοι Cf 377 ταῖς Cy φέρων Cy Pi 378-393 trop. desunt in Cy 379 ὁ μέγας] ἐκεῖνος Pi 380 Ἱερεμίας Ce Eb καὶ εἰπὲ om. Pi 382 κατέστρεπται Cf 385 ταῦτα] τοῦτο Pi 387 ἃ κατεῖδες] τίνα ἴδες Cf Pi 389 ἀνεώχθησαν Ce Eb 396 Ῥεββέκα Ce

370-377 Is. 6,1-7 378-385 Jer. 27,4 sqq. 386-393 Dan. 7,10

ἐν ᾠδαῖς τιμάσθωσαν
ὡς Θεοῦ προφήτιδες,
Ἰουδὴθ καὶ Ἄννα,
Ἰωλδὰ καὶ Δεβώρρα.

τριαδ. * Σὺν τῷ Πατρὶ
τὸν Υἱὸν προσκυνοῦμεν
καὶ Πνεῦμα ἅγιον,
ἐν Τριάδι μονάδα
σὺν ἀγγέλοις κράζοντες
τοῖς πηλίνοις στόμασι·
« δόξα ἐν ὑψίστοις
Θεῷ τῷ ἐν Τριάδι ».

θεοτ. Ἡ ἐκ Δαβὶδ
ἀνυμνείσθω προφῆτις,
ἡ θεοτόκος
καὶ παρθένος Μαρία,
καὶ ἡ συγγενὴς αὐτῆς
Ἐλισάβετ ἡ στεῖρα
καὶ ἡ σώφρων Ἄννα,
ἡ προφῆτις καὶ χήρα.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Σὲ τὸν ἀναστάντα σωτῆρα
θεϊκῇ δυναστείᾳ
ἀφθαρσίαν καὶ ζωὴν

401 Ἰωλδὰ] καὶ ὀλδᾶ Cy Δεβώρρα Pi: Δεβόρρα cett. cdd. 402-409 τριαδ., MR II, 607, deest in Cy Pi; cfr. etiam in hoc vol. canon. XLVIII (3), vv. 323-330 411 προφήτης Cf Cy 415 τῇ στείρᾳ Pi 417 ἡ] καὶ Cy προφήτης Cf Cy post θεοτ., quod ut trop. traditur, Pi hoc θεοτ. exhibet: Τὰ περὶ σοῦ / οἱ προφῆται, παρθένε, / προανεφώνησαν· / ὁ Δανιὴλ θεῖον ὄρος / καὶ ὁ Ἡσαΐας δὲ / ῥάβδον ἐκβλαστήσασαν / καὶ ἕτεροι προφῆται / βάτον, πύλην καὶ στάμνον.

heirm. θ' EE 79, n. 111, Germani; heirm. integrum continent Ce Cy Pi heirm. 1 Σὲ] Ὃς Cf 418-423 trop. om. Cf Cy Pi

ἡμῖν διδόντα
ὡς Θεὸν καὶ σωτῆρα ἡμῶν
μεγαλύνομεν.

Δώδεκα προφήτας ὁ νόμος
καὶ τοὺς τέσσαρας οἶδε·
τὸν ἰσάριθμον χορὸν
ἡ χάρις τούτους
ὡς Χριστοῦ μαθητὰς ἐπαξίως
ἐδόξασε.

f. 118ᵛ || Ψάλλε, ὦ Δαβὶδ θεοπάτορ,
τίς ὠρύχθη τὰς χεῖρας
καὶ τοὺς πόδας ἐν σταυρῷ·
« ὁ Κύριός μου,
οὗ διένειμαν καὶ τὰ ἱμάτια
οἱ παράνομοι ».

Κράζε φανερῶς, Ἡσαΐα,
τίς ἣν εἶδες παρθένον·
« ἐκ τῆς ῥίζης Ἰεσσαὶ
προῆλθε ῥάβδος,
ἐξ ἧς ἄνθος ἐφάνη Χριστός,
ὁ τοῦ κόσμου σωτήρ ».

Τράνωσον, εἰπέ, ὦ προφῆτα,
τίς ὁ τόμος ἐκεῖνος,
ὃν ἐδέξω ἐν πυρί·
« Θεοῦ ὁ Λόγος,
ὁ γραφεὶς ὡς ἐν τόμῳ καινῷ
ἐν γαστρὶ τῆς μητρός ».

424-429 trop. deest in Cy Pi 425 τέσσαρας] -ρεις Ce Cf -ρις Eb εἶδε cdd. trop. odes ϑ′ hoc ordine digerit Cy: 7, 3, 6, 8, ϑεοτ.; Pi, autem: 3, 6, 4, 5, 7, 8, 9, ϑεοτ. 436-447 trop. caret Cy 436 Φράζε Pi 437 ἴδες Cf Pi παρθένος Pi 444 πυρὶ] χερσὶ Cf 445 Θεὸς Ce Eb

---

436-441 Is. 11,1 442-447 Is. 8,1-4

Λέγε, Σολομών, τίς ἡ κλίνη,
τίς ὁ κῆπος ἐκεῖνος·
« ἡ μὲν κλίνη ἡ ταφὴ
τοῦ σταυρωθέντος,
ἡ Ἐδὲμ δὲ ὁ κῆπος, ἐν ᾧ
προσηνέχθη ληστής ».

Τράνωσον, ὦ Ἱερεμία,
τί τὸ ξύλον ὃ εἶπας
εἰς τὸν ἄρτον ἐμβαλεῖν
τοὺς ἀνομοῦντας·
« ὁ σταυρὸς τοῦ Χριστοῦ καὶ τὸ σῶμα
αὐτοῦ τὸ σεπτόν ».

Λέγε, ὦ προφῆτα, τὴν πάντων
ἀναμόρφωσιν, λέγε·
« τὰ ὀστέα τὰ ξηρά,
ἐν οἷς οὐκ ἔστιν
οὐ πνοὴ οὐδὲ σάρξ, δεῦτε
λάβετε πνεῦμα ζωῆς ».

Φράσον, ὦ θεσβίτα, καὶ λέγε
τί τὸ πνεῦμα ἐκεῖνο,
τὸ ἐξᾶραν ἀπὸ γῆς
ἐν συσσεισμῷ σε·
« τοῦ Χριστοῦ πνεῦμα ἦν τὸ λαλοῦν
ἐν προφήταις Θεοῦ ».

Δόξα τῷ δοξάσαντι πάντας
τοὺς ἁγίους προφήτας
προϊδεῖν καὶ προειπεῖν

---

448 Σαλομῶν Cy 449 τίς] ἢ τίς Cy Pi 453 ληστὴς] ὁ λ. Cy 454-459 trop. deest in Cf 454 Ἐρεμία Cy 455 οἶπας Cy 456 ἐμβάλειν Cy 458 τὸν σταυρὸν Cy σῶμα] αἷμα Cy 461 λόγε Cf 462 ξυρὰ Cy 466-471 trop. deest in Cy 467 ἐκεῖνον Ce Eb Cf 472-483 trop. carent Cy Pi

---

448 Cant. 3,7 449 Cant. 4,16 454-459 Jer. 11,19 460-465 Ez. 37,1-10 466-471 IV Regn. 2,1,11

τὰ τῆς ἀφράστου
οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ
τὰ μυστήρια.

τριαδ.

Σὲ τὸν ἀπαράλλακτον ὄντα
τοῦ Πατρὸς χαρακτῆρα
f. 119 || καὶ συναΐδιον ὁμοῦ
τῷ Παρακλήτῳ
ὡς Θεὸν καὶ σωτῆρα ἡμῶν
μεγαλύνομεν.

θεοτ.

Λέγε, παιδοτόκε παρθένε,
πῶς λοχεύεις ἀσπόρως;
« καθ' ἃ βούλεται Θεός,
νικᾶται φύσις,
ὅτι πάντα ποιεῖ ὅσα θέλει
καὶ βούλεται ».

---

477 τὰ add. Cf   484-489 aliud θεοτ. profert Cy, quod ineditum videtur: Σὲ τὴν γαλουχήσασαν βρέφος / τὸν τὰ σύμπαντα λόγῳ / διατρέφοντα Θεόν, / παρθένε μήτηρ, / ὡς υἱόν σου καὶ κτίστην / ἡμῶν μεγαλύνομεν.   484 παιδοτόκε] θεοτόκε Pi   486 καθὼς Pi   487 νικᾶτε Cf   488 θέλει om. Cf

IN PROGENITORES CHRISTI
IN DANIELEM PROPHETAM ET TRES PUEROS

Cfr. synaxarium canonis XXIX.

Crypt. Δ.δ. II = De, ff. 1v-5v
Vat. gr. 1850 = Ve, ff. 74-75v

Ὁ κανών.
⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ἡ προαστράπτουσα αἴγλη
τῆς τοῦ Χριστοῦ
ἐπὶ γῆς ἐλεύσεως
ἐν τῇ μνήμῃ τῶν σοφῶν
προπατόρων σήμερον φαιδρῶς
τὰς ἀκτῖνας ἐφαπλοῖ
πᾶσι τοῖς πέρασιν.

Ἐκ τοῦ μεγέθους καὶ κάλλους
τῶν ὁρατῶν
ποιημάτων, ἅγιοι,
τὸν Θεὸν καὶ ποιητήν,
πατριάρχαι, ἔγνωτε· διὸ
ἐδοξάσατε αὐτὸν
ἐνθέοις πράξεσιν.

---

tit. Ὁ κανὼν τῶν ἁγίων προπατόρων De   Ὁ κανὼν Ve   nomen hymnographi Γεωργίου e θεοτ. litteris primis deducitur   heirm. α' EE 159, n. 224, Joannis   2 τῆς τοῦ] τοὺς τῆς Ve   5 προπατέρων Ve   6 ἐφαπλεῖ De   8 κάλλου Ve   9 ὁρατῶν] ἀρετῶν Ve   12 διὸ] σαφῶς De

Βασιλικῆς ἐξ ὀσφύος
οἱ εὐκλεεῖς
f. 2 παῖδες ‖ ⟨ἀνατείλαντες⟩,
τὸ ἀξίωμα αὐτῶν
εὐγενῶς ἐτήρησαν, ἐχθρῶν
ἀντιθέων προσταγαῖς
μὴ ὑποκύψαντες.

θεοτ. Γεγενημένους συμμόρφους
τοῦ ποιητοῦ
ἐν τῷ θείῳ τόκῳ σου
καθικέτευε, ἁγνή,
ἐν τῇ τούτου χάριτι ἡμᾶς
συντηρεῖσθαι καὶ ἁγνῶς
ἀεὶ γεραίρειν σε.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Ἐν τῇ ἁπλότητι ὑμῶν
καὶ ἀπλάστῳ καρδίᾳ,
πατριάρχαι, τὴν χάριν
ἐδέξασθε τοῦ Θεοῦ
καὶ θεράποντες αὐτοῦ
πρὸ τοῦ νόμου
ἀληθεῖς ἐδείχθητε.

Τῷ θείῳ ἔρωτι Θεοῦ
καὶ τῇ τούτου ἀγάπῃ,
παναοίδιμοι παῖδες,

---

17 ἀνατείλαντι Ve tantum λλωντες legitur in De (fort. ἀνατέλλωντες) 18 τὸ] τῷ Ve 22-28 θεοτ. cfr. supra canon. XXIII, vv. 21-27 22 Γεγεννημένους Ve 25 ἁγνή] ἀεὶ De 27 σύντηρῆσαι De
heirm. γ' EE 159, n. 224, Joannis 30 ἀπλάστῳ scripsi: ἀπλήστῳ cdd. 32 τοῦ] ἐκ Ve 35 ἐδείχθησαν De 37 καὶ τῆς τούτου ἀγάπις De τούτου] τοὺ Ve

---

15-19 Dan. 1,3-7 22-23 Rom. 8,29; Phil. 3,21

πυρούμενοι τὰς ψυχὰς
τοῦ πυρὸς τοῦ αἰσθητοῦ
ἀκαθέκτους
φλόγας οὐκ ἐπτήξατε.

Ἡ ἐνοικήσασα ἐν σοὶ
χάρις τοῦ παρακλήτου,
Δανιήλ, σὲ ἀδήλων
ἀνέδειξε θεωρὸν
f. 2v ‖ καὶ μυστηρίων Θεοῦ
ὑπηρέτην
καὶ ἐχθροῖς αἰδέσιμον.

θεοτ. Ἐν τῇ λαμπρότητι, ἁγνή,
τῆς φαιδρᾶς σου πρεσβείας
ἀπελαύνουσα πᾶσαν
ὁμίχλην τῶν λυπηρῶν
ἀκτῖσι τῆς νοητῆς
εὐφροσύνης
λάμπρυνον τοὺς δούλους σου.

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Χριστοῦ τὴν ἔλευσιν
προεθεάσατο
Ἀβραὰμ ἐν συμβόλοις
καὶ ἐν σκηναῖς
νῦν ἠγαλλιάσατο
τῇ δηλουμένῃ ἀνθρώπων
εὐφροσύνῃ συνηδόμενος.

41-42 ἀκαταφλέκτου φλογõν ἅγιοι οὐκ ἔπτυξαν De 45 ἀδείλων De ἀδίλων Ve 46 θεορῶν cdd. 50-56 θεοτ. cfr. supra canon. XXIII, vv. 49-55 51 πρεσβείας] μνηστείας Ve 52 πᾶσαν] πάθει Ve 53 ὁμίχλη τῶν πειρασμῶν Ve post oden γ' Ve κάθ. praebet « Εἰς δρόσον τοῖς παισί », MR II, 453, quod ut Ὑπ(ακοὴ) refertur
heirm. δ' EE 159, n. 224, Joannis 61 νῦν] καὶ De

Τὸ πάθος ἔγραψε
καὶ προεδήλωσεν
Ἰσαάκ· ἀνηνέχθη
ἐν τῷ βουνῷ
καὶ ὁλοκαυτούμενος
τοῦ παθητοῦ πάθος τρανῶν
καὶ ἀπάθειαν θεότητος.

Θηρῶν ἀνήμερα
στόματα ἔδησε
Δανιὴλ — — —́ —
— — — —́
f. 3 — — —́ || — —́ — —
τὸν δυναμοῦντα γὰρ Θεὸν
συνεργὸν — — — ἅπασιν.

θεοτ. Ὡς θείαν κλίμακα
σὲ ὑπεστήριζεν
ὁ υἱός σου, παρθένε,
πρὸς οὐρανὸν
ἀπὸ γῆς ἀπάγουσαν
τοὺς ἀνυμνοῦντάς σε ἀεὶ
εὐπροσδέκτοις ἱκεσίαις σου.

ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Προκαταγγέλλουσι τὴν Χριστοῦ
γέννησιν οἱ θεῖοι πατέρες
καὶ πατριάρχαι τοῖς ἔθνεσι

66 ἀνηνέχθης cdd. 68 ὁλοκαυτώμενος Ve 71-77 aliud trop. profert Ve: Τὴν φλόγα σβέσαντες / παθῶν οἱ ἅγιοι / ἐγκρατείας τῇ δρόσῳ / παῖδες Θεοῦ / καὶ τὸ πῦρ τὸ ἄσβεστον / τῆς καιομένης καμίνου / δι᾽ ἐντεύξεως ἐμάραναν. v. 73 quattuor syllabis caret 74-75 duo vv. desiderantur v. 77 tribus syllabis caret 79 ὑπὸστήρηξεν Ve 82 ἀνάγουσαν Ve
heirm ε΄ EE 159, n. 224, Joannis 85 Προκαταγγέλλουσαν De Χριστοῦ] σεπτὴν Ve 87 πατριάρχαις De

66-70 Gen. 22,3 sqq. 71-73 Dan. 6,19 78 Gen. 28,12

καὶ εἰς εὐφροσύνην μετακαλοῦσι κοινὴν
ἐν τῇ οἰκείᾳ μνήμῃ
τὴν κτίσιν ἅπασαν.

Τὴν θείαν κλίμακα τοῦ Θεοῦ,
δι᾽ ἧς ἐπὶ γῆς ὁ ἀγαθὸς
Λόγος αὐτοῦ καταβέβηκεν,
εἶδεν ἐν συμβόλοις ὁ ἐκλεκτὸς Ἰακὼβ
καὶ ὕμνησε τὸ μέγα
αὐτοῦ μυστήριον.

Τῇ θείᾳ αἴγλῃ τῶν ἀρετῶν
καὶ τῆς εὐσεβείας τῷ φωτὶ
f. 3ᵛ ὑπεραστράπτοντες, || ἅγιοι
παῖδες, τὸ τῆς πλάνης σκότος ἠλάσατε
καὶ ἅπασαν τὴν κτίσιν
κατελαμπρύνατε.

θεοτ. Ῥεῖθρα πηγάζουσα νοητῶς
τὰ τῶν χαρισμάτων σου, ἁγνή,
πάσας ἀρδεύεις, πανάχραντε,
νάμασι θαυμάτων πιστῶν ἀεὶ τὰς ψυχὰς
δροσίζουσα καὶ νόσων
πῦρ καταψύχουσα.

ᾠδὴ ϛ΄. *Τοῦ βίου τὴν θάλασσαν*

Ξενίας ἀντίδωρον
ὑπεδέξω, Ἀβραάμ,
ξενίσαι τὸν ξενίζοντα

88 κοινὴν] ἀεὶ Ve 89 οἰκία cdd. 94 συμβόλοι De 95 μέγαν De 100 τὸ] τῷ De ἠλάσατε] ἠλάσεται Ve in De vero tantum σατε legitur rasurae cd. causa 102 κατελαμπρύνεται Ve 103 Ῥύθρα πηγάζουσαν De 104 ἁγνὴ om. De 105 πᾶσαν Ve 106 νάμασι] ἐν ἄσματι Ve 107 δροσίζουσαν Ve νόσσου Ve
heirm. ϛ΄ EE 159, n. 224, Joannis 109-114 trop. deest in Ve 111 ξενῆσαι De

91-96 Gen. 28,10-22 109-114 Gen. 18,1-15

καὶ τῆς Τριάδος δέξασθαι τὸ φρικτὸν
ἐν τύποις μυστήριον
τὸ ξενίζον ἀγγέλων πᾶσαν νόησιν.

Σαλπίσαντες σήμερον
οἱ πατέρες νοητῶς
μετὰ τῶν παίδων ἅπασαν
καὶ Δανιὴλ τὴν κτίσιν εἰς μυστικὴν
πανδαισίαν καλοῦσι
τοῦ δεσπότου δηλοῦντες τὴν ἐπέλευσιν.

Τρυφῶντες τοῦ πνεύματος
τῶν ἀφθόνων δωρεῶν
f. 4 || οἱ παῖδες ἐβδελύξαντο
βασιλικὴν ἀπόλαυσιν καὶ τρυφήν·
διὰ τοῦτο ἀξίως
τὰς ἀφθόνους ἐλλάμψεις ὑπεδέξαντο.

θεοτ. Γραφέντες, πανάχραντε,
ἐν τῇ βίβλῳ τῆς ζωῆς
διὰ τῆς σῆς κυήσεως
καὶ ἐκ φθορᾶς ῥυσθέντες οἱ γηγενεῖς
σὲ ἐπιγραφόμεθα
σωτηρίας αἰτίαν καὶ ζωώσεως.

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Διὰ πίστεως Θεοῦ τοῦ παντοκράτορος
θεράποντες οἰκεῖοι αὐτοῦ
ἀνεδείχθητε·

---

123 ἐβδελύγξαντο De   132 ἐτίαν De
Post oden ϛ' κοντ. « Χειρόγραφον εἰκόνα » et οἶκ. « Ἔκτεινόν σου τὴν χεῖρα » praebet Ve, cf. κοντ. canon. XXVIII
heirm. ζ' EE 159, n. 224, Joannis

121-126 Dan. 1,8-17

διὰ τοῦτο δόξης καὶ τιμῆς
καὶ κλήσεως θείας παρ' αὐτοῦ
ὡς πατριάρχαι ἀληθεῖς κατηξιώθητε.

Τῆς καμίνου μὲν τὴν φλόγα κατεπαύσατε
δρόσῳ τῆς ὑμνῳδίας Θεοῦ·
τὴν λατρείαν δὲ
τοῦ πυρὸς τοῖς αἵμασιν ὑμῶν
ἐσβέσατε, παῖδες εὐκλεεῖς,
f. 4v δοξολογοῦντες || ἐκτενῶς τὸν τῶν πατέρων Θεόν.

Ἐν νεότητι τὸ παλαιόν σου φρόνημα
ὁρῶντες καὶ τὴν σύνεσιν
ὑπερλ⟨άμπουσαν⟩
καὶ κρατοῦσαν πάντων, Δανιήλ,
— ⁄ — οἱ τύραννοι τοῖς σοῖς
λόγοις ὡς χάριτι — ⁄ — — — ⁄ — — ⁄.

θεοτ. Ἰσχυρὸς ἐχθρὸς ἠσθένησε καὶ ἔπεσε
διὰ τοῦ σαρκωθέντος Θεοῦ
καὶ ἐρρώσθημεν
ἀσθενεῖς δυνάμει τῇ αὐτοῦ
ἀεί σε δοξάζοντες, ἁγνή,
καὶ ἀνυμνοῦντες ἐκτενῶς τὸν τῶν πατέρων Θεόν.

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ἡ τοῦ σπέρματος ὑμῶν
ἤδη πεπλήρωται
εὐλογία ἐν νόμῳ

---

138 ἀληθεῖς: θως tantum legitur in Ve propter cd. corruptionem   144 τὸν] τῶ De   145-150 trop. om. Ve   147 ὑπερλάμπουσαν supplevi: ὑπερλ tantum legitur in De   149 cd. corruptus, v. tribus syllabis caret; fort. scribendum ὑπεῖκον   150 v. novem syllabis caret   152 Θεοῦ] ἐκ σοῦ Ve   153 ἐρρώσθημεν] ἐρρύσ(θη)μεν Ve
heirm. η' EE 159, n. 224, Joannis

157-164 Gen. 22,16-18

τῷ σαρκωθέντι Χριστῷ·
ἐν αὐτῷ γὰρ πάντα
τὰ ἔθνη ηὐλόγηνται
καὶ εἰς πολὺ πλῆθος
ἐπέδωκε, πατέρες.

Εὐκλεῶς ἀπὸ ῥίζης
πατριαρχῶν τοῦ Θεοῦ,
Ἀβραὰμ Ἰσαάκ τε
f. 5 καὶ Ἰακώβ, εὐθα||λεῖς
παῖδες, ἐκφυέντες
— ⏑́ — ἐδείξατε
πᾶσι τὴν πατρῴαν
εὐγένειαν τοῖς ἔργοις.

Ἀρεταῖς ὁπλισθέντες
καὶ εὐσεβείᾳ Θεοῦ
τὸ ἀκάθεκτον ὑμᾶς
πῦρ θεασάμενον
ἔφριξεν, ἐπαύθη,
ἐσβέσθη καὶ ἤργησε
καὶ δι' ὑμῶν, παῖδες,
ὁ κτίστης ἐδοξάσθη.

θεοτ. Ὁ ἐκ σοῦ ὑπὲρ λόγον
τεχθείς, πανάχραντε,
τῶν ἀνθρώπων τὴν φύσιν
ἐκαινοποίησε
καὶ υἱοὺς ἐν χάριτι
πάντας εἰργάσατο
τοὺς σὲ θεοτόκον
κυρίως ἀνυμνοῦντας.

---

160 Χριστῷ] Θεῷ Ve 163 πλῆθος πολὺ De 164 πατέρες] πρεσβῦται Ve 170 v. tribus syllabis caret 174 εὐσεβείας De 178 εἴργησαι Ve 184 ἐκαινοποίησας Ve

---

175-180 Dan. 3,49

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Χριστοῦ τῆς θείας συγκαταβάσεως
ταῖς νοηταῖς
ἀκτῖσι καὶ χάριτι φαιδρύνεται
ἐν τῇ τῶν πατέρων παμφαεῖ ἑορτῇ
ἡ αὐτοῦ ἐκκλησία
καὶ τὰ οὐράνια
κάλλη μιμουμένη δοξάζει
καὶ μεγαλύνει αὐτόν.

Θεὸν ἐνθέοις ἔργοις δοξάσαντες,
τῆς παρ' αὐτοῦ
f. 5v || ἐτύχετε εὐνοίας καὶ χάριτος·
διὰ τοῦτο πάντων τῶν πρὸ νόμου σοφοὶ
πατριάρχαι καὶ φίλοι
τούτῳ ἐδείχθητε
καὶ θεῖοι θεράποντες αὐτοῦ,
πατέρες δίκαιοι.

Θεοῦ τῆς θείας συγκαταβάσεως
προμυηθείς,
Δανιήλ, τὰ ἄγνωστα μυστήρια
⟨πάν⟩τα γ' ἐν συμβόλοις προεκήρυξας
καὶ τὴν ἐκ τῆς παρθένου
τούτου ἐπίλαμψιν
καὶ τῆς βασιλείας τὸ κράτος
πᾶσιν ἐμήνυσας.

---

heirm. θ' EE 159, n. 224, Joannis 189 Χριστὸν De 191 φαιδρύνεται scripsi: φαιδρύνατε De -ται Ve 195 κάλλει De 199 εὐμνοίας De 200 τοῦτο] τούτων Ve 201-202 πάντες οἱ πατριάρχαι φίλοι ἐδείχθητε Ve 205-212 aliud trop. profert Ve: Δεκτὴν θυσίαν καὶ ὁλοκάρπωσιν / ἔργα Θεῷ / καὶ λόγους, θεῖοι παῖδες, πρ(οσ)άξαντες / καὶ πυρὸς λατρείαν κατασβέσαντες / θύματα (θῦμα τῷ cd.) δεσπότῃ τῷ τῆς ἀθλήσεως / καὶ ὁμολογίαι θανάτου / σεπτὰ προήχθητε. 206 προμιηθῆς De 208 πάντα scripsi: scriptura evanida, tantum τα legitur in De 210 τούτου scripsi: τούτω De

---

208-212 Dan. 2,28-49

θεοτ. Υἱοὺς ἀνθρώπους φωτὸς εἰργάσατο
ὁ ἐν σαρκὶ
ἥλιος ἀνατείλας, πανάχραντε,
ἐκ σοῦ ὑπὲρ λόγον καὶ διάνοιαν
καὶ τῆς οἰκείας δόξης
πάντας ἠξίωσε
τοὺς σὲ ἀνυμνοῦντας ἐκτενῶς
καὶ μεγαλύνοντας.

213 ἀνθρώπων De 217 οἰκίας cdd. 220 μεγαλύναντας De -λύνομεν Ve

213 I Thes. 5,5

IN SANCTUM SEBASTIANUM ET SOCIOS MARTYRES

Synaxarium, 321-326: Σεβαστιανοῦ, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου, Μαρκελλίνου, Μάρκου καὶ Ζωῆς. Ὧν ὁ μὲν Σεβαστιανὸς ὑπῆρχε τῷ γένει περίβλεπτος καὶ τῆς συγκλήτου πρῶτος ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐκ πόλεως Μεδιολάνων ὁρμώμενος. Οὗτος τὸν τῆς πίστεως διδαχθεὶς λόγον, ἀλείπτης ἐγένετο τοῖς τότε χριστιανοῖς καὶ τὰ τῶν βασιλέων τιμᾶν ὑποκρινόμενος καὶ τοῖς ἐν δεσμωτηρίοις χριστιανοῖς παραμυθούμενος οὐ διέλιπε. Μαρκελλῖνος δὲ καὶ Μάρκος αὐτάδελφοι χρονίαν ὑπομείναντες κάθειρξιν διὰ τὴν εἰς Χριστὸν ἀγάπην καὶ πολλαῖς βασάνων ἰδέαις ὑποβληθέντες, ἐκελεύσθησαν ἀποθανεῖν. Ὁ δὲ τούτων πατὴρ Τραγκυλῖνος καὶ Μαρκία ἡ μήτηρ θρήνοις καὶ κοπετοῖς ὀδυρόμενοι παρὰ μικρὸν ἐκώλυον αὐτοὺς τοῦ διὰ Χριστὸν παθεῖν, ἕλληνες ὑπάρχοντες. Τοῦτο γνοὺς ὁ μακάριος Σεβαστιανὸς καὶ δείσας, μήπως τῆς πίστεως ἀπορραγῶσιν οἱ ὁμολογηταὶ καὶ ἐκπέσωσι τῆς εὐθείας ὁδοῦ, ῥίψας τὸ προσωπεῖον καὶ παρρησιασάμενος ἤλειφεν αὐτοὺς πρὸς τοὺς ἀγῶνας· ὅτε τὸ οὐράνιον καὶ γλυκύτατον φῶς αὐτοὺς περιήστραψε καὶ πολλοὺς πρὸς τὴν πίστιν προσήνεγκε. Καὶ ὁ τούτων δὲ πατὴρ Τραγκυλῖνος πιστεύσας τὸν ὕπαρχον κατήχησεν. Αὐτίκα οὖν ὁ ὕπαρχος προσκαλεσάμενος τὸν ἐνδοξότατον καὶ μακάριον Σεβαστιανὸν καὶ Πολύκαρπον τὸν πρεσβύτερον, ἠξίου σωτηρίας τυχεῖν καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι. Ἦν γὰρ ἅπαν τὸ σῶμα αὐτοῦ εἰς ὄγκους πεπυρωμένον· ὅθεν καὶ ἀκίνητος ἦν. Ἐπεὶ δὲ πληροφορίαν ἐδέξατο παρὰ τῶν ἁγίων εἰρηκότων αὐτῷ ὅτι· «Εἰ ὁλοψύχως πιστεύσεις, καὶ τῆς νόσου ἀπαλλαγήσῃ καὶ αἰωνίως βασιλεύσεις,» παραυτὰ τὰ ἐν τῷ οἴκῳ αὐτοῦ ἱστάμενα εἴδωλα συνέτριψε καὶ μεγάλῃ τῇ βοῇ ἀνέκραξε· «Πιστεύω σοι, Κύριε, τῷ ὑπὸ τῶν σῶν δούλων κηρυσσομένῳ.» Καὶ αὐτίκα τῆς νόσου ἀπαλλαγεὶς ὁ πρὶν ἀκίνητος δίκην ἐλάφου ἥλατο, καὶ βαπτισθεὶς πᾶσαν τὴν περιουσίαν αὐτοῦ τοῖς πτωχοῖς διένειμεν, ἐλευθερίᾳ τοὺς οἰκέτας τιμήσας. Ὁ δὲ μακάριος Γάϊος ὁ ἐπίσκοπος τὸν μὲν Μαρκελλῖνον καὶ Μάρκον τοὺς αὐταδέλφους τῷ τῶν πρεσβυτέρων ἐγκαταλέγει τάγματι· τὸν δὲ περίδοξον Σεβαστιανὸν ἔκδικον τῆς ἐκκλησίας καταστήσας, σὺν αὐτοῖς διέτριβε νηστείαις καὶ δεήσεσι προσκαρτερῶν καὶ τὸν τοῦ μαρτυρίου καιρὸν ἐκδεχόμενος. Πολλοὶ δὲ τότε νόσοις ποικίλαις ἐξεταζόμενοι, ἀφικνούμενοι πρὸς αὐτοὺς ἐθεραπεύοντο καὶ θαύματα ἐτελεῖτο παράδοξα. Τότε καὶ ἡ μακαρία καὶ τρισόλβιος Ζωὴ ἐν τῷ τοῦ ἀποστόλου Πέτρου σηκῷ προσευχομένη συλληφθεῖσα καὶ μήτε βρώσεως ἢ πόσεως μετασχοῦσα ἐξάγεται· καὶ μετὰ πολλὰς ἐρωτήσεις καὶ κολάσεις μὴ πεισθεῖσα, ἐπί τινος δένδρου ὑψηλοῦ ἀναρτᾶται καὶ καπνῷ δυσώδει καὶ πνιγηρῷ ὑποκαπνισθεῖσα τὸ

πνεῦμα ἀφίησιν. Εἶτα λίθῳ προσδεθεῖσα ἐν τῷ τοῦ ποταμοῦ Τιβέρεως ἀκοντίζεται ῥείθρῳ· καὶ οὕτως ἐτελειώθη. Τοῦτο μαθὼν ὁ Τραγκυλῖνος καὶ ταχὺ τοῦ δεσμωτηρίου ἐξελθὼν καὶ ἐν τῇ τοῦ ἁγίου Παύλου σορῷ γενόμενος, αὖθις συλλαμβάνεται καὶ λιθόλευστος γενόμενος καὶ αὐτὸς τῷ τοῦ ποταμοῦ ῥείθρῳ ἐκδίδοται. Νικόστρατος δὲ καὶ Κλαύδιος καὶ Κάστωρ παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ ζητοῦντες τὸ λείψανον τοῦ μακαρίου Τραγκυλίνου ἐφωράθησαν· καὶ κρατηθέντες θαλαττίοις ἐκδίδονται κύμασιν. Τιβούρτιος δὲ γυμνοῖς τοῖς ποσὶ τῶν ἀνθράκων ἐπιβῆναι κελευσθεὶς καὶ τοῦ πυρὸς ὑπεράνω γενόμενος, τὴν διὰ τοῦ ξίφους δέχεται τιμωρίαν. Κάστουλος δὲ ὁ διαιτάριος τοῦ βασιλικοῦ οἴκου καὶ αὐτὸς συλληφθεὶς καὶ πολλαῖς βασάνοις προσπαλαίσας, εἶτα λάκκῳ ζοφώδει ἐναπορριφεὶς ἐκεῖσε τελευτᾷ τὸν βίον. Μαρκελλῖνος δὲ καὶ Μάρκος οἱ γενναῖοι συλληφθέντες πάλιν καὶ τοὺς πόδας ἥλοις διαπαρέντες, ἐπὶ τοσοῦτον ἵστασθαι ἐκελεύσθησαν, ἕως ἐπιθύσωσι. Μὴ πεισθέντες δέ, λόγχῃ τὰς πλευρὰς διατρηθέντες, ἀφῆκαν τὸ πνεῦμα. Σεβαστιανὸς δὲ ὁ μεγαλόφρων τελευταῖος ταῖς βασάνοις τηρηθεὶς εὐκλεῶς τὸν στέφανον ἀποφέρεται. Μετακαλεῖται γὰρ ὑπὸ τοῦ Διοκλητιανοῦ καὶ ἐρωτᾶται. Ὡς δὲ ὑπὸ τῶν λόγων αὐτοῦ κατεβροντήθη ὁ τύραννος, αἰσχυνθεὶς ἵστησιν αὐτὸν ἐν πεδίῳ οἷα σκοπόν· καὶ τοῖς βέλεσιν ὁ ἅγιος βάλλεται, νιφάσι τῇ πυκνότητι παρισωμένοις. Ὅθεν λογισάμενοι αὐτὸν τεθνάναι οἱ βάλλοντες, ἀφῆκαν ἐρριμμένον. Ἐπεὶ δὲ πάλιν ὑπὸ τῆς θείας χάριτος ὑγιασθεὶς ἐν τοῖς ζῶσιν ἦν, πάλιν καταθραυσθεὶς τὸ σῶμα καὶ εἰς μέρη κατατμηθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι.

Crypt. Δ.α. IV = Ce, ff. 126v-129
Vallic. gr. 167 = Eb, ff. 50-50v
Vat. gr. 2069 = Vb, ff. 93v-94

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Σεβαστιανῷ μάρτυρι πρέπει σέβας.

Ἦχος πλ. β΄.

ᾠδὴ α΄. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Σὺν ἀσωμάτων χορείαις
ἐν οὐρανοῖς
παρεστώς, πανόλβιε,
τῷ δεσπότῃ καὶ Θεῷ
τοὺς τὴν θείαν μνήμην σου πιστῶς

---

tit. Ὁ κανὼν τῇ ἑσ(πέρᾳ) τῶν μαρτύρων φέρων... Ce Ὁ κανὼν τῇ ἑσπέρᾳ et in marg. φέρων ... Eb Τῷ αὐτῷ μηνὶ ιη΄ εἰς τὸ Ἀπόδειπνον κανὼν ... τῶν ἁγίων μαρτύρων Σεβαστιανοῦ καὶ τῶν σὺν αὐτῷ φέρων ... Vb

heirm. α΄ EE 159, n. 224, Joannis 5 exscissionis folii causa tantum τοὺς ... ην σου πιστῶς legitur in Eb

ἐκτελοῦντας πειρασμῶν
ῥῦσαι πρεσβείαις σου.

Ἐν οὐρανίοις θαλάμοις
περιχαρῶς
σὺν ἀγγέλων τάξεσι
μεγαλύνοντες Χριστόν,
ἀθληταὶ πανένδοξοι, ὑμᾶς
τοὺς τιμῶντας εὐσεβῶς
περιφρουρήσατε.

Βίον σεμνὸν διανύσας
καὶ καθαρόν,
ἀμοιβὴν ἀπείληφας
ταύτην, μάκαρ, ἐκ Θεοῦ,
τὸ τελειωθῆναι εὐσεβῶς
διὰ αἵματος, σοφέ,
ὥσπερ ἐπόθησας.

Ἄγγελοι θεῖοι τοὺς λόγους
τοὺς ἐκ τοῦ σοῦ
προϊόντας στόματος,
ἀθλοφόρε τοῦ Χριστοῦ,
βεβαιοῦντες θαύμασι πολλοῖς
ἐφειλκύσαντο λαοὺς
πρὸς γνῶσιν ἔνθεον.

f. 127 θεοτ. ‖ Ἄφλεκτον πάλαι τὴν βάτον
κατανοεῖ
Μωυσῆς, πανάχραντε,
τὴν ἁγίαν σου νηδὺν
προτυποῦσαν· φέρεις γὰρ τὸ πῦρ
τῆς θεότητος γαστρὶ
μένουσα ἄφλεκτος.

15-28 trop. carent Ce Vb 15 διανοίσας Eb 24 πριόντα Eb 27 ἐφελκύσαντο Eb

---

29-33 Ex. 3,2

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σὺ*

Σαρκὸς εὐγένειαν λιπὼν
καὶ ἐπίκηρον πλοῦτον
καὶ γηίνην ἀξίαν
καὶ τοῦ κόσμου τὰ τερπνὰ
τὸν ὄντως ὄντα Θεόν,
ἀθλοφόρε,
ἀληθῶς ἐπόθησας.

Τὸν μάτην σπεύδοντα ἐχθρὸν
τοὺς Χριστοῦ στρατιώτας,
Μαρκελλῖνον καὶ Μᾶρκον,
ὑπεκλύειν δολερῶς
πανσόφοις σου διδαχαῖς
καταισχύνεις,
μάρτυς παναοίδιμε.

Ἰδεῖν τὴν δόξαν σου, Χριστέ,
ἀνενδότως ποθοῦντες
Μαρκελλῖνος καὶ Μᾶρκος
πάντων ὁμοῦ τῶν ἐν γῇ
ἠλόγησαν καὶ τὴν σὴν
τοὺς τεκόντας
γνῶσιν ἐξεπαίδευσαν.

θεοτ. * Ἁγία δέσποινα, Θεὸν
ἡ κυήσασα δούλου

---

heirm. γ' EE 159, n. 224, Joannis 48 καταισχύνης cdd. 50-56 trop. carent Ce Vb 57-63 θεοτ. GIB 130

36-39 PG 116,796: ... Σεβαστιανός τις, ἀνὴρ καὶ γένει περιφανὴς καὶ δόξῃ περίβλεπτος, τῆς Μεδιολάνων ὁρμώμενος, τοσοῦτον τοῖς τυράννοις αἰδέσιμος ἦν διὰ τὴν αὐτοῦ δοκιμότητα ὡς τοῖς πιστοτάτοις φίλοις ἐναριθμεῖσθαι, καὶ τοῦ στρατιωτικοῦ καταλόγου προτελεῖν.

58-59 Phil. 2,7

ἐνδυσάμενον σχῆμα,
δεδουλωμένους αἰσχροῖς
καὶ πονηροῖς λογισμοῖς
τοὺς σοὺς δούλους,
κόρη, ἐλευθέρωσον.

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Ἁγίου πνεύματος
σὲ περιήστραψε
λαμπηδὼν βεβαιοῦσα
τοὺς σοὺς σαφῶς
λόγους, παναοίδιμε·
ὅπερ ὁρῶσα τῆς ζωῆς
ἡ ἐπώνυμος φωτίζεται.

Νεκροῖς Νικόστρατος
θεοῖς προσκείμενος
ἰαθεῖσαν ὡς εἶδε
τὴν γαμετὴν
ἑαυτοῦ ἐντεύξει σου,
μάρτυς, ἐπίστευσε Χριστῷ
τῷ νεκροῖς ζωὴν παρέχοντι.

Ὢ ξένου θαύματος!
ὁ πρὶν τὴν χάριν σου
βλασφημῶν Τραγυλῖνος
νῦν, ὑπ' αὐτῆς
φωτισθείς, κηρύττει σου
τοῖς ἀγνοοῦσι θαυμαστῶς,
παντοδύναμε, τὸ ὄνομα.

Μαρτύρων ὅμιλον
Θεῷ προσήγαγες,
Σεβαστιανὲ μάρτυς·

---

heirm. δ' EE 159, n. 224, Joannis 73 εἶδε scripsi: οἶδε cdd. 77 παρέχοντα cdd. 78-91 trop. tantum Eb profert

μεθ' ὧν Χριστὸν
ἐκτενῶς δυσώπησον
τοῦ εἰρηνεῦσαι τοὺς πιστῶς
ἑορτάζοντας τὴν μνήμην σου.

f. 127v θεοτ. || Δεσπότην τέξασα
Χριστὸν τὸν Κύριον
ἐνδυσάμενον δούλου
σχῆμα, ἁγνή,
δοῦλόν με γενόμενον
παθῶν ἀτίμων σαῖς εὐχαῖς
ἐλευθέρωσον, πανάχραντε.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ἄνακτα πάντων καὶ ποιητὴν
καὶ δημιουργὸν καὶ λυτρωτὴν
ἐπεγνωκώς σε Χρωμάτιος
πάντων τῶν ἐν κόσμῳ
τερπνῶν ἠλόγησε
καὶ σοὶ σὺν Τιβουρτίῳ,
Χριστέ, ἐπίστευσεν.

Ῥήμασι θείοις καὶ διδαχαῖς
Σεβαστιανὸς ὁ ἱερὸς
καὶ ὁ θεόφρων Πολύκαρπος

---

96 γενώμενον cdd.
heirm. ε' ΕΕ 159, n. 224, Joannis 101 Χρω ... abhinc usque ad finem mutilus Eb

---

99-105 PG 116, 801-805: Χρωμάτιος δὲ ὁ τῆς πόλεως ἔπαρχος ... ὑπισχνουμένων τὴν ἴασιν εἰ ἐξ ὅλης καρδίας πιστεύσοι τῷ Θεῷ, φωνῇ μεγάλῃ τοῦτο ἀνωμολόγησεν. 808: ... ὁ Χρωμάτιος ... καὶ πᾶσαν τὴν κτῆσιν τοῖς δεομένοις σκορπίσας, τοῖς τε δούλοις ἐλευθερίαν παρασχών, τὸ λοιπὸν συνῆν τοῖς ἁγίοις, πλέον πρὸς τὴν εὐσέβειαν ὁδηγούμενος.

93-95 Cfr. sup. vv. 58-59

ὅμιλόν σοι θεῖον
προσῆξε, δέσποτα,
μαρτύρων ἀνυμνούντων
τὸ θεῖον κράτος σου.

〈T—́ — — —́ — — — — —́
— — — — —́ — — — —́
— — — —́ — — —́ — —
—́ — — — —́ —
— —́ — —́ — —
— —́ — — — —́ —
— —́ — —́ — —〉.

θεοτ. Τῷ θείῳ φέγγει τοῦ ἐκ τῆς σῆς,
δέσποινα, ἐκλάμψαντος γαστρὸς
τὴν σκοτισθεῖσαν καρδίαν μου
φώτισον καὶ θεῖον
ναὸν ἀνάδειξον
ὑπάρχουσαν κακίστων
δαιμόνων σπήλαιον.

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

Υἱόν σε συνάναρχον
τοῦ Πατρός, Λόγε Θεοῦ,
ἐπεγνωκὼς Χρωμάτιος
σοὶ τὸν υἱὸν προσάγει δῶρον τερπνὸν
Τιβούρτιον μέσον σε
βασιλέα ἀνόμων
καταγγέλλοντα.

113-119 trop. desideratur 121 δέσποινα om. Ce
heirm. ς' ΕΕ 159, n. 224, Joannis 131 μέσον scripsi: μέσων cdd.

127-133 PG 116, 805-808: Τιβούρτιος γὰρ ὁ υἱὸς Χρωματίου ... τοῖς ἁγίοις προσπίπτει, Θεὸν ἀληθινὸν ὁμολογῶν τὸν Χριστόν, καὶ δεόμενος τοῦ θείου τυχεῖν βαπτίσματος. Οἱ ἅγιοι τοίνυν σὺν ἡδονῇ τεταγμένον αὐτῷ τε καὶ τῷ πατρὶ δόντες καιρὸν ὥστε τὸν ἐκ τοῦ προτέρου βίου μολυσμὸν ἀποπλύνασθαι, τοῦ θείου αὐτοὺς καταξιοῦσι λουτροῦ...

Ῥεόντων τὸ ἄστατον
ἀρνησάμενοι καλῶς
Νικόστρατος καὶ Κλαύδιος
σὺν Κασταρίῳ ἤλεγξαν ἀνδρικῶς
f. 128 εἰδώλων ‖ τὸ ἄθεον
καὶ βυθοῖς θαλαττίοις
παρεδόθησαν.

⟨Ι—́ — — —́ — —
— — —́ — — — —́
— —́ — — — —́ — —
— — — —́ — —́ — — — — —́
— —́ — — —́ — —
— — —́ — — —́ —
— — —́ — —⟩.

θεοτ. Τοῦ βίου θαλάσσῃ με
καὶ παθῶν ἐπαγωγαῖς,
παρθένε, χειμαζόμενον
ὡς κυβερνήτην τέξασα τοῦ παντὸς
κυβέρνησον, σῶσόν με
καὶ γαλήνης ἐνθέου,
κόρη, πλήρωσον.

Κάθισμα.

Ἦχος α΄. Πρός· *Τὸν τάφον σου, σωτήρ,*

Ἀθλήσαντες στερρῶς
ἐπὶ γῆς, ἀθλοφόροι,
ἐστέφθητε ὁμοῦ

---

134 Ῥεόντων] Δεόντων Ce 141-147 trop. desideratur in cdd.
heirm. καθ. PaR 9

134-140 PG 116, 812: ... Νικόστρατος καὶ Κλαύδιος ἅμα Κάστορι... ἐν χερσὶ τῶν ἀσεβῶν γίνονται, καὶ πρὸς τὸν ἔπαρχον ἀχθέντες, ἐπεὶ πάσαις προσβολαῖς ἀπερίτρεπτοι ὤφθησαν, κελεύσει βασιλικῇ, μετὰ τὸ πολλὰς ὑποστῆναι μάστιγας, θαλαττίοις ἐκδίδονται κύμασι.

πρὸς Χριστοῦ ἐν ὑψίστοις,
χοροῖς δὲ συνήφθητε
ἀσωμάτων γηθόμενοι·
ὅθεν σήμερον
τὴν εὐκλεῆ ὑμῶν μνήμην
ἑορτάζομεν
ἐν εὐφροσύνῃ καρδίας
ὑμᾶς μακαρίζοντες.

ᾠδὴ ζ΄. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Πυρὶ θείας ἀγαπήσεως φλεγόμενος,
Τιβούρτιε πανέν⟨δοξε⟩, ἀνδρειότατα
ἐπ᾽ ἀνθράκων ἔστης τοῦ πυρὸς
κραυγάζων τῶν παίδων τὴν ᾠδήν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ῥητορεύων κατενώπιον, Τιβούρτιε,
παρανομούντων ἄριστα ἀπετμήθης σου
τὴν ἁγίαν κάραν καὶ χοροῖς
ἀγγέλων συνήφθης ἐκβοῶν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

---

5 χοροῖς scripsi: χωρὶς cdd.
heirm. ζ΄ EE 159, n. 224, Joannis 156 πανένδοξε] πανέν Ce, illegibile in Vb 159 ὁ Θεὸς] Κύριε Ce post Κύριε orat. detruncatur in Ce 163 χωρίοις et sup. lin. corr. in χωρήεις Ce χωρεῖς Vb 165 post εἶ orat. detruncatur in Ce

---

155-157 PG 116, 813: Τότε ὁ ἔπαρχος... ἐκέλευσεν ἄνθρακας ἐνεχθῆναι... Ὁ δὲ μακάριος Τιβούρτιος σταυρὸν χαράξας ἔστη ἐπάνω αὐτῶν...
161-163 PG 116, 813: Ὁ δὲ δείσας μὴ τοῖς θαύμασι τούτοις ὑπαγάγηται πολλοὺς πρὸς τὴν εὐσέβειαν, ἐκέλευσεν ἀπαχθέντα τοῦτον πόῤῥω τοῦ ἄστεος ξίφει τμηθῆναι τὴν κεφαλήν.

⟨Ε — —́ — — — —́ — — — —́ — —
— — — — —́ — — — — —́ — —
— — —́ — —́ — — — —́
— —́ — — —́ — — — —́
— — — —́ — — — —́
— —́ — —́ — —⟩.

θεοτ. * Ἐξ ἁγνῶν, θεογεννήτρια, αἱμάτων σου
Χριστὸς ὁ ὑπερούσιος σαρκωθεὶς ἡμᾶς
διασώζων πρόεισι· διὸ
αὐτὸν καθικέτευε, ἁγνή,
τὸν σὲ τιμῶντα σαρκικῶν
παθῶν λυτρώσασθαι.

ᾠδὴ η′. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

f. 128v ‖ Προσδεθέντες ἀνδρείως
ἄμφω εἰς στέλεχος
καὶ τοὺς πόδας τοῖς κέντροις
περονιζόμενοι
ἔφερον στερρῶς
γεγηθότες οἱ μάρτυρες,
Μᾶρκος ὁ θεόφρων
καὶ θεῖος Μαρκελλῖνος.

Εἰκονίζοντες πάθος
τὸ σὸν τὸ ἄχραντον

167-172 trop. desideratur 173-178 θεοτ. GIB 132
heirm. η′ EE 159, n. 224, Joannis 179 Προδεθέντες Ce in Vb autem scriptura est omnino evanida. 180 τέλεχος Ce

---

179-186 PG 116,813: Μαρκελλῖνος καὶ Μάρκος... συσχεθέντες, καὶ τοὺς πόδας ἥλοις διαπαρέντες ἐπὶ τοσοῦτον ἵστασθαι παρὰ τοῦ δικάζοντος προσετάχθησαν, ἕως τοῖς θεοῖς θύσωσιν.
187-192 PG 116,813: ... λόγχαις τὸ τελευταῖον τὰς πλευρὰς νυγέντες, ὡς ὁ Χριστός, ὑπὲρ οὗ ταῦτα ἔπασχον, ἀφῆκαν τὸ πνεῦμα.

Μαρκελλῖνος καὶ Μᾶρκος,
δέσποτα Κύριε,
λόγχαις τὰς πλευρὰς
ἐκκεντῶνται κραυγάζοντες·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

⟨Ι — —́ — — —́ —
— —́ — —́ — —
— — —́ — — —́ —
—́ — — —́ — —
—́ — — — —́
— — —́ — — —́ — —
—́ — — — —́ —
— —́ — — — — —́ —⟩.

⟨Σ— — —́ — — —́ —
— —́ — —́ — —
— — —́ — — —́ —
—́ — — —́ — —
—́ — — — —́
— — —́ — — —́ — —
—́ — — — —́ —
— —́ — — — — —́ —⟩.

θεοτ. * Ὁ πατρὸς ἐξ ἀνάρχου
ἀρρεύστως πρότερον
γεννηθεὶς ἐπ᾽ ἐσχάτων
ἐκ σοῦ, πανάμωμε,
θέλων δι᾽ ἐμὲ
ἐσαρκώθη· ὃν αἴτησαι
πάντων σαρκικῶν με
παθῶν ἐλευθερῶσαι.

---

193 post ὑπ(ερυψοῦμεν) orat. abrumpit Ce 194 ὁ τῶν πατέρων ἡμῶν Vb
195-210 duo trop. desiderantur 211-218 θεοτ. GIB 132

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Ἑστὼς ἐν μέσῳ πεδίου, ἔνδοξε,
καρτερικῶς
σημεῖον ὡς τοξότου τοῖς βέλεσιν
ἐνεπάρης ἀδίκως καὶ ἔπηξας
ταῦτα ἐχθρῶν καρδίαις
τοῦ βασιλεύοντος,
Σεβαστιανέ, τῶν ἀθλητῶν
τὸ ἐγκαλλώπισμα.

Βροτὸν δι' οἶκτόν σε χρηματίσαντα,
Λόγε Θεοῦ,
κηρύττων βασιλέων ἐνώπιον
ἀφειδῶς τῷ σῷ πόθῳ ῥαβδίζεται
καὶ σοὶ τὸ θεῖον πνεῦμα
χαίρων παρέδωκε
Σεβαστιανὸς ὁ ἱερὸς
καὶ παναοίδιμος.

〈Α —́ — —́ — — —́ — —́ — —
— — —́
— —́ — — — —́ — — —́ — —
— — —́ — — —́ — — —́ — —
—́ — — — — —́ —
—́ — — —́ — —
— — — — —́ — — — — —́
— — — —́ — —〉.

heirm. θ' EE 159-160, n. 224, Joannis 219 παιδίου cdd. 229 κηρύττον Ce 235-250 trop. duo desiderantur

219-222 PG 116, 816: ... ἐκέλευσεν αὐτὸν ἐν μέσῳ τῷ πεδίῳ οἷα σκοπὸν τεθέντα πολλοῖς τοῖς βέλεσι βάλλεσθαι·

227-234 PG 116, 816: Τοῦτον ἰδὼν Διοκλητιανὸς καὶ μεταπεμψάμενος, λέγει αὐτῷ· Οὐ σὺ εἶ Σεβαστιανός, ὃν ἡμεῖς ἤδη πρότερον ἀποκτανθῆναι τοῖς βέλεσιν ἐκελεύσαμεν; Ὁ δέ, Ἐγώ εἰμι, βασιλεῦ, ἔφη, καὶ ἤγειρέ με ὁ Κύριός μου ἐκ τῶν νεκρῶν ἵνα γνῷς ὅτι οὗτός ἐστιν ὁ πάντων Θεός, καὶ μηκέτι προσέχῃς τοῖς ἀκαθάρτοις δαίμοσι. Τότε κελεύει ῥοπάλοις ἅπαν τὸ σῶμα καταξανθέντα τὸν ἅγιον, οὕτω βιαίως ἀποθανεῖν.

〈Σ — —́ — —́ — — —́ — —́ — —
— — —́
— —́ — — — —́ — — —́ — —
— — —́ — — —́ — — —́ — —
—́ — — — — —́ —
—́ — — —́ — —
— — — — —́ — — — — —́
— — — —́ — —〉.

θεοτ. Θεὸν ἀνθρώποις προσομιλήσαντα
διὰ σαρκός,
παρθένε θεοτόκε, ἐκύησας
καὶ τοὺς σὲ θεοτόκον κηρύττοντας
πάντοτε ὀρθοφρόνως
σκέπεις διδάσκουσα
f. 129 || θείᾳ ἐν εἰκόνι σε ἀεὶ
προσενοπτρίζεσθαι.

IN SANCTOS SEBASTIANUM ET FLORUM

Synaxarium, 324: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φ λ ώ ρ ο υ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουστίνου τοῦ νέου καὶ Τιβερίου καὶ Μαυρικίου ἐν Κωνσταντινουπόλει, ὁμωνύμου αὐτοῦ Φλώρου πατρὸς καὶ μητρὸς Εὐφημίας· γέγονε δὲ πάσης παιδεύσεως ἔμπειρος, τῆς τε ἑλληνικῆς καὶ τῆς ἐν ταῖς θείαις καὶ ἱεραῖς γραφαῖς. Καὶ πρῶτον μὲν ἐν τοῖς ὑπογραφεῦσι τῶν βασιλέων τελεῖ, εἶτα τὴν τῶν πατρικίων ἀνάγεται τάξιν. Γυναῖκα δὲ γήμας καὶ παίδων πατὴρ γεγονὼς καὶ τούτους παρανάλωμα τῆς λοιμικῆς καταστάντας νόσου ἰδών, αὐτὸς τὸν μοναδικὸν βίον μετῆλθε, ἔν τινι τῶν αὐτοῦ κτημάτων ἐν τῷ Ἀνάπλῳ προκαθεσθείς· εἶτα διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν ἐπίσκοπος προχειρίζεται Ἀμισοῦ. Ἐν αὐτῇ δὲ γενόμενος καὶ καλῶς τὸ πιστευθὲν αὐτῷ ποίμνιον ὁδηγήσας καὶ θαυματουργίας πλείστας πεποιηκὼς πρὸς Κύριον ἐκδημεῖ.

Cfr. atque synaxarium canonis XXXI.

Crypt. Δ.α. XIV = Cf, ff. 132-136
Sinait. gr. 583 = Σω, ff. 136v-138v
Sinait. gr. 582 = Σε, ff. 54v-57

Ὁ κανών.

⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Τὰ νοητὰ
σήμερον ἄνθη δρεψώμεθα
τῶν ἰαμάτων ἅπαντες
ἐκ τῶν τοῦ μάρτυρος
θεοσδότων λειμώνων,

tit. Ἕτερος κανὼν τοῦ ὁσίου φλόρου Cf   Ὁ κανὼν et in marg. cd. Σω nomen hymnographi Γεωργίου scriptum est; hoc etiam e θεοτ. litteris primis deducitur Ὁ κανὼν ποίημα Θεοφάνους Σε
heirm. α' EE 37, n. 51, Cosmae

τῶν καλῶν τὸν φυτουργὸν
Χριστὸν δοξάζοντες.

Σέβων Θεόν,
ἔνδοξε, τὸν ποιητὴν τοῦ παντὸς
σεβάσματα κατέλυσας
τῆς πλάνης, χάριτι
τοῦ σεβάσμιον φίλον
καὶ μάρτυρα γενναῖον
σὲ ἀναδείξαντος.

Ταῖς ἀρεταῖς,
ὅσιε, τὴν νοητήν σου στολὴν
κατακοσμήσας ἄνωθεν
τὸ δέρας ἔλαβες
τὸ τῆς ἱερουργίας
καὶ θαυμάτων ἐδέξω
χάριν τὴν ἄφθονον.

θεοτ. Γνόντες τὴν σήν,
δέσποινα, φιλανθρωπίαν, πιστοὶ
καὶ τὴν θερμὴν βοήθειαν
ἐν περιστάσεσιν
ἐπὶ σοὶ τῇ πανάγνῳ
προσφεύγοντες ἀπαύστως
διασωζόμεθα.

f. 132v ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Παλαίσμασι, σοφέ,
τοῖς τῆς ἀθλήσεως
καὶ λόγοις,
Σεβαστιανέ, πανσόφοις

6 τὸν καλὸν Cf   7 δοξάζοντας Σω   12 φίλον sup. lin. in Σε   19 τὸν τῆς ἱεραρχίας Σω   22 τὴν σὴν] πιστοὶ Σε   23 πιστοὶ] τὴν σὴν Σε   26 σὲ Σε   27 προσφέροντες Σω   προσφθέγγομεν Σε
heirm. γ' EE 39, n. 53, Cosmae   30 τῆς] σῆς Σω   32 Σεβαστιανὲ] ἀθλοφόρε Σω

ἀντιπάλων τὰ συστήματα
ἐν Χριστῷ ἀνδρισάμενος κατέβαλες.

Τῷ ξίφει ἐκτεμὼν
τῆς καρτερίας σου
τῆς πλάνης,
ἀθλοφόρε, σηπεδόνας,
εὐεξίαν εὐσεβείας λαοῖς
δι' ἐνθέων μεθόδων προεξένησας.

Ἐν ὕψει ὁ Χριστὸς
τῆς ἐκκλησίας σε
φωστῆρα
ἔπηξε τοῦ καταυγάζειν
ταύτην, Φλῶρε, τῶν δογμάτων φωτὶ
καὶ ἀκτῖσι θαυμάτων τῶν τοῦ πνεύματος.

θεοτ. Ἐλύθημεν δεσμῶν
τῆς κατακρίσεως
καὶ θείᾳ
συνήφθημεν δικαιώσει
οἱ γενόμενοι συμμέτοχοι
τοῦ υἱοῦ σου τῆς χάριτος, θεόνυμφε.

Κάθισμα.

Ἦχος α'. Πρός· *Χορὸς ἀγγελικὸς*

Τῷ βίῳ τῷ φαιδρῷ
....

---

39 εὐεξίας Cf 44 ἔπηξε] ἔδειξε Σe 45 φωτὶ] σου Cf
Κάθ. ed. in MR II, 540, sed cum heirm. *Τὸν τάφον σου, σωτήρ*; idem om. Σω Σe

f. 133 ᾠδὴ δ'. *Εἰσακήκοα, Κύριε, τὴν ἀκοήν*

Σεβασμίᾳ, ἀοίδιμε,
καὶ εὐπρεπεῖ
τῇ θέᾳ τοὺς ὁρῶντας
ἀπρεπεῖς κατέπληξας πολεμήτορας.

Καρτερίας τοῖς βέλεσι
τὰς τοῦ ἐχθροῦ
γενναίως παρατάξεις
ἔτρωσας καὶ ἔτρεψας, μάρτυς ἔνδοξε.

Τῶν θαυμάτων σε χάρισι,
μάρτυς, Χριστὸς
ἐκόσμησε καὶ πᾶσιν
ἰατρὸν παρέσχε τὸ ἀφθονώτατον.

Τῶν δακρύων κατέκλυσας
ῥείθροις, σοφέ,
ὑλώδεις προσπαθείας
καὶ ἀύλως, Φλῶρε, ἐν γῇ ἐβίωσας.

θεοτ. Ὡς ταμεῖόν σε ἔχοντες
τῶν ὑπὲρ νοῦν
χαρίτων, θεοτόκε,
τῶν θαυμάτων πλοῦτον ἐκ σοῦ λαμβάνομεν.

f. 133v ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Τὸν φωτοδότην Χριστὸν
ἐν τῇ νυκτὶ τῶν ἀλγεινῶν, ἔνδοξε,
ἔχων ἀεί,

---

heirm. δ' deest in EE; editum autem in MR I, 96 invenies heirm. 2 τὴν ἀκοήν σου Σω 54 εὐπρεπῆ Cf 55 τοῦ ὁρῶντος Cf 56 ἀπρεπὴς Cf εὐπρεπεῖς Σω πολεμήτορος Cf 59 γενναῖος Σω 61-64 trop. desideratur in Σω 61 σε] ταῖς Cf 67 ὑλώδους Σe 72 τῶν] τὸν Cf τῶν θ.] θ. τῶν Σe
heirm. ε' EE 38, n. 51, Cosmae

Σεβαστιανέ, σὲ
αὐγάζοντα φαιδρῶς
καὶ ἐνδυναμοῦντα
εὐτόνως διήθλησας.

Τὴν πολιτείαν τὴν σὴν
ἐφ' ὑψηλοῦ ἀναγαγών, ἔνδοξε,
ὅρους Χριστὸς
φανερόν σε πᾶσιν
ἐποίησε λαοῖς
καὶ διὰ θαυμάτων
τῇ κτίσει ἐκήρυξεν.

Τῷ τῶν δογμάτων φωτὶ
τὴν ἐκκλησίαν τοῦ Χριστοῦ ηὔγασας,
Φλῶρε σοφέ,
καὶ ἐσκοτισμένους
τοῖς πάθεσι βροτοὺς
ἀκτῖσι θαυμάτων
φαιδρύνας ἀνέρρωσας.

θεοτ. Ῥώμην ἡμᾶς κατ' ἐχθρῶν
καὶ προσβολῆς τῆς τῶν παθῶν, ἄχραντε,
ζῶσον ταῖς σαῖς
θείαις ἱκεσίαις·
τὸν μόνον δυνατὸν
σὺ γὰρ ὑπὲρ λόγον,
παρθένε, ἐκύησας.

f. 134 ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἐν πελάγει τῆς πλάνης, ἀοίδιμε,
τοὺς χειμαζομένους εἰς λιμένα εὔδιον
τῆς πίστεως καθώρμισας
τῇ σοφῇ κυβερνήσει τῶν λόγων σου.

---

79 διήθλησας om. Σε 82 Χριστῷ Σε 83 φανερῶν Σω Σε 91 βροτοῖς Σω 95 προσβολὰς Σω προσβολαῖς Σε
heirm. ϛ' EE 34, n. 46, Joannis 103 καθόρ (-ώρ- Σω Σε) μησας Cf Σω Σε

Εὐεξίαν ψυχῆς καὶ τοῦ σώματος,
Σεβαστιανέ, ἐξασκήσας ἀπείληφας
χάριν θεόθεν ἄφθονον
θεραπεύειν ψυχὰς καὶ τὰ σώματα.

Ἐκ νεότητος, Φλῶρε, δραξάμενος
ἀρραγοῦς ἐλπίδος καὶ θείας ἀγάπης Χριστοῦ
ἀσάλευτος διέμεινας
προσβολαῖς πειρασμῶν καταντλούμενος.

θεοτ. Γεγονότας συμμόρφους ἐν χάριτι
τοῦ ἐκ σοῦ σαρκὶ γεννηθέντος ἱκέτευε
καὶ κοινωνούς, πανάχραντε,
τῆς αὐτοῦ βασιλείας γενέσθαι ἡμᾶς.

Κάθισμα.

Ἦχος πλ. α'.

Πρός· *Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι*

Τῆς Τριάδος τῇ αἴγλῃ καταλαμπόμενος,
τὴν τῶν εἰδώλων σκοτίαν ὁ ἀθλοφόρος
τῇ ἐνεργείᾳ τῇ αὐτῆς καὶ θείᾳ χάριτι
δι' ἐπιγνώσεως φυγὼν
καὶ προσεγγίσας τῷ Χριστῷ,
φωστὴρ ἐδείχθη
ἐν κόσμῳ
ἀκαταπαύστως πρεσβεύων
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

---

105 τοῦ om. Cf 107 ἄφθορον Σω 109 δεξάμενος Σω 112 κατατλούμενος Σω
heirm. καθ. HR 230 Κάθ. tantum Cf profert

113-114 Rom. 8,29

f. 134v ᾠδὴ ζʹ. *Εἰκόνος χρυσῆς*

Ἐν πέτρᾳ στερρᾷ
τῆς ἀγάπης τοῦ Χριστοῦ ἑδραιωθέντα
αἱ προσβολαί σε οὐκ ἐσάλευσαν
τῶν ἀντιπάλων, ἀοίδιμε
Σεβαστιανέ, ἀλλ' εὐθαρσῶς
καὶ εὐσθενῶς ἀνεκραύγαζες·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Τοῖς ὅπλοις, σοφέ,
τῆς σοφίας τοῦ Χριστοῦ συμπεφραγμένος
τοῦ ψεύδους πᾶσαν τὴν παράταξιν
καὶ ἀντιπάλων σοφίσματα
ἔτρεψας, ἐνίκησας, μάρτυς,
καὶ εὐχαρίστως ἐκραύγαζες·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Εἰς βάθος, σοφέ,
διακύψας τῆς Γραφῆς ἐπανελέξω
τῶν νοημάτων πλοῦτον ἔνθεον,
ὃν τῇ σῇ ποίμνῃ διέδωκας,
Φλῶρε, διδαχαῖς ταῖς ἀφθόνοις·
ἣν κραυγάζειν ἐδίδαξας·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἰλύος παθῶν
ἐκκαθαίρουσα ἡμᾶς, θεογεννῆτορ,
ἐνθέοις ἔργοις κατακόσμησον
τῶν ἀρετῶν ταῖς πρεσβείαις σου,
ἵνα ἐν φαιδρότητι ψυχῆς

---

heirm. ζʹ EE 39, n. 53, Cosmae 121 εὐθάρσως Cf 123, 131, 139, 147 post εὐλογ(ητὸς) orat. varie detruncant cdd. 128 σοφίσματα] σεβάσματα Σω 131 εἶ om. Σe 138 ἣν] καὶ Σω 139 εἶ om. Σω 141 Ἡλύος Σω

ἀκαταπαύστως κραυγάζωμεν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

f. 153 ᾠδὴ ηʹ. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Τὸν θησαυρὸν τῶν ἀγαθῶν
καὶ δοτῆρα τῶν καλῶν ἔχων ταμίαν
παρ' αὐτοῦ τὰς ἀφθόνους
τῶν ἰαμάτων, σοφέ,
δωρεὰς ἐδέξω καὶ ἔψαλλες·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

Ἐν τῇ δυνάμει τοῦ σταυροῦ,
ἀθλοφόρε, κρατυνθεὶς κατὰ τῆς πλάνης,
πολεμήτωρ ἐδείχθης
ἀκαταμάχητος
κραυγάζων· « ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Οἱ τῶν ἱδρώτων σου κρουνοὶ
καὶ δακρύων ὀχετοὶ πηγὰς θαυμάτων
ἀνεστόμωσαν, πάτερ,
ἐξ ὧν ἀντλοῦντες πιστοὶ
ἀφθόνως ἰάματα ψάλλομεν·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ὁ διὰ σπλάγχνα οἰκτιρμῶν
ἐνδυσάμενος ἡμῶν ἐκ σοῦ τὴν φύσιν,
θεοτόκε παρθένε,

---

heirm. ηʹ EE 35, n. 47, Joannis 153 ἐδέξω om. Σω 154 σὲ] ὃν Σe post ὑπ(ερυψοῦμεν) cett. detruncant cdd. 157 κατὰ] καὶ τὰ Σe 160 post Κύριον orat. varie detruncant cdd. 165 ἀνεστόμωσας Cf 167 ἀ. ἴαμα λαμβάνομεν Σe 168 σὲ] καὶ Cf post ὑπ(ερυψοῦμεν) orat. abrumpitur

---

170-171 Col. 3,12

ταῖς ἱκεσίαις ταῖς σαῖς
καθαίρει, καινίζει ἐν χάριτι
τοὺς σὲ ἀνυμνοῦντας
μητέρα καὶ παρθένον.

f. 135v

ᾠδὴ ϑ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Τῆς ἀσεβείας τὴν φλόγα
ἐπομβρίαις τῶν λόγων
καὶ ῥείθροις τῶν αἱμάτων σου, σοφέ,
τῶν τῆς ἀθλήσεως ἔσβεσας
καὶ τὰ τῆς εὐσεβείας
ἐπότισας ἰάματα πιστοὺς
τὸν δεσπότην τῶν ὅλων
ἀπαύστως μεγαλύνοντας.

Τῇ φερωνύμῳ σου κλήσει
καταλλήλως τὴν χρῆσιν
συνῆψας, ἀθλοφόρε τοῦ Χριστοῦ,
καὶ ἀμφοτέρωθεν εἴληφας
τὸ σεβάσμιον κλέος
f. 136 || ἀεὶ ἀνευφημούμενος σεπτῶς,
Σεβαστιανὲ σοφέ,
ὡς ἀθλητὴς σεβάσμιος.

Ὡς ἱερεὺς παρρησίαν
καὶ διδάσκαλος ἔχων
καὶ θείων μυστηρίων λειτουργὸς
πρὸς τὸν δεσπότην καὶ Κύριον
ἐκδυσώπει ἀπαύστως

---

175 τοὺς] τὸν Σω 176 μητέραν Cf
heirm. ϑ' EE 34, n. 46, Joannis 180 τῶν] τὴν Σω 182 πιστοῖς Cf
184 μεγ(αλύνοντας) supplevi: μεγαλύνομεν Σe 186 χρίσιν Cf Σe 193-200 trop. om. Σe

αὐτὸν ὑπὲρ ἡμῶν, ὡς ἀγαθός,
τῶν πιστῶς σε τιμώντων,
Φλῶρε μακαριώτατε.

Θεοτ.

Ὑπερφυής σου ὁ τόκος
καὶ ἀπόρρητος ὥσπερ
ἐστί, θεοχαρίτωτε ἁγνή,
οὕτω καὶ ξένα καὶ ἄρρητα
ἐν ἡμῖν καθ' ἑκάστην
θαυμάσια τελεῖ ὡς ἀγαθὸς
τοῖς ἐκ πόθου σε ὕμνοις
ἀπαύστως μεγαλύνουσιν.

---

198 αὐτὸν om. Σω ὡς ἀγαθὸς] τὸν μόνον ἀγαθῶν Σω 199 τῶν] τὸν Σω 204 καὶ ξένα: καὶ om. Σe 208 μεγαλύνομεν Σω Σe

DOMINICA ANTE CHRISTI NATIVITATEM
IN PROGENITORES CHRISTI

Cfr. synaxarium canonis XXIX.

Crypt. Δ.α. XIV	= Cf, ff. 138^{v}-144
Vallic. gr. E 54	= Ea, ff. 55^{v}-57^{v}
Paris. gr. 13	= Q, ff. 172^{v}-173
Paris. gr. 928	= T, pp. 276-280
Vat. gr. 1531	= Vi, ff. 144-150
Sinait. gr. 583	= Σω, ff. 125-126^{v}

Ὁ κανὼν τῶν προπατόρων φέρων ἀκροστιχίδα·

Ὡσαννὰ Χριστὸς εὐλογημένος Θεός.

Ἦχος δ'.

ᾠδὴ α'.

Ὤφθησαν
αἱ πηγαὶ τῆς ἀβύσσου

Στόματος
ἐξ ἀνδρῶν θεηγόρων
καὶ προφητῶν ἱερῶν
τῶν σῶν συγγενῶν κατὰ σάρκα
κατηρτίσω, σῶτερ, πρόρρησιν
οἵαπερ αἶνον
σῆς ἐν σαρκὶ παρουσίας Ἀδάμ·

tit. Ἕτερος κανὼν τῶν προπατόρων... Cf Ἕτερος κανὼν προεόρτιος Ea Κανὼν ψαλλόμενος εἰς παννυχίαν τῶν ἁγίων πατέρων οὗ ἡ ἀκροστιχίς... Γαβριὴλ Q Ἕτερος κανὼν καθόμοιος τῇ κυ(ριακῇ) τῶν Βαΐων οὗ ἡ ἀκροστιχίς ..... T Οἱ κανόνες· ὁ προεόρτιος μετὰ τῶν εἱρμῶν εἰς η' καὶ τοῦ ἁγίου εἰς δ' Vi Ὁ κανὼν ψαλλόμενος τῇ κυριακῇ τῶν ἁγίων προπατόρων Σω acr. rubrica silet in Ea Vi

heirm. α' EE 100, n. 142, Cosmae; heirm. integrum praebent T Vi 5 καταρτήσω Ea σῶτερ] Χριστὲ T 7 ἐν σαρκὶ om. T σαρκὶ] σ. Χριστὲ Σω

διὰ ταύτης ἀναστῆσαι ἥκεις γὰρ
πεσόντα
ἐπινίκιον ὕμνον σοι μέλποντα.

Αἴνεσιν
ἐκκλησία πατέρων
τῷ γεννωμένῳ σαρκὶ
σοί, Χριστέ, προσφέρει· ἐν σοὶ δὲ
προφητῶν σεπτῶν ὁμήγυρις
χαίρει καὶ ὄρη·
ἔθνη ἀτίθασα βαβυλώνια
ἐκ προσώπου σου ἠγαλλιάσαντο
δῶρά σοι
προσκομίζοντα καὶ προσκυνοῦντα πιστῶς.

f. 139^{v} || ᾠδὴ γ'.
Νάουσαν ἀκρότομον προστάγματι σῷ

Νάουσαν ἀνέδειξας ζωῆς ὡς πηγὴν
σαρκικῶς τικτόμενος
τὸ σπήλαιον, λυτρωτά,
τὴν δὲ φάτνην θεοδόχον τράπεζαν,
ἐν ᾗ
τεθεὶς τῆς ἀλογίας ἀπελυτρώσω κράζοντας
γηγενεῖς·
« εὐλογημένος εἶ ὁ ἐρχόμενος ».

8 ἥκει Ea 10 μέλποντα] ᾄδοντα Q 13 τὸ γεννημένον Ea τῶν γεννωμένων Σω 16 ὄρει Ea 17 ἀντίθασσα Cf Ea Vi 18 ἀγαλλιάσονται T 19-20 ᾄδοντα ἐπινίκιον ὕμνον σοι, Κύριε T 20 πιστῶς] θερμῶς Q

heirm. γ' EE 100-101, n. 142, Cosmae; heirm. integrum continent Ea Q T Vi Σω; Ea Vi tamen heirm. γ' aegre similem proferunt: *Νάουσαν ἀκρότομον θηλάσας πέτραν / Ἰσραὴλ ἐδήλωσεν / ὕδωρ σὲ τὸ ἀλλόμενον· / ἡ γὰρ πέτρα σύ, Χριστέ, ὑπάρχεις καὶ ζωή,* (σοὶ Ea) / *ἐν ᾗ / ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα· / « λυτρωτά, εὐλογημένος εἶ ὁ σαρκούμενος ».* 21 Νάουσαν] Ναοῦς ὢν Ea ζωῆς ὡς πηγὴν] τῶν ἀγαθῶν ὡς π. Q πηγὴν σαρκικὴν T ζωῆς ἡ πηγὴ Vi 22 -κὸς -νον, Λόγε Ea τικτόμενος ἐν γῇ T τικτόμενος] τ. σῶτερ Q 23 ἐν σπηλαίῳ ὁ ἀχώρητος Ea 24-25 τὴν δὲ φάτνην τράπεζαν ἐδείχθη τοῖς πιστοῖς Ea 24 θεηδόχον Q Σω 25 ἐν ᾗ] τεθεὶς Cf καινὴν Q 26 τεθεὶς] ἐν ᾗ Cf Ea Q εὐλογίας Ea 28 post εἶ orat. detruncat Q ἐρχόμενος] τικτόμενος Ea Vi

Ἄσατε, χοροὶ ποιμένων, ἐν Βηθλεὲμ
καὶ εὐχὴν ἀπόδοτε Χριστῷ
ἐν οἴκῳ Εὐφραθᾶ·
ἰδοὺ ἔρχεται τεχθῆναι Κύριος
μητρὸς
ἐξ ἀπειράνδρου βροτῶν εἰς ἀναγέννησιν
τοῦ βοᾶν·
« εὐλογημένος εἶ ὁ ἐρχόμενος ».

f. 140v || ᾠδὴ δʹ.
Χριστὸς ὁ ἐρχόμενος
ἐμφανῶς Θεὸς ἡμῶν

Ῥανάτω εὐφροσύνην
οὐρανός, σκιρτάτω δὲ
πάντα πεδία δρυμοῦ
καὶ ὄρη
ἀγαλλέσθω, γῆ δὲ κροτείτω
τὰ νῶτα ὑφαπλοῦσα νῦν τικτομένῳ Χριστῷ
σὺν προφήταις βοῶσα·
« δόξα τῇ δυνάμει σου, Κύριε ».

Ἰδοὺ ἐν Εὐφραθᾶ νῦν
τὴν Χριστοῦ ἠκούσαμεν

29 ποιμένες Ea 30 ἀποδῶτε Ea 31 Εὐφρανθὰ Vi 34 ἐξ ἀπειράνδρου] παρθένου ἁγνῆς Vi βροτῶν] βροτῶν καὶ Ea 35 ὡσαννὰ Q 36 ἐρχόμενος] σαρκούμενος Ea

post oden γʹ Κάθισμα προεόρτιον praebet T: Ἦχος αʹ. *Τοῦ λίθου σφραγισθέντος* Λαμπρύνθητι ἡ κτίσις· / ὁ γὰρ κτίστης προέρχεται / τεχθῆναι ἐν σπηλαίῳ δι' ἔλεος ἄφατον· / ποιμένες ὑπαντήσατε σπουδῇ / ὀψόμενοι τὸ θαῦμα τὸ φρικτόν· / καταλάβετε οἱ μάγοι / δῶρα χερσὶ κατέχοντες καὶ λέγοντες· / « δόξα τῷ τικτομένῳ ἐπὶ γῆς· / δόξα τῷ ὁδηγοῦντι ἡμᾶς· / δόξα τοῦτον ὡς βασιλέα τοῦ παντὸς προσκυνῆσαι σαρκί ».

heirm. δʹ EE 101, n. 142, Cosmae; heirm. integer invenitur in Ea T Vi 37 Ῥανάτωσαν Vi 39 πάντας Ea τὰ πεδία T Vi παιδία Cf τοῦ δρυμοῦ T 40 καὶ om. Ea ὄρει Ea καὶ ξύλα Q ὄρη καὶ T 41 ἀγαλλιάσθω Ea T Vi γῆ δὲ] δὲ γῆ Vi 42 ἠφαπλῶσαι Ea τικτομένου Χριστοῦ Vi 44 post δ(όξα) orat. varie intermittunt cdd. δυνάμει] γεννήσει Ea 45 ἐν om. T εφραθᾶ Ea Εὐφρανθᾶ Vi

29-32 Mich. 5,1 38-39 Ps. 131,6 45-47 Cfr. supr. vv. 29-32

ἄφραστον γέννησιν,
ἐν πόλει
προφητῶν καὶ θείων πατέρων,
ἣν εὗρον ἐν πεδίοις ποιμένες τοῖς τοῦ δρυμοῦ,
μεθ' ὧν πίστει βοῶμεν·
« δόξα τῇ δυνάμει σου, Κύριε ».

Σπιθαμῇ ὁ μετρήσας
οὐρανὸν δρακὶ δὲ γῆν
νῦν ἐν σπηλαίῳ χωρεῖ
καὶ φάτνῃ
ἀνακλίνει νῦν ὡς παιδίον·
διὸ πλήθη πατέρων σὺν τοῖς προφήταις σκιρτᾷ
καὶ βοᾷ σοι τὰ πάντα·
« δόξα τῇ δυνάμει σου, Κύριε ».

f. 141 || ᾠδὴ εʹ.
Τὴν Σιὼν ἐπ' ὄρους ἀνάβηθι

Ὁ ἐν τοῖς ὑψίστοις καθήμενος
ἐπὶ τῶν Χερουβὶμ Θεὸς
καὶ ἐφορῶν ταπεινὰ

49 θείω Vi πατέρων] προφητῶν T 50 ἣν εὗρον] ἥκει γὰρ Q ποιμένες] ποιμάναι Ea τοῖς] τῆς Ea ταῖς T om. Cf 52 post δόξα orat. varie detruncatur δυνάμει] γεννήσει Ea 55 νῦν om. T ἐν] δὲ Ea νῦν ἐν] ἐν τῷ Vi Σω χοροὶ T χωρῇ Σω 57 ἀνακλίνει νῦν] ἀνακλίνεται Ea 58 πλήθει T πατέρων πλήθη Σω 59 v. desideratur in Cf βοᾷ σοι] βοῶσιν Ea βοῶσα Vi τὰ πάντα om. Vi 60 post δόξα orat. varie abrumpitur δυνάμει] γεννήσει Ea

heirm. εʹ EE 101, n. 142, Cosmae; heirm. integrum ponit Vi heirm. 1 Τῆς Σιὼν Cf; alium tamen heirm. odes εʹ praebent Ea Q T Σω, qui ineditus videtur: *Τῆς Σιὼν σκιρτάτω τὰ ἔκγονα / Χριστῷ νῦν συγγεννώμενα / καὶ τῇ Ἱερουσαλὴμ συγχαιρέτω / ἐκβοῶντα πρὸς τὴν Βηθλεέμ· / « δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ· / ἐκ σοῦ γὰρ ὁ ποιμαίνων λαὸν / Ἰσραὴλ ἐξελεύσεται »*. hunc heirm. ut primum trop. « Ὁ ἐν τοῖς ὑψίστοις καθήμενος » observat Vi 1 Τὴν Σ. Ea Vi ἔγγονα Ea 2 νῦν om. T συγγενόμενα Ea Vi συγγινόμενα T 3 τῇ] τὴν Ea ἡ Vi τῇ Ἱερ.] τῷ Ἰσραὴλ T συγχαιρέτω om. Ea 4 ἐκβοῶντα] ἐκβοάτω Ea πρὸς τὴν] σὺν τῇ Vi vv. 6-7 εἰρήνη et orat. abrumpit 6 λαὸν] λ. γὰρ T 63 ἐφὄρων Ea

53-54 Is. 40,12

ἰδοὺ ἔρχεται ὡς βρέφος βροτοῖς ὀφθῆναι
καὶ προχορεύουσι
πατέρων
προφητῶν ποιμένων τε χοροὶ
καὶ πᾶς προεορτάζει πιστὸς
τοῦ Χριστοῦ τὰ γενέθλια.

Σιών, ὄρος μέγα τὸ ἅγιον,
καὶ Ἱερουσαλήμ, ἆρον
τοὺς ὀφθαλμοὺς καὶ ἴδε
μετὰ δώρων βασιλεῖς Ἀράβων καὶ Σαβᾶ·
ἰδοὺ γὰρ ἥκασι
μακρόθεν
προσκυνῆσαι τῷ βασιλεῖ σου
τεχθέντι καὶ φανέντι σαρκὶ
εἰς ἐθνῶν ἀποκάλυψιν.

f. 141v ‖ ᾠδὴ ϛ'.
Ἐβόησαν
ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα

Ὑπόδεξαι,
Βηθλεέμ, τὸν σωτῆρα σαρκούμενον
ἐν σπηλαίῳ
καὶ ἐν φάτνῃ ὡς βρέφος χωρούμενον·
Εὐφραθᾶ, εὐφραίνου,
τοῦ τῶν πάντων δεσπότου ἀνάκτορον.

Λελυμένους
ἀλογίας λαοὺς ἐξαπέστειλε
τοὺς ἐν φάτνῃ

64 ὡς βρέφος βροτοῖς ὀφθῆναι] τεχθῆναι ἐν τῷ σπηλαίῳ Ea   65-67 ὁ ποιμαίνων ὁ χορὸς ἀγάλλου μυστικῶς Ea   67 οἱ χοροὶ T   68 πιστὸς Q: πιστῶς cett. cdd.   72 ὀφθαλμούς σου Ea T   73 Σάβα Cf   78 ἐν τῷ σπηλαίῳ Ea

heirm. ϛ' EE 101, n. 142, Cosmae; heirm. integrum proferunt Ea Q T Vi Σω   83 Εὐφρανθᾶ Cf Vi Σω   84 τὸν τῶν πάντων δεσπότην δεχόμενον Vi   τοῦ] τὸ Q   τοῦ τῶν] τούτου Ea   86 ἐξαπόστειλον Cf   -στείλῃ Q

70-78 Ps. 71,10-11

γνόντας τοῦτον αὐτοὺς ὡς κτισάμενος
τοῦ Πατρὸς ὁ Λόγος,
ἐκ φυλῆς Ἀβραὰμ σὰρξ γενόμενος.

f. 142v ‖ ᾠδὴ ζ'.
Ὁ διασώσας ἐν πυρὶ

Γονυπετήσαντες Χριστῷ
σπεύδουσιν ὡς βρέφει κειμένῳ
ἀνατολῶν οἱ βασιλεῖς
μετὰ δώρων ἀστέρι ἑπόμενοι·
μεθ' ὧν δράμωμεν μέλποντες·
« ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ ».

Ἡ ἀπειρόκακος πληθὺς
ἔτι νηπιάζουσα φύσις
φονοκτονεῖται μὲν χερσὶ
μιαιφόνοις Ἡρώδου διώκοντος
σὲ Θεὸν τὸν ἀνάλωτον·
ἀλλ' ἐν σοὶ νῦν ζῇ τῷ ζῶντι εἰς τοὺς αἰῶνας.

Μετὰ ποιμένων ἱερεῖς
καὶ σὺν τοῖς πατράσι προφῆται
προκαταγγέλλουσι τὴν σὴν
ἐν σαρκὶ παρουσίαν καὶ μέλπουσι
προσκιρτῶντες ἐν πνεύματι·
« ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ ».

88 γνόντας τοῦτον] ἐπιγνόντας Ea   αὐτοὺς] αὐτὸν T   ὡς] τὸν Vi   κτισάμενον Cf   κτησάμενον Q T Σω   90 γενάμενος Ea

Post oden ϛ' Κοντάκιον « Ἡ Βηθλεὲμ εὐφραίνεται καὶ Γαλιλαία γήθεται », TRM II, ρις', praebet T; Vi autem κοντ. praebet « Ἡ παρθένος σήμερον τὸν προαιώνιον Λόγον », MR II, 556 et οἶκ. « Ἱεραὶ προφητῶν ῥήσεις », MR II, 557

heirm. ζ' EE 101, n. 142, Cosmae; heirm. integrum servant T Vi   92 ὡς om. Vi   βρέφει Σω: βρέφος cett. cdd.   κειμένῳ ὡς βρέφος T   κειμένον Ea   96 post τῶν orat. varie abrumpunt cdd.   98 φύσεις Ea   100 μιεφόνου Ea   102 νῦν ζῇ τῷ ζῶντι] ζωὴ τῶν ζώντων Ea   ζῇ τῷ ζωοδότῃ T   104 προφήταις Ea   106 παρουσία Ea   107 ὑπερύμνητε Κύριε Ea Vi   108 post Θεὸς orat. varie detruncant cdd.

91-94 Matth. 2,11   97-100 Matth. 2,16

f. 143 ‖ ᾠδὴ η΄.
Εὐφράνθητι, Ἱερουσαλήμ,

Νέον βρέφος ἐσπαργανωμένον
μέλλει τίθεσθαι
ἀλόγων φάτνῃ Χριστός·
τὴν γὰρ ἀλόγιστον
εἰδώλων πλάνην
λῦσαι καὶ τὴν ἀκάθεκτον ὁρμὴν
ἀναστεῖλαι
πάντων ἐθνῶν παραγέγονεν
εἰς τὸ μέλπειν·
« εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον ».

Ὁ Θεός σου, χαῖρε, Σιών, σφόδρα
παραγίνεται
ἐν πόλει τῇ Βηθλεὲμ
οὕτως ὡς γέγραπται
παιδίον νέον,
Λόγος Πατρὸς, ἀλόγων ἐν φάτνῃ
τεθειμένος
ἵππειον θράσος ὀλέσαι ἐχθροῦ·
ᾧ βοῶμεν·
« εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον ».

---

heirm. η΄ EE 101, n. 142, Cosmae; heirm. integrum praebent Ea Q Vi heirm. 1 Ἱερουσαλὴμ] πόλις Βηθλεὲμ Ea Q T Vi Σω 109-118 trop. valde differt in Ea; quamobrem integrum huc proferimus: Νέον βρέφος τίκτεται Θεὸς / ἐσπαργάνον· / μέλλει γὰρ τίθεσθαι / ἀλόγων φάτνῃ δὲ / ἐν τῷ σπηλαίῳ· / Κύριος τῶν δυνάμεων ἦλθεν / ἐκ παρθένου σαρκοφόρον παραγέγονεν· ὁ βοῶμεν / « εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου » (sic). 110 τίθεσθαι Σω: τίκτεσθαι cett. cdd. 117 post μέλπειν cd. T profert πάντα et orat. detruncat 118 post εὐλογ(εῖτε) orat. varie abrumpunt cdd.; Vi autem εὐλ. πάντα praebet 120 παρεγένετο Ea 121 ἐν πόλειν Vi τῇ om. Ea Vi 122 οὗτος T 124 Λόγου Ea 125 τεθημένους Ea τιθέμενος Vi 126 οἵπιον Ea 127 μὴ βοώντων Ea ὦ βοᾶτε T μὴ βοῶντος Vi ἐκβοώντων Σω 128 post εὐλ(ογεῖτε) orat. varie detruncant cdd.; Ea autem εὐλ. πάντα instituit

---

119-122 Cfr. sup. vv. 29-32 123 Is. 9,5

Σπανίζεται θείας διαθήκης
ἡ παράνομος
Ἑβραίων συναγωγὴ
ἐν Βηθλεέμ· καὶ γὰρ
Χριστοῦ τεχθέντος,
πάλαι καθὼς Μιχαίας προεῖπεν,
ὡς ᾔσθετο,
συνεταράχθη Ἡρώδῃ δεινῷ
καὶ μανέντι
συνεμάνη βρεφῶν εἰς ἀναίρεσιν.

f. 143ᵛ ‖ ᾠδὴ θ΄.
Θεὸς Κύριος
καὶ ἐπέφανεν ἡμῖν

Ἐθνῶν ἄρχοντες
ἐξιστῶσι γραμματεῖς
καὶ ἱερεῖς τοὺς κενὰ
ἐκμελετήσαντας,
« ποῦ ἐστιν, εἰπόντες, ὁ τεχθεὶς
παμβασιλεύς, ὃν ἐν δώροις
τιμῆσαι ἥκομεν;
εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου σωτῆρος ἡμῶν ».

f. 144 ‖ Οὗτος ὁ Θεός,
ᾧ παρόμοιος οὐδείς,
ὁ ἐν χερσὶ προφητῶν

---

129 διαθήκης] δίκης Cf 132 ἐμβηθλεὲμ Cf γὰρ] γῆ Ea 133 τεθέντος Σω 134 προεῖπε Μιχαίας Ea 135 ἴστετο Ea 136 Ἡρώδης Ea T Vi δεινοῖς Ea δεινῶς T δεινὸς Vi 138 συνεμάθη Σω κατὰ βρεφῶν Ea
heirm. θ΄ EE 101, n. 142, Cosmae; heirm. integrum praebent Ea Q T Vi Σω 139 ἄρχοντες] ἅπαντες Ea 140 ἐξιστῶσι] σὺν αὐτῷ οἱ Ea 141 τοὺς] τί T τοῦ Vi 142 ἐμελετήσαντες Ea ἐμελετήσατε T ἐκμελετήσαντες Σω 143 ἐστιν] γὰρ Ea 144 βασιλεὺς Ea ὢν Vi τιμή Ea ἥκωμεν Ea Vi εἴκομεν Q vv. 146-147 tantum Cf profert, cett. cdd. post εὐλογημένος orat. varie detruncant 149 ὁ Ea Vi

---

132-135 Cfr. sup. vv. 29-32 139-145 Matth. 2,1-5

ὁμοιωθεὶς τῷ πρὶν
καὶ ἐν τοῖς πατράσι λαλήσας
νῦν δὲ ποιμέσι καὶ μάγοις
βροτοῖς τε πᾶσιν ὀφθείς,
« εὐλογημένος, ᾧ κραυγάζομεν,
ὁ ἐρχόμενος τοῦ σῶσαι τὸν κόσμον φθορᾶς ».

Σκάνδαλα τρίβου
τί ἐχόμενα τιθείς,
Ἡρώδη, πόδας ὀξεῖς
τοὺς σοὺς ποιεῖς Χριστοῦ
αἷμα διεκχέαι δεσπότου;
ἀλλὰ βρεφῶν φονεὺς ὤφθης
διὰ κενῆς ἀνομῶν·
ζῇ γὰρ καὶ σώζει τοὺς δοξάζοντας
τὴν αὐτοῦ μετὰ σαρκὸς ἐπιφάνειαν.

Σήμερον καλεῖ
πατριάρχας Ἀβραάμ,
τοὺς δὲ προφήτας Δαβίδ,
τοὺς ἱερεῖς Λευΐ
ἅμα τῷ Μωσεῖ καὶ Ἀαρὼν
εἰς προεόρτιον αἶνον,
μεθ' ὧν βοῶμεν πιστῶς·
« εὐλογημένος ὁ ἐρχόμενος
ἐκ παρθένου καὶ βραβεύων τῷ κόσμῳ χαράν ».

---

151 τῷ] ὄντως Ea τὸ cett. cdd. 153 καὶ om. Σω 154 τε] δὲ Ea Hic T propter homoioteleuton sede mutat versus qui ad sequens troparium (vv. 163-165), sed non sine variantibus, pertinent: διὰ κενῆς ἀνομῶν [ᾧ ἦρε ζητεῖς τοῦ ἀπολέσαι·] ζῇ γὰρ καὶ σώζει τοὺς δοξάζοντας / τὴν αὐτοῦ μετὰ σαρκὸς ἐπιφάνειαν. 155 ᾧ κραυγάζομεν] ὁ ἐρχόμενος Ea Q 156 ἐν ὀνόματι Κυρίου σωτῆρος Ea eundem v. om. Q τοῦ om. Vi 157-165 trop. om. Ea 159 Ἡρώδης Vi 161 δὲ ἐκχέαι Vi δεσπότου] τεχθέντος Q Vi Σω 162 ὀφθεὶς Vi 165 τὴν om. Vi 166-174 trop. om. T Vi 169 ἱερεῖς] ἱ. δὲ Ea 170 Ἀαρὼν Cf 171 εἰς] ὡς Ea v. 174 abrumpit Q

157-163 Cfr. sup. vv. 97-100

DOMINICA ANTE CHRISTI NATIVITATEM IN PROGENITORES CHRISTI

Cfr. synaxarium canonis XXIX.

Sinait. gr. 578 = Σc, ff. 30-32v
Mess. gr. 139 = Ma, ff. 105v-108

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι Θεῷ*

* Τῷ ἀναστάντι ἐκ νεκρῶν
καὶ Ἀδὰμ τὸν πεσόντα
ἀναστήσαντι
αὐτῷ μόνῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Τῶν προπατόρων οἱ πιστοὶ
ἑορτὴν ἐκτελοῦντες
ἀνυμνήσωμεν
Θεὸν τὸν οἰκτίρμονα
τὸν τούτους δικαιώσαντα.

f. 30v ‖ Τὴν συγκατάβασιν, Χριστέ,
τοῦ ἀγγέλου οἱ παῖδες

---

tit. Κανὼν ψάλλεται τῇ κυριακῇ τῶν ἁγίων προπατόρων Σc Ὁ κανὼν ... Ma heirm. α' EE 202, n. 287 Germani; heirm. integer exstat in cdd. 1-5 trop. ed. in NS 28 (1933), 335 1 τῶν ἀναστάντα Σc 3 συναναστήσαντι Ma 5 ὅτι δεδόξασται Σc 10 δικαιώσαντα] δοξάσαντα Ma 11 Χριστὲ] φρικτὴν Ma

---

11-15 Dan. 3,49-50

κατοπτρισάμενοι
προθύμως τῷ πνεύματι
τὴν φλόγα κατεπάτησαν.

Δοκιμασθέντες ἐν πυρὶ
ὡς χρυσὸς ἐν καμίνῳ,
μεγαλώνυμοι
οἱ τρεῖς, ἐτυπώσατε
Τριάδα τὴν ἄκτιστον.

Αἰχμαλωσίᾳ αἰσθητῇ,
θεοδίδακτοι παῖδες,
ἀπαχθέντες ποτὲ
Θεῷ τὰς ψυχὰς ἡμῶν
ἀνεθήκατε, ἅγιοι.

Τὸ τρισυπόστατον τῆς σῆς
μοναρχίας, οἰκτίρμον,
προτυπώσαντες
οἱ παῖδες τὴν κάμινον
εἰς δρόσον μετεποίησαν.

τριαδ. Τὸν Πατέρα καὶ Υἱὸν
καὶ τὸ ἅγιον Πνεῦμα
προσκυνήσωμεν,
τὴν μίαν θεότητα
ἐν τρισὶν ὑποστάσεσιν.

θεοτ. Τῶν θλιβομένων ἡ χαρὰ
καὶ τροφὴ τῶν πενήτων
καὶ ὀρφανῶν ἡ ἐλπίς,
παρθένε πανύμνητε,
ἱκέτευε σωθῆναι ἡμᾶς.

---

13 καθοπτρησάμενοι Ma   16-40 trop. caret Ma   36-40 aliud θεοτ. profert Ma, quod vide infra in canon. XXXIV (2)

21-25 Dan. 1,3 sqq.   29-30 Cfr. sup. vv. 11-15

ᾠδὴ β΄. *Πρόσεχε,*
οὐρανέ· φθέγξομαι γὰρ

Ἐφώτισας
τοὺς ἐν σκότει, οἰκτίρμον,
τῇ ἀναστάσει σου
καὶ μυροφόρους χαροποιήσας
τὸ τῆς Εὔας λυπηρὸν ἐξηφάνισας.

Ἐδρόσισας
δι᾽ ἀγγέλου τοὺς παῖδας
ἐν τῇ καμίνῳ, Χριστέ,
καὶ τῷ προφήτῃ τροφὴν παρέσχες
ἐν τῷ λάκκῳ τῶν λεόντων ὑπάρχοντι.

Δεικνύων σου
τῆς οὐσίας, οἰκτίρμον,
τὸ τρισυπόστατον
ἐν Βαβυλῶνι τοὺς τρεῖς σου παῖδας
ἐν καμίνῳ διεφύλαξας, εὔσπλαγχνε.

Δίκαιος
ὁ τῶν ὅλων δεσπότης,
ὁ δι᾽ ἀγγέλου ποτὲ
ἐν Βαβυλῶνι διαφυλάξας
τοὺς τρεῖς παῖδας ἐκ φλογὸς τῆς καμίνου, Χριστέ.

Ἐπίνοιαν
δυσσεβῆ τῶν τυράννων
ἀποσεισάμενοι
καὶ τῇ εἰκόνι μὴ προσκυνοῦντες
οἱ τρεῖς παῖδες τῆς φλογὸς κατεφρόνησαν.

---

heirm. β΄ ΕΕ 204, n. 290, Andreae   41-45 trop. caret Ma   44 μυροφόροις Σc   50 τῶν] τὸν Σc   51-55 trop. om. Ma   58 ποτὲ] αὐτοῦ Ma

---

44 Matth. 28,9   46-48 Cfr. sup. vv. 11-15   49-50 Dan. Bel. 34-39   58-60 Cfr. sup. vv. 11-15   61-65 Dan. 3,16-19

Πρεσβεύσατε
τῷ σωτῆρι τῶν ὅλων,
παῖδες πανεύφημοι,
ἐκ τῶν κινδύνων ἐλευθερῶσαι
τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν μνήμην ὑμῶν.

θεοτ. * Πεπλήρωνται
ἐπὶ σοί, παναγία,
τῶν προφητῶν αἱ φωναί·
ἐκ σοῦ γὰρ Λόγος πατρὸς ἀνάρχου
ἐπ' ἐσχάτων ἐν σαρκὶ ἐπεδήμησεν.

ᾠδὴ γ'. *Στερέωμά μου γενοῦ*
(Οἱ ὀρθρίζοντες, Λόγε,)

Ὁ τοῦ ᾅδου τὰς πύλας
ἐγέρσει σου συντρίψας
καὶ δεσμῶν τοῦ θανάτου
ἡμᾶς ἐλευθερώσας,
σωτήρ, ὡς δυνατὸς
σῶσον τὰς ψυχὰς ἡμῶν.

f. 31 || Ἀβραὰμ πατριάρχης
φιλόξενος ὑπάρχων
ὑπεδέξατο πάλαι
Τριάδα τὴν ἁγίαν,
δι' ἧς ἐν πολιᾷ
καὶ υἱὸν ἐγέννησεν.

Τοὺς σοφοὺς Βαβυλῶνος
δυνάμει τῶν δογμάτων

66-70 trop. om. Ma   71-75 θεοτ. AHG I, 369   74 γὰρ om. AHG
75 ἐν σαρκὶ] σαρκωθεὶς AHG
heirm. γ' Στερέωμα EE 203, n. 288, Germani; heirm. integrum in marg. profert Σc; eundem ut προσόμοιον heirm. Οἱ ὀρθρίζοντες, Λόγε, EE 204, n. 289, Germani, integrum profert Ma   82 Ἀβραὰμ ὁ π. Ma

---

82-87 Gen. 18,1-15

οἱ αἰχμάλωτοι παῖδες
κατήσχυναν ἀνδρείως,
σωτῆρα δὲ Χριστὸν
ὕμνουν καὶ ἐδόξαζον.

Τὴν βασίλειον δόξαν
τῆς πίστεως ποθοῦντες
ἐν γυμνώσει σωμάτων
οἱ ἅγιοί σου παῖδες
ἐδέξαντο στολὴν
ἀφθαρσίας, Κύριε.

Ὁ τὴν φλόγα εἰς δρόσον,
σωτήρ, μεταποιήσας
καὶ τοὺς παῖδας ἀφλέκτως
ἐν ταύτῃ συντηρήσας
καὶ νῦν ὡς δυνατὸς
σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἑρμηνέα ὀνείρων
ἀδήλων τοῖς ἀνθρώποις
Δανιὴλ ὁ τῶν ὅλων
Θεὸς ἀποκαλύψας
τὴν ἔνσαρκον αὐτοῦ
ἔλευσιν ἐμήνυσεν.

θεοτ. * Παναγία παρθένε,
ἡ κεχαριτωμένη,
ἡ τεκοῦσα ἐν χρόνῳ
τὸν Λόγον ὑπὲρ λόγον,
δυσώπησον αὐτὸν
σῶσαι τὰς ψυχὰς ἡμῶν.

100-111 trop. om. Ma   112-117 θεοτ. MR III, 88; cfr. etiam infra canon. XLIV, vv. 28-33 et 58-63; aliud θεοτ. prodit in Ma, quod vide infra in canon. XXXIV (2)

106-111 Dan. 4,18 sqq.

ᾠδὴ δ΄. *Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην*

Τρισυπόστατον μίαν θεότητα ἀνυμνοῦντες
τῆς καμίνου κατεφρόνησαν
οἱ τρεῖς παῖδες οἱ ἔνδοξοι.

Ὑπερκόσμιον θεογνωσίαν δόξαν λαβόντες
τὴν τῆς πλάνης ματαιότητα
οἱ τρεῖς παῖδες ἐπάτησαν.

Εἱρμὸς ἄλλος. *Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ Θεός,*

Ἀνέστης ἐκ τῶν νεκρῶν, Χριστὲ ὁ Θεός,
καὶ τὸ κράτος τοῦ θανάτου
καὶ τὰ δεσμὰ διαρρήξας
τὸν κόσμον ὅλον ἔσωσας.

Ὡς θρέμματα λογικὰ θυσία Θεῷ
τῷ πυρὶ τῆς εὐσεβείας
ὑπὲρ Χριστοῦ ἐναθλοῦντες
οἱ παῖδες προσηνέχθησαν.

Τὸν ὄντως ὄντα Θεὸν σεβόμενοι
καὶ προόντα τῶν αἰώνων
ὑμεῖς, μακάριοι παῖδες,
τὸ πῦρ οὐκ ἐπτοήθητε.

θεοτ. * Ἐκύησας ἐν σαρκί, παρθένε ἁγνή,
τὸν πρὸ σοῦ ἄναρχον Λόγον
καὶ μετὰ σὲ ὑπὲρ λόγον
ἐκ σοῦ ἐνανθρωπήσαντα.

---

heirm. δ′ EE 203, n. 287, Germani; heirm. integrum invenimus in Σc, om. Ma 118-123 trop. desiderantur in Ma

heirm. δ′ ἄλλος EE 203, n. 288, Germani; heirm. integrum servant cdd. 124 Χριστέ, ὁ Θεὸς] τριήμερος Ma 127 τὸν κόσμον ὅλον] Χριστέ, τὸν κόσμον Ma 134 ὑμεῖς] ᾧ ὑμεῖς Ma 136-139 θεοτ. AHG III, 177 137 ἄναρχον] ἀνάρχου Σc 138 σὲ] σοῦ Ma 139 ἐκ σοῦ] Θεὸν AHG

ᾠδὴ ε΄. *Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός,*

Χριστοῦ ἑορτάζοντες τὴν ἔγερσιν
ἀναλάβωμεν
χαρμονὴν πνευματικὴν
αὐτῷ συμφώνως ἅπαντες
τὸν ὕμνον ἀναπέμποντες.

Προφήτης ὑπάρχων ὁ σοφὸς Δανιὴλ
λεόντων ποιμὴν
ὡς προβάτων ἐδείχθη
τοῖς πᾶσιν ὁ θεόσοφος
δυνάμει τοῦ προόντος Θεοῦ.

f. 31v || Ἡ δρόσος τοῦ πνεύματός σου, Κύριε,
ψυχῆς ἴαμα
ἐν καμίνῳ τοῦ πυρὸς
τοῖς σοῖς παισὶν ἐγένετο
ἐλπίδι τῆς ἀφράστου ζωῆς.

Τῷ πνεύματι ζέοντες οἱ ἅγιοι
ἐν μέσῳ φλογὸς
καιομένης καμίνου
ἑστῶτες μᾶλλον ἔψαλλον·
« εὐλογητὸς εἶ, Κύριε ».

Τριάδα ὑμεῖς προετυπώσατε,
οἱ παῖδες Χριστοῦ,
ὁμοφρόνως ἑστῶτες
καὶ τὴν βροντῶσαν κάμινον
εἰς δρόσον μετεβάλετε.

---

heirm. ε′ EE 203, n. 287, Germani; heirm. integrum obferunt cdd. nonnullis verbis discrepantibus 144 ἀναπέμποντες] ἀναμέλψ tantum legitur in Ma 145-149 trop. desideratur in M 151 ψυχῶν Ma 154 ἀφράστου] ἀφθάρτου Ma 164 μετεβάλλετε Σc μετεποίησαν Ma

---

145-149 Dan. 6,19 155-159 Dan. 3,51

Τρεῖς παῖδες οἱ ἅγιοι σὺν τῷ Δανιήλ,
μετὰ Ἀβραάμ,
Ἰσαὰκ καὶ Ἰακώβ,
πρεσβεύσατε πρὸς Κύριον
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

τριαδ. Τὸ φῶς ὁ Πατὴρ γνωρίζεται
καὶ φῶς ὁ Υἱὸς
συνυμνεῖται μετ' αὐτοῦ
καὶ φῶς Πνεῦμα τὸ ἅγιον
δοξάζεται ὡς σύνθρονον.

θεοτ. * Παρθένε, μὴ παύσῃ ἱκετεύουσα
Θεὸν τὸν ἐκ σοῦ
σαρκωθέντα δι' ἡμᾶς
λυτρώσασθαι τοὺς δούλους σου
ἐκ πάσης περιστάσεως.

ᾠδὴ ϛ'. *Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾅδου ἐβόα*

* Ἐκ τῶν νεκρῶν ἀναστάς, ἐλεῆμον,
συνήγειρας
γένος τὸ τῶν ἀνθρώπων,
ζωὴν καὶ ἀφθαρσίαν
δωρησάμενος ἡμῖν ὡς φιλάνθρωπος.

Ὁ Δανιὴλ καθυπέταξε θῆρας,
οἱ παῖδες δὲ
κατεπάτησαν φλόγα
πυρὶ θεογνωσίας
τὰς αἰσθήσεις νοητῶς φωτιζόμενοι.

165-174 trop. caret Ma 175-179 θεοτ. AHG III, 178; idem cfr. infra in canon. XXXIV (2), vv. 146-150, in nonnullis verbis differens 177 γεννηθέντα ἐν σαρκὶ AHG

heirm. ϛ' EE 204, n. 289, Germani; heirm. integer in marg. exaratus Σc 180-184 trop. ed. in NS 28 (1933), 337 v. 182 γένος τὸ ἀνθρώπινον Ma

Ἐβόησαν Δανιὴλ καὶ οἱ παῖδες
ὑπάρχοντες
ἐν καμίνῳ καὶ λάκκῳ·
« ὁ ὢν εἰς τοὺς αἰῶνας,
ἐκ θηρῶν καὶ τοῦ πυρὸς ἐξελοῦ ἡμᾶς ».

Συνώδευσε τοῖς παισὶν ἐν καμίνῳ
ὁ ἄγγελος
τοῦ Θεοῦ τοῦ ὑψίστου,
τὴν φλόγα καταπαύσας
καὶ Χαλδαίους ἐν αὐτῇ καταφλέξας φρικτῶς.

θεοτ. * Ὃν ἔτεκες, θεοτόκε, ἀνερμηνεύτως
Θεὸν ἡμῶν
δυσωποῦσα μὴ παύσῃ
ῥυσθῆναι ἐκ κινδύνων
τοὺς ὑμνοῦντάς σε, ἁγνὴ ἀειπάρθενε.

ᾠδὴ ζ'. *Κάμινον καιομένην*

Ἀνέστης ἐκ τοῦ μνήματος
τριήμερος ἐν δόξῃ,
πάντας δὲ ἀνέστησας
ἐν πίστει σοι κραυγάζοντας·
« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ἐρρύσω ὁ Θεὸς ἡμῶν
τοὺς παῖδας ἐκ καμίνου
καὶ τὸν προφήτην ἔσωσας

---

190 Ἐβόησεν Σc 194 ἐξελοῦ] ἐξοῦ Ma 195-199 pro hoc trop. τριαδ. ostendit Ma, quod vide infra in canon. XXXIV (2) 195 παῖσιν Σc 200-204 θεοτ. MR III, 89; cfr. etiam infra canon. XLIV, vv. 78-84 204 ἁγνὴ] ἀεὶ Ma

heirm. ζ' EE 204, n. 289, Germani; heirm. integrum proferunt cdd. nonnullis verbis discrepantibus 207 καὶ κόσμον κατεφώτισας Ma 209 post εὐλογητὸς orat. detruncant cdd. 212 ἐν καμίνῳ Ma

---

190-194 Dan. 3,43 195-199 Dan. 3,48-50

ἐκ στόματος λεόντων
βοῶντας πίστει· « εὐλογητὸς εἶ
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Παράδοξα εἰργάσατο
θαυμάσια ὁ κτίστης·
f. 32 τοῦ πυρὸς τὴν ‖ οὐσίαν
μετέβαλεν εἰς δρόσον
κραζόντων παίδων· « εὐλογητὸς εἶ
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Τῶν Χερουβὶμ ἡνίοχε
καὶ κτίστα τῶν ἁπάντων,
ὁ τοὺς παῖδας τοῦ πυρὸς
καιομένου δροσίσας
« εὐλογητὸς εἶ » βοῶντας πίστει
« ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

τριαδ. Τριὰς ἀδιαίρετε,
τὸν ὕμνον σοι τῶν παίδων
προσφέρομεν δεόμενοι,
ἵνα ῥύσῃ οὓς ἔπλασας
κολάσεως ἀτελευτήτου
καὶ φλογὸς τοῦ ἀσβέστου πυρός.

θεοτ. Περίσωζε τὴν πόλιν σου,
πανάχραντε παρθένε,
ἐκ πάσης περιστάσεως
ὡς μόνη προστασία
τοῦ γένους ἡμῶν, εὐλογημένη
θεοτόκε, πανύμνητε.

---

214 ἐν πίστει σοι κραυγάζοντας Ma   post v. 214 εὐλογητὸς εἰς τοὺς (αἰῶνας) praebet Ma orat. abrumpens   218 θαυμαστὰ Ma   220 μετέβαλλεν Ma   v. 221 κραυγαζόντων τῶν παίδων εὐλογητὸς εἰς τοὺς αἰῶνας Ma   post εὐ(λογητὸς) orat. detruncat Σc   225 τοὺς παῖδας] τὴν φλόγα Ma   226 καιομένην Ma   227 εὐλογητὸς εἰς τοὺς (αἰῶνας) praebet Ma orat. abrumpens   228 post πατέρων orat. detruncat Σc   229-234 τριαδ. desideratur in Ma   235 τὴν πόλιν σου] τοὺς δούλους σου Ma

ᾠδὴ η′. *Τὸν μόνον ἄναρχον*
βασιλέα τῆς δόξης

Τὸν ἐκ τοῦ μνήματος
ἀναστάντα ἐν δόξῃ
καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ καθημένους
φωτίσαντα
τῇ αὐτοῦ ἀναστάσει
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Κοινὴν τελέσωμεν
ἱερὰν εὐωχίαν
τῶν προπατόρων εὐφημοῦντες τὴν μνήμην·
εὐφραίνει γὰρ
τοὺς ἐν πίστει βοῶντας·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἀνευφημήσωμεν
τοὺς πρὸ νόμου πατέρας
τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ
ἐκλάμψαντας,
μετὰ παίδων βοῶντες·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

---

heirm. η′ EE 204, n. 289, Germani; heirm. integer in marg. exaratus in Σc   241-256 trop. caret Ma   247 post ὑπ(ερυψοῦτε) orat. intermittit Σc   254 post ἱερεῖς orat. detruncat Σc   259 τὸν om. Ma   Ἀραὰμ Σc   260 τοὺς πίστει ἐκλάμψαντας Ma   262 post ἱερεῖς orat. varie detruncant cdd.

243-244 Is. 9,1; Luc. 1,78-79.

Σβέσον τὴν κάμινον
τῆς ἡμῶν ἁμαρτίας
ἐν τῷ πελάγει τῆς ἐν σοὶ εὐσπλαγχνίας,
σωτὴρ ἡμῶν·
ὡς οἱ παῖδες βοῶμεν·
« ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

* Τὸν πλαστουργήσαντα
τὸν Ἀδὰμ κατ' εἰκόνα
καὶ ἐκ φυράματος αὐτοῦ προελθόντα
καὶ λύσαντα
τὴν ἀρχαίαν κατάραν
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἄχραντον μητέρα καὶ παρθένον*

Σὲ τὸν εὔσπλαγχνον καὶ μόνον ζωοδότην,
τὸν ἐκ νεκρῶν τριήμερον
ἀναστάντα ὡς Θεὸν ἡμῶν
ἐκτενῶς οἱ πιστοὶ
ὕμνοις μεγαλύνομεν.

Σὲ τὸν σβέσαντα τὴν φλόγα τῶν Χαλδαίων
καὶ τοὺς ὁσίους σου παῖδας
διασώσαντα Θεὸν ἡμῶν
ἐκ καμίνου πυρὸς
ὕμνοις μεγαλύνομεν.

265-272 trop. om. Ma 270 post ἱερεῖς orat. abrumpit Σc 273-280 hoc trop. ut θεοτ. perperam referunt Σc et TR 400 275 αὐτὸν Ma 276-277 καὶ σώσαντα / τῶν ἀνθρώπων τὸ γένος Ma 278 post ὑμνεῖτε orat. detruncant cdd.
heirm. θ' EE 204, n. 289, Germani; heirm. integrum nonnullis verbis discrepantibus praebet Ma 281-285 trop. om. Ma 289 ἐκ] ἐν Ma

276-277 Gal. 3,13

Σὲ τὸν ὄντα καὶ προόντα βασιλέα
ἐν Βαβυλῶνι τὸ πάλαι
ὡμολόγησαν οἱ παῖδές σου
καὶ στεφάνοις αὐτοὺς
δόξης κατεκόσμησας.

Σὲ ἐκήρυξαν οἱ παῖδες παρρησίᾳ
τὸν ὑψηλὸν βασιλέα
καὶ κατῄσχυναν τὸ φρόνημα
βασιλέως θνητοῦ
πίστει θαυμαζόμενοι.

f. 32v ‖ Σὲ οἱ παῖδες ἐν καμίνῳ ὡμολόγουν
Θεὸν ὁμοῦ καὶ εὔσπλαγχνον
τὸν δυνάμενον λυτρώσασθαι
ἐκ καμίνου πυρός·
ὅθεν καὶ ἐρρύσω αὐτούς.

τριαδ. Σὲ τὸν ἄναρχον Πατέρα καὶ δεσπότην
καὶ τὸν συνάναρχον Λόγον
καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον
ἐκτενῶς οἱ πιστοὶ
ὕμνοις μεγαλύνομεν.

θεοτ. * Σὲ τὴν ἔνδοξον καὶ μόνην θεοτόκον,
τὴν τὸν σωτῆρα τοῦ κόσμου
συλλαβοῦσαν, ὡς ηὐδόκησε,
καὶ τεκοῦσαν σαρκὶ
ὕμνοις μεγαλύνομεν.

294 στεφάνους Ma 295 κατεκόσμησας] κατελάμπρυνας Ma 301-315 trop. desunt in Ma 311-315 θεοτ. TR 401 312-313 τὴν τὸν ἀχώρητον Λόγον / ἐν γαστρὶ χωρήσασαν TR 313 συλλαβοῦσα Σc

DOMINICA ANTE CHRISTI NATIVITATEM
IN PROGENITORES CHRISTI

Mess. gr. 139 = Ma, ff. 105v-108

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι Θεῷ*

1-5 Τῷ ἀναστάντι ἐκ νεκρῶν
.... = Σc 1-5

Τῷ ἐμφανίσαντι Χριστῷ
γυναιξὶ μυροφόροις
μετὰ τὴν ἔγερσιν
αὐτῷ μόνῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

f. 106 11-15 || Τῶν προπατόρων οἱ πιστοὶ
.... = Σc 5-10

16-20 Τὴν συγκατάβασιν φρικτὴν
.... = Σc 11-15

θεοτ. * Ἡ διὰ λόγου ἐν σαρκὶ
ὑπὲρ λόγον τεκοῦσα
τὸν ἀρχηγὸν τῆς ζωῆς
ἀπαύστως ἱκέτευε
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

---

heirm. α' ΕΕ 202, n. 287, Germani 7 μυρόροις cd. 9 post ᾄσωμεν orat. abrumpit cd. 21-25 θεοτ. NS 28 (1933), 335; AHG III, 176 24 ἀπαύστως] παρθένε AHG 25 σωθῆναι τὰς ψυχὰς ἡμῶν AHG

6-8 Matth. 28,9-10

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ· φθέγξομαι γὰρ

Δόξα σοι,
βασιλεῦ τῶν αἰώνων,
μόνε φιλάνθρωπε,
ὁ τῇ ἐγέρσει σου τοῦ ἀπ' αἰῶνος
διαλύσας τοῦ θανάτου μεσότοιχον.

Φύλαξον
τοὺς εἰς σὲ τὴν ἐλπίδα
ἀναθεμένους, Χριστέ,
ὁ τριημέρῳ θανάτῳ λύσας
τοῦ θανάτου τὴν ἰσχύν, παντοδύναμε.

36-40 Ἐδρόσισας
.... = Σc 46-50

41-45 Δίκαιος
.... = Σc 56-60

46-50 Ἐπίνοιαν
.... = Σc 61-65

θεοτ. 51-55 Πεπλήρωνται
.... = Σc 71-75

ᾠδὴ γ'. Πρός· *Στερέωμά μου γενοῦ*
(Οἱ ὀρθρίζοντες, Λόγε,)

56-61 Ὁ τοῦ ᾅδου τὰς πύλας
.... = Σc 76-81

---

heirm. β' ΕΕ 204, n. 290, Andreae
heirm. γ' ΕΕ 204, n. 289, Germani, cf. p. 430

---

30 Eph. 2,14

Ὁ ἀναστὰς ἐκ τοῦ τάφου
τριήμερος ἐν δόξῃ
καὶ ζωὴν ἀνατείλας
τῷ γένει τῶν ἀνθρώπων
εἰρήνευσον λαὸν
πίστει ἀνυμνοῦντά σε.

f. 106v 68-73 || Ἀβραὰμ ὁ πατριάρχης
.... = Σc 82-87

74-79 Τοὺς σοφοὺς Βαβυλῶνος
.... = Σc 88-93

80-85 Τὴν βασίλειον δόξαν
.... = Σc 94-99

θεοτ. Συνευφραίνεται πᾶσιν
ὁ μέγας Ἡσαΐας
προτυπῶν ἐν γαστρί σου
συλλήψει, θεοτόκε,
Χριστὸν τὸν ἐκ φθορᾶς
σώσαντα τὰ σύμπαντα.

ᾠδὴ δ'. *Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ Θεός,*

92-95 Ἀνέστης ἐκ τῶν νεκρῶν τριήμερος
.... = Σc 124-127

Ἐδείχθη φίλος Θεοῦ ποτε Ἀβραάμ,
τὴν ἡμέραν θεωρήσας
τῆς παναγίας Τριάδος,
ἐν ᾗ ἠγαλλιάσατο.

---

68 ὁ om. Σc
heirm. δ' ΕΕ 203, n. 288, Germani; heirm. integrum praebent cdd.
92 τριήμερος] Χριστέ, ὁ Θεὸς Σc

86-91 Is. 7,14   96-99 Gen. 18,1-15

100-103 Ὡς θρέμματα λογικὰ θυσία Θεῷ
.... = Σc 128-131

104-107 Τὸν ὄντως ὄντα Θεὸν σεβόμενοι
.... = Σc 132-135

θεοτ. 108-111 Ἐκύησας ἐν σαρκί, παρθένε ἁγνή,
.... = Σc 136-139

ᾠδὴ ε'. *Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός,*

112-116 Χριστοῦ ἑορτάζοντες τὴν ἔγερσιν
.... = Σc 140-144

117-121 Ἡ δρόσος τοῦ πνεύματός σου, Κύριε,
.... = Σc 150-154

f. 107 122-126 || Τῷ πνεύματι ζέοντες οἱ ἅγιοι
.... = Σc 155-159

τριαδ. 127-131 Τριάδα ὑμεῖς προετυπώσατε
.... = Σc 160-164

θεοτ. Μὴ παύσῃ, παρθένε, ἱκετεύουσα
Θεὸν τὸν ἐκ σοῦ
γεννηθέντα ἐν σαρκὶ
λυτρώσασθαι τὴν ποίμνην σου
ἐκ πάσης περιστάσεως.

ᾠδὴ ς'. *Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾅδου ἐβόα*

137-141 Ἐκ τῶν νεκρῶν ἀναστάς, ἐλεῆμον,
.... = Σc 180-184

---

heirm. ε' ΕΕ 203, n. 287, Germani; heirm. integrum proferunt cdd.
132-136 θεοτ. cfr. supra in canon. XXXIV (1), vv. 175-179
heirm. ς' ΕΕ 204, n. 289, Germani

142-146 Ὁ Δανιὴλ καθυπέταξε θῆρας
.... = Σc 185-189

147-151 Ἐβόησαν Δανιὴλ καὶ οἱ παῖδες
.... = Σc 190-194

τριαδ. Ἀθάνατος ἡ Τριὰς ἡ ἁγία,
ὁμόθρονος
ἐν θεότητι μιᾷ
καὶ ἴσῃ ἐξουσίᾳ
ὁμοούσιος ἀεὶ διαμένουσα.

θεοτ. 157-161 Ὃν ἔτεκες, θεοτόκε, ἀνερμηνεύτως
.... = Σc 200-204

Κοντάκιον. Τοῦ ταπεινοῦ Ῥωμανοῦ.

Ἦχος πλ. β'.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες
....

Ὁ οἶκος.

Τάχυνον, ὁ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων
....

ᾠδὴ ζ'. *Κάμινον καιομένην*

162-167 Ἀνέστης ἐκ τοῦ μνήματος
.... = Σc 205-210

Κονδ. MR II, 456; TRM II, ριγ'; οἶκ. PAS I, 186
heirm. ζ' EE 204, n. 289, Germani

---

142 Dan. 6,19 147 Dan. 3,42-43

168-173 Τῶν Χερουβὶμ ἡνίοχε
.... = Σc 223-228

174-179 Παράδοξα εἰργάσατο
.... = Σc 217-222

180-185 Ἐρρύσω ὁ Θεὸς ἡμῶν
.... = Σc 211-216

θεοτ. 186-191 Περίσωζε τοὺς δούλους σου,
.... = Σc 235-240

ᾠδὴ η'. *Τὸν μόνον ἄναρχον*
βασιλέα τῆς δόξης

192-199 Ἀνευφημήσωμεν
.... = Σc 257-264

Τὸν καταργήσαντα
τῶν εἰδώλων τὴν πλάνην
καὶ κατασβέσαντα τῶν Χαλδαίων τὴν φλόγα
καὶ σώσαντα
τοὺς περὶ Ἀζαρίαν
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

f. 108 ‖ Τὸν κατασβέσαντα
ἐν καμίνῳ τὴν φλόγα
τῇ τοῦ ἀγγέλου ἐν αὐτῇ παρουσίᾳ
καὶ φλέξαντα

---

186 τοὺς δούλους] τὴν πόλιν Σc
heirm. η' EE 204, n. 289, Germani 205 post ὑμνεῖτε orat. detruncat cd.

209-211 Dan. 3,49 212 Dan. 3,23

τῶν ἀνόμων τὰ πλήθη
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

216-223 Τὸν πλαστουργήσαντα
.... = Σc 273-280

ᾠδὴ θ'. *Σὲ τὴν ἄχραντον μητέρα καὶ παρθένον τὴν τὸν ἀχώρητον Θεὸν*

Σὲ δοξάζομεν, Χριστέ, τὸν σταυρωθέντα
καὶ ἐκ νεκρῶν ἀναστάντα
καὶ σκυλεύσαντα τὸν θάνατον
καὶ ζωὴν τοῖς θνητοῖς
πᾶσι χαρισάμενον.

Σὲ τὸν σώσαντα τὸ γένος τῶν ἀνθρώπων
τῇ ἐκ νεκρῶν σου ἐγέρσει
καὶ τὸν θάνατον νεκρώσαντα
— — ⏑́ — — ⏑́
ὕμνοις μεγαλύνομεν.

234-238 Σὲ τὸν ὄντα καὶ προόντα βασιλέα
.... = Σc 291-295

239-243 Σὲ τὸν σβέσαντα τὴν φλόγα τῶν Χαλδαίων
.... = Σc 286-290

244-248 Σὲ ἐκήρυξαν οἱ παῖδες παρρησίᾳ
.... = Σc 296-300

---

214 post λαὸς orat. detruncat cd.
heirm. θ' EE 204, n. 289, Germani 232 v. desideratur

---

244 Dan. 3,16-19

19 DEC. *CANON* XXXV

IN SANCTUM ATHENODORUM

Synaxarium, 285: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀ θ η ν ο δ ώ ρ ο υ. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ Μεσοποταμίας τῆς Συρίας ὁρμώμενος, μονήρη βίον ἀρχῆθεν ἀναλαβών. Διαβληθεὶς δὲ παρέστη Ἐλευσίῳ τῷ ἄρχοντι καὶ τὸν Χριστὸν ὁμολογήσας, τείνεται μέσον δύο στύλων καὶ λαμπάσι καταφλέγεται κατὰ πάντων τῶν τοῦ σώματος μερῶν· καὶ βώλοις σιδηροῖς πυρωθεῖσι τὰς μασχάλας αὐτοῦ διακαίεται καὶ τοῖς μυκτῆρσιν ὀγκίνους εἰσδέχεται καὶ ἐν χαλκῷ τάπητι πυρωθέντι ἁπλοῦται, ὃν παραδόξως ἐκ θέρμης μετέβαλεν εἰς ψυχρότητα· καὶ αὖθις ἐν χαλκῷ πυρωθέντι ταύρῳ βάλλεται καὶ ἐκ πολλῶν ἑτέρων βασάνων δι' ἐπιστασίας ἀγγέλων λυτροῦται· ὅθεν καὶ ἐπισπᾶται πρὸς τὴν πίστιν ἄνδρας πεντήκοντα καὶ αὖθις τριάκοντα. Ἐπεὶ δὲ τὴν διὰ ξίφους ἀπόφασιν ἐδέξατο, ὁ μέλλων τοῦτον τέμνειν παρείθη καὶ ὡσεὶ νεκρὸς κατέπεσε, τῆς χειρὸς αὐτοῦ σὺν τῷ ξίφει ἀπὸ τοῦ ὤμου πεσούσης· καὶ μηδαμῶς αὐτῷ ἑτέρου προσεγγίσαι τολμήσαντος, αὐτὸς ὁ ἅγιος εὐξάμενος τὸ πνεῦμα παρέδωκε.

Crypt. Δ.α. XIV = Cf, ff. 152-161v
Sinait. gr. 583 = Σω, ff. 143v-146
Crypt. Δ.α. IV = Ce, ff. 133v-136
Crypt. Δ.α. XXIV = Cy, ff. 58-60
Paris. Suppl. gr. 32 = Sa, ff. 124v-125
Paris. Suppl. gr. 33 = S, ff. 130-131
Sinait. gr. 578 = Σc, ff. 35v-37v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἀθηνοδώρου τοὺς καλοὺς πλέκω κρότους· Ἰωσήφ.

Ἦχος πλ. α΄.

ᾠδὴ α΄. *Ἵππον καὶ ἀναβάτην*

Ἄθλοις ὡραιοτάτοις
καὶ στίγμασιν ἱεροῖς,
Ἀθηνόδωρε μάρτυς,
ὁλολαμπὴς γενόμενος
φωτὶ νῦν παρίστασαι
τῷ μεγάλῳ
πίστει σε τοὺς ὑμνοῦντας
φωτίζων χάριτι.

Θάλασσαν ἀθεΐας
αἱμάτων ἐπιρροαῖς
ἀπεξήρανας, μάρτυς,
καὶ θείαις ἐπομβρήσεσι
θαυμάτων ἑκάστοτε
παθημάτων
καύσωνα ἀποπαύεις
τῶν πίστει προσιόντων σοι.

Ἤνθησας ἐν λειμῶνι
ἀσκήσεως ἐκλεκτὸν
ὥσπερ ῥόδον, παμμάκαρ,
καὶ ὡς τερπνὴ κυπάρισσος

---

tit. Κανὼν ἕτερος τοῦ ἁγίου Ἀθηνοδώρου φέρων..... et in marg. Ἰωσὴφ Cf Ὁ κανὼν φέρων ἀκρ(οστιχίδα) (Cy) τήνδε..... Σω S Τῇ ἑσπέρᾳ κανὼν τοῦ ἁγίου ἀθηνοδώρου φέρων ..... Ἰωσὴφ Ce Ὁ κανὼν τοῦ ἁγίου Ἀθηνοδώρου οὗ ἡ ἀκροστιχὶς..... et in marg. Ἰωσὴφ Sa Κανὼν εἰς τὸν ἅγιον Ἀθηνόδωρον Σc

heirm. α΄ EE 131, n. 182, Joannis 1 ἱερωτάτοις Cy 3 τοῦ σεπτοῦ μαρτυρίου Cy 12 θεῖαι Cy 15 ἀποπαύεις καύσωνα et supra lin. manu posteriore in καύσωνα ἀποπαύεις corr. in Σω καταπαύεις Cy παύεις Sa S Σc 16 τῶν πίστει] πίστει τῶν S πίστει] πιστῶς Sa πίστει om. Σω Ce Cy σοι] σου Σω 17 ἐλιμῶνι Σω 18 ἐκλεκτῶν S Σc 20 τερπνὸς S κυπάρισσος] παράδεισος Cy

ὑψώθης τοῖς ἄθλοις σου
τοῖς μεγίστοις
ἅπαντας εὐωδίας
πληρῶν τῇ χάριτι.

θεοτ. Νέκρωσιν ἁμαρτίας
ἐπενδυσάμενοι
ἀφθαρσίας ἐκδύσει
προσγενομένην βρώσει ποτέ,
στολὴν θεοΰφαντον
σῇ γεννήσει,
ἄχραντε θεοτόκε,
ἐνεδυσάμεθα.

f. 153v ᾠδὴ β΄. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ σάρκα

Ὅπλοις φραξάμενος
πίστεως, μάρτυς, ἀνδρικῶς
πρὸς πάλην
ἐξελήλυθας κραυγάζων παρρησίᾳ·
« ἐμφανὴς ἐγενόμην
τοῖς ἐμὲ μὴ ζητοῦσιν,
ὅπως ἀθλήσας τύχω τῆς ὄντως ζωῆς ».

Δῆμος οὐράνιος
σὲ κατεπλάγη καθορῶν
ἀθλοῦντα
μετὰ σώματος ἐν γῇ καὶ ἀσωμάτους
καταράσσοντα ἐχθρούς

---

24 τῇ] ἐν Σω Cy Sa S Σc 25-32 aliud θεοτ. profert Sa, quod ineditum videtur: Νέον ἀποτεκοῦσα / τὸν παλαιὸν ἡμερῶν, / θεοτόκε παρθένε, / ὑπερφυῶς, πανάμωμε, / καὶ σώζεις ἐκ θλίψεως / καὶ κινδύνων / ἅπαντας τοὺς ἐν πίστει / σὲ μακαρίζοντας. 26 ἐπεκδυσάμενοι Σω 27 ἐνδύσει Σω 28 προσγενομένη Cy S Σc προσγενομένης Σω

heirm. β΄ EE 137, n. 192, Andreae 33-60 ode β΄ desideratur in Ce Cy Sa S 39 ὄντως] αἰωνίου Cf 41 καθορῶν] θεωρῶν Σω 44 καὶ ταράσσοντα Σc

---

37-38 Is. 65,1; Rom. 10,20

καὶ τὸν αἴτιον, μάρτυς,
ἐδοξολόγησε τῆς σῆς νίκης Χριστόν.

῞Ωσπερ τις ἄσαρκος,
μάρτυς, ἐδείκνυσο, σοφέ,
εὐτόνως
φλεγομένης τῆς σαρκὸς καθυποφέρων
καὶ βοῶν νεανικῶς·
« διὰ πόθον τὸν θεῖον
μικρά μοι ταῦτα εἰ καὶ ἐπίπονα ».

θεοτ. Ῥύμην ἀνέστειλας,
κόρη, θανάτου ἀληθῶς
τεκοῦσα
f. 154 || τὸν ἀθάνατον Θεὸν καὶ βασιλέα
παρεχόμενον ἡμῖν
τοῖς αὐτὸν ἐκζητοῦσιν
ἀθανασίαν καὶ ἀπολύτρωσιν.

ᾠδὴ γ'. *Ὁ πήξας*
ἐπ' οὐδενὸς τὴν γῆν τῇ προστάξει σου

Ὁ δείξας
ὁλοφαῆ ἀστέρα τὸν μάρτυρα
εὐσεβείας ἄθλοις περιαστράπτοντα,
f. 154v τούτου παρακλή||σεσι, Χριστέ,
ἀπέλασον τὰ νέφη
τῶν καρδιῶν ἡμῶν, δεόμεθα,
τῶν εἰλικρινῶς ἀνυμνούντων σε.

Ὑπῆρχες
πεπυρωμένος οἷάπερ σίδηρος
τῷ ἐνθέῳ πόθῳ, μάρτυς ἀήττητε·
ὅθεν τῷ πυρὶ προσομιλῶν
οὐδόλως κατεφλέχθης,

46 σῆς om. Σω 47-53 trop. om. Σc
heirm. γ' EE 131, n. 182, Joannis 64 τοῦτο Sa τοῦτον S 67 ἀνυμνούντων] δοξαζόντων Σω 68-74 trop. om. Σc 68 Ὑπῆρξας Sa 69 πεπυρωμένης S 70 πόθῳ om. Cy

ἀλλ' ὥσπερ ἄσαρκος ὑπέμεινας
θείᾳ δροσιζόμενος χάριτι.

Ταθέντα
καὶ θεωρίᾳ θείᾳ νευρούμενον
ὁ πικρὸς διώκτης σὲ κατῃκίζετο
στρέβλας τοῖς μυκτῆρσιν ἐμβαλὼν
καὶ σὲ κινῶν πλειόνως
τῶν πυριπνόων ἐπαισθάνεσθαι,
μάρτυς, παθημάτων τοῦ κτίστου σου.

θεοτ. Ὁ νώτοις
χερουβικοῖς Θεὸς ἐποχούμενος
ὡς ἐν θρόνῳ κόλποις τοῖς σοῖς καθέζεται
βρέφος καθορώμενος, ἁγνή,
καὶ τρέφεται ὁ τρέφων
πᾶσαν τὴν κτίσιν θείῳ νεύματι,
ἄχραντε παρθένε πανύμνητε.

Κάθισμα.

f. 155 Ἦχος πλ. α'. Πρός· *Τὸν συνάναρχον Λόγον*

Τῆς ἀσκήσεως δρόσῳ
τὸ πῦρ κατέσβεσας
τῶν παθῶν, θεοφόρε,
καὶ τῆς ἀθλήσεως
τῇ φλογὶ ὡς ἀληθῶς

73 διέμεινας Cy 75-81 trop. om. Cy 75 Τὰ θέντα S 76 θείω S νευρούμενος S 77 κατηκίζετο Ce: καταικίζετο Cf Sa κατοι- Σω S κατε- Σc 78 στρέβλας] στρέβλοις Sa ἐνβαλῶν Σc 79 πειόνως Ce 80 πυροπνόων Ce μυριπνόων Σω Sa S Σc ἐπένέσθεσθαι S 81 κτίστου σου] κτίσαντος Ce 85 ἁγνὴ] Θεὸς S 87 κτῆσιν Cy S
heirm. καθ. HR 230; Κάθ. ante canon. cum sticheris praebent Σω Cy; Sa, autem, eius in loco hoc profert: Ἦχος α'. *Τὸν τάφον σου, σωτὴρ* Ἀσκήσει λαμπρυνθεὶς / μαρτυρίου ἀκτῖνας / ἐξέλαμψας, σοφὲ / Ἀθηνόδωρε μάρτυς· / διὸ καὶ ἀπέλαβες / διπλοῦν στέφανον ἄνωθεν· / ὅθεν σήμερον / ἀνευφημοῦμέν σε πίστει / ἑορτάζοντες / τὴν ἱεράν σου καὶ θείαν, / παμμάκαρ, πανήγυριν. Idem ante canon. cum sticheris proferunt S Σc
Κάθ. 5 ὡς ἀληθῶς] παναληθῶς Σω

ὡς ὕλην ἔφλεξας
τὴν ἀθεΐαν, ἀθλητά,
καὶ νικηφόρος γεγονὼς
διπλοῦν ἐδέξω τὸ στέφος
πρεσβεύων πάντας σωθῆναι
τοὺς σὲ τιμῶντας, Ἀθηνόδωρε.

f. 155v ᾠδὴ δ'. *Τὴν θείαν ἐννοήσας σου κένωσιν*

Ὑπάρχοντι φρουρᾷ, παμμακάριστε,
τράπεζαν πλήρης ἀγαθῶν
Θεὸς ἐκπέμπει ἐκτρέφων σε
καὶ δυνατόν σε δεικνύει
τῆς πλάνης τὸ ἀνίσχυρον τρέποντα.

Συνώθησαν δεινῷ χαλκουργήματι
ἐκπυρωθέντι δολερῶς
καὶ κατηκόντισαν ψάλλοντα
σέ, γενναιόφρον, ἐν τούτῳ·
ἀλλ' εὗρες θείαν δρόσον φρουροῦσάν σε.

Κατήργησας ἐχθροῦ μηχανήματα
ἀνδρειοτάτῳ λογισμῷ
καὶ τὸν ἀμέτρως καυχώμενον
ποσὶ συνέτριψας, μάρτυς,
λαμπροῖς ὡραιωθεῖσι παθήμασιν.

---

6 ὡς om. Cy   7 τῆς ἀθεΐας Cy   11 τοὺς ἀνυμνοῦντάς σε Cy   ὦ ante Ἀθηνόδωρε sup. lin. in Σω scriptum est
heirm. δ' EE 131, n. 182, Joannis   89 Ὑπάρχοντι] Ὑπάρχων τῇ Cf Cy Sa Ὑπάρχων ται S   90 τράπεζαν πλήρης pro τ. πλήρη; cfr. infra cd. Athen. 2108 et sup. p. 23, v. 274; cfr. etiam infra p. 739, vv. 130-131   πλήρεις Cf Ce   91 Θεὸς ἐκπέμπει σοι τρέφων σε Ce   ἐκπένπει Σc   92 δυνατῶν Σc   δεικνύων Cy Sa S Σc   93 τρέποντι S   95 δολερὸς S   96 ψάλλων Cy   97 τοῦτο Cf S Σc   101 ἀμετρῶς Σc   καυχώμενον] λογισμὸν Cy   103 λαμπρῶς Sa S   ὡραϊσθεῖσι Ce

---

89-98 Cd. Atheniensis 2108 (= Gr), f. 92: ... ἀνοίξαντες τὸ χαλκούργημα εὗρον τὸν ἅγιον ψαλτήριον κατέχοντα καὶ ψάλλοντα, τράπεζαν δὲ προκειμένην ἔμπροσθεν αὐτοῦ πλήρης ἀγαθῶν...

θεοτ. Ἁγνείας διαλάμπουσαν χάριτι
σὲ εὑρηκὼς ὁ πλαστουργὸς
ἐκ σοῦ, παρθένε, ἀνέτειλε
τοῖς ἐν σκιᾷ τοῦ θανάτου
καὶ σκότει τῶν δεινῶν κινδυνεύουσιν.

f. 156r ᾠδὴ ε'. *Ὁ ἀναβαλλόμενος*

Λάρνακι προσέλθωμεν
βρυούσῃ θαύματα
Ἀθηνοδώρου
τοῦ ἀθλοφόρου
καὶ ψυχῶν παθήματα
ἀποκαθαιρούσῃ
τοῦ πνεύματος τῇ χάριτι.

Ὅλος ἀνακείμενος
τῷ παντοκράτορι
τοὺς ἐκριζῶσαι
τοὺς σοὺς ὀδόντας
σπεύδοντας, μακάριε,
θείᾳ δυναστείᾳ
ἀπράκτους ἐναπέδειξας.

Ὕμνεις τὸν σωτῆρά σου
τροχοῖς τεινόμενος

---

104 διαλάμπουσα Ce Sa S   χάρισι Σω Ce S   108 κινδυνεύουσαν S
heirm. ε' EE 131, n. 182, Joannis   110 βρύουσι Cy Sa   βρυούσι Σω βρύουση S   115 τῇ τοῦ πνεύματος χάριτι Cy   τῇ om. Ce   116 Ὅλως Σc 117 τῷ παντεπόπτῃ Θεῷ Ce   118 τοῦ Cy Sa   123 Ὕμνοις S   σωτῆραν S

116-122 Gr, f. 92: ... καὶ ἐξελθόντος αὐτοῦ τοῦ χαλκουργήματος θέλοντες τοὺς ὀδόντας αὐτοῦ ἐκριζῶσαι οὐκ ἴσχυσαν οἱ ἀσεβεῖς· τὸ δὲ αἷμα αὐτοῦ τὸ στῆθος αὐτοῦ ἐπλήρωσεν·
123-129 Gr, f. 92: ... ἐκκαύσας πάλιν κάμινον καὶ τροχοὺς δύο στήσας ἐμβάλλει τὸν ἅγιον· ἄγγελοι δὲ K(υρίο)υ φανερῶς ὀφθέντες κατέκλασαν τοὺς τροχοὺς καὶ τὸ πῦρ ἔσβεσαν· καὶ ἐξῆλθεν σῶος ὁ ἅγιος·

106-108 Is. 9,1; Luc. 1,78-79

καὶ μέλη πάντα
γενναιοφρόνως,
μάρτυς, συντριβόμενος
καὶ τῆς θείας δόξης
ἐνθέως ἀξιούμενος.

θεοτ. Σάρκα περικείμενον
τὸν ἀναλλοίωτον
ἐν δύο τίκτεις,
ἁγνή, οὐσίαις
καὶ δύο θελήσεσιν
ὡς Θεόν, παρθένε,
καὶ ἄνθρωπον ὑπάρχοντα.

f. 157 ᾠδὴ ϛ'. *Μαινομένην κλύδωνι*

Πειρασμοῖς ἀνάλωτος
καὶ βασάνοις,
μάρτυς, ἀκλινὴς
ἀνεδείχθης βάλλων τοὺς διώκοντας
καὶ πρὸς Θεοῦ
νίκης στεφάνοις κοσμούμενος.

Λαμπρυνθεὶς ἀσκήσεως
ἀγλαΐαις
ἤχθης ἱερῶς
μαρτυρίου ὕψος πρὸς ἀκήρατον
θεοειδὴς
θείᾳ μεθέξει γενόμενος.

Εὐπλοήσας, ὅσιε,
κυβερνήσει

128 τῇ θείᾳ δόξῃ Cy 132, 134 δύο: sic pro δυσὶ vel δυοῖν cf. v. 157 134 θελήμασιν Σω Sa S Σc
heirm. ϛ' EE 131, n. 182, Joannis 139 ἀκλη Cy ἀκλινεῖς S 140 βαλλον S 141 Θεὸν Ce Cy Sa S 142 κοσμούμενος] στεφόμενος Cy Σc 143-148 trop. deest in Σc 145 ἤρθης εὐκλεῶς Σω Cy Sa ἤρθης εὐκλεὴς S ἱερῶς] ἱερῷ Cf 146 ἀκήρατον] οὐράνιον Ce 148 γενόμενος] θεούμενος Σω 149 Εὐπλοΐας Cy Sa ὅσιε] ἔνδοξε Σω S Σc

θείᾳ ἀληθῶς
f. 157v γαλη‖νὸν πρὸς ὅρμον κατεσκήνωσας
μαρτυρικαῖς
ἐναπαστράπτων φαιδρότησιν.

θεοτ. Καὶ Θεὸν καὶ ἄνθρωπον
ἐν οὐσίαις
τέτοκας δυσὶ
τὸν ἡμῶν τὴν φύσιν ἀπαλλάξαντα
προγονικῆς,
παρθενομῆτορ, ἐκπτώσεως.

f. 158v ᾠδὴ ζ'. *Ὁ ὑπερυψούμενος*

Ὤφθης ἀπερίτρεπτος
κρημνοῖς προσριπτόμενος,
μάρτυς Ἀθηνόδωρε,
τῷ σὲ δυναμώσαντι
κραυγάζων εὐχαρίστως·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

Κάμινον παφλάζουσαν
εἰς δρόσον μετέβαλες
τῇ δρόσῳ τοῦ πνεύματος,
σοφὲ Ἀθηνόδωρε,
ᾧ ψάλλων ἀνεβόας·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

153 μαρτυρικῶς Σω 154 ἐναποστράπτων Σω 158 τὸν] τοῦ Cf S τῶν Σω τὴν Cy ἀπαλλάξαντα] -ντος Cf
Post oden ϛ' Κονδ(άκιον) et οἶκ(ον) profert Cy in S. Bonifatium dicata; quae vide in MR II, 548
heirm. ζ' EE 131, n. 182, Joannis 161 ἀπαράτρεπτος Cy 162 προσριπτούμενος Cf Ce Σω Sa 166, 172, 178, 184 post εὐλογητὸς orat. varie detruncant cdd. 167 παμφλάζουσαν Cf Σω Cy S Σc 168 μετέβαλεν Σω Cy Sa S Σc 169 τῇ δρόσῳ] ἡ χάρις Σω Cy Sa S Σc

161-166 Gr, f. 92: . . . κρημνίζουσιν αὐτὸν ἐπὶ πέτρας ἀφ' ὕψους ἐπὶ πήχεις ρν'.

Ῥώννυσί σε Κύριος
βάρει πιεζόμενον
καὶ κατατεινόμενον
τροχοῖς, Ἀθηνόδωρε,
καὶ μέλποντα προθύμως·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

θεοτ. Ὁ ἀπεριόριστος
κατὰ τὴν θεότητα
σαρκὶ περιγράφεται
ἐκ σοῦ προερχόμενος,
παρθένε, ᾧ βοῶμεν·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

f. 159v ᾠδὴ η΄. *Σοὶ τῷ παντουργῷ*

Τάπητος χαλκοῦ
τὰς πυρακτώσεις φέρεις
θείου ἀναφλέγοντος
σέ, μάρτυς, ἔρωτος·
ὅθεν ἐμπρήσας
τὴν πλάνην ἀνεβόας·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

Ὅλος τὴν καλὴν
ἀλλοιωθεὶς ἐνθέως
ἀλλοίωσιν, ἔνδοξε,
σαρκὸς ἠλόγησας

---

173 Ῥωννύει Cy   174 βάρη Cy   177 μέλπουσα Sa   181 περιγράπτεται S   182 προερχόμενον Cy
heirm. η΄ ΕΕ 131, n. 182, Joannis   186 ταῖς Cy   191 σὲ] καὶ Sa   post ὑπ(ερυψοῦμεν) orat. detruncant Ce Cy Sa S   ὑπερυψοῦντ legitur in Cf   193 Ὅλως Cy Σc   Ὅλην S

173-178 Cfr. sup. vv. 123-129

καὶ τοῖς ἀΰλοις
χοροῖς συνηριθμήθης
μέλπων σὺν ἐκείνοις
φωνὴν τὴν τρισαγίαν.

Ὕψιστον Θεὸν
ἀληθινὸν εἰδότα
τὰ πλήθη κηρύττοντα
σέ, παμμακάριστε,
τούτῳ προσῆλθον
ἐνθέως μελῳδοῦντα·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

θεοτ. Σῶσόν με, ἁγνή,
τὸν χαλεπῶς πελάγει
παθῶν χειμαζόμενον
καὶ κινδυνεύοντα·
μόνη τὸν πάντων
σωτῆρα γὰρ τεκοῦσα
σώζεις τοὺς ἐν πίστει
ἀεί σε προσκυνοῦντας.

f. 161v ᾠδὴ θ΄. *Ἡσαΐα, χόρευε· ἡ παρθένος*

Ἱερὰν πανήγυριν
ἀθλοφόρων
δῆμος συγκροτεῖ
τῇ μνήμῃ σου, ἀθλητά
μάρτυς, σὺν ἡμῖν

---

199 ἐκένοις Ce   205 τοῦτο Cf Σω S   207-208 καὶ ὑπερυψοῦτα / εἰς πάντας τοὺς αἰῶνας S   207 post ὑπ(ερυψοῦμεν) orat. varie detruncant Cf Σω Cy   208 Χριστέ, εἰς] εἰς πάντας Σc   209-216 θεοτ. om. Σω   210 χαλεπῶ Σc   212 κινδυνεύοντι Cf   213 τῶν Cy S Σc   214 γὰρ om. Cy
heirm. θ΄ ΕΕ 131, n. 182, Joannis   propter homoioteleuton post v. 217 cd. S praebet vv. 228-236, quorum in loco vv. 218-226 invenies   220 τὴν μνήμην Cf Σω Cy

ἐνθέως ἡδόμενος
καὶ δοξάζει
τὸν νικητικαῖς
στέψαντα χάρισι
τὴν σὴν κάραν, Ἀθηνόδωρε.

Ὥρᾳ διαλάμποντι,
ἀθλοφόρε,
τῇ σωματικῇ
πλειόνως ἡ ψυχικὴ
σοὶ ὡς νικητῇ
σαφῶς προσεγένετο
καὶ ὡραίως
νῦν περιπολεῖς
τὰ ἐπουράνια
θείᾳ δόξῃ καλλυνόμενος.

Σταθηρὰν τὴν ἔνστασιν
τῶν ἀγώνων,
μάρτυς, ἐν καιρῷ
δεικνύων τὰς τοῦ ἐχθροῦ
πάσας μηχανὰς
εἰς γῆν ἐταπείνωσας
καὶ ὑψωθεὶς
ἄθλοις ἱεροῖς
ἄγγελος γέγονας
τὸ σαρκίον περικείμενος.

Ἡ ἁγία μνήμη σου
ἁγιάζει
σήμερον λαοὺς
κινοῦσα δοξολογεῖν

---

222 ἡδόμενος] ἑπόμενος Sa 224 τονικητικῶς S 225 χάριτι S 227 διαλάμποντα Σω Sa S 230 ψυχικοὺς Sa v. 231 ὡς νικητικῇ Σω σὺ ὡς νικητὴν Sa 232 προεγένετο Cy 233 ὡραῖος Σω Cy Sa 236 θείᾳ] ὅθεν Sa 240 δεικνύων τὰς] δεικνύοντας Cy -ντος Sa 243 ὑψώθης Σc 244 ἱερὸς Σω 249 λαὸν Σω S Σc 250 κινοῦσαν Cy κενοῦσα S δοξολογεῖ S

τὴν θεαρχικήν,
μάρτυς, ἀγαθότητα,
ᾗ παρεστὼς
μέμνησο ἡμῶν,
ὅπως κακώσεως
λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

θεοτ.

Φανοτάταις λάμψεσι
παρθενίας
λάμπουσαν εὑρὸν
τὸ φῶς τὸ ἐκ τοῦ φωτός,
λάμψαν ὑπὲρ νοῦν,
ἐκ σοῦ ἀνατέταλκε
τοῖς ἐν σκότει
πάλαι τῶν δεινῶν
καὶ κατεφώτισε,
θεοτόκε, τὰς ψυχὰς ἡμῶν.

---

253 ᾗ] ἡ Σc ὃ S 254 μέμνησον Cy μέμνημον Sa 256 τῶν ἐχθρῶν ἡμῶν] Ἀθηνόδωρε Σω Cy Sa S Σc 259 εὑρὸν] εὑρὼν Σω Cy Sa S Σc αὐγαῖς Cf αὐγῆς Ce 260 τὸ ἐκ] τοῦ ἐκ Sa Σc ἐκ φωτὸς Ce 261 λάμψας Cy 265 καταφώτισε Cy

---

260-265 Cfr. sup. vv. 106-108

IN SANCTOS PROBUM, AREM, EUGENIUM, MACARIUM MARTYRES (ET BONIFACIUM)

Synaxarium, 327: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόμου, Ἄρεως καὶ Ἡλία. Οὗτοι ἐξ Αἰγύπτου ὑπῆρχον, ἦσαν δὲ χριστιανοί· θεραπείας δὲ ἕνεκεν τῶν κατὰ τὴν Κιλικίαν ὁμολογητῶν ἐποιοῦντο τὴν πορείαν. Ἐν δὲ τῷ Ἀσκάλωνι γενόμενοι, συνελήφθησαν καὶ προσήχθησαν τῷ δικαστῇ Φιρμιλιανῷ· καὶ χριστιανοὺς ἑαυτοὺς ὁμολογήσαντες, ὁ μὲν Ἄρης διὰ πυρὸς ἐτελειώθη, Πρόμος δὲ καὶ Ἡλίας σιδήρῳ τὰς κεφαλὰς ἀπετμήθησαν. Οὓς καὶ ἐγκωμίοις ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος ἐτίμησε. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Φιλήμονος ἐν τῷ Στρατηγίῳ.

330-331: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Εὐγενίου καὶ Μακαρίου. Οὗτοι συσχεθέντες καὶ προσαχθέντες Ἰουλιανῷ τῷ παραβάτῃ καὶ ἐλέγξαντες αὐτοῦ τὴν δυσσέβειαν, βασάνοις ἄλλαις καὶ πυρὶ καὶ ἰοβόλοις ἑρπετοῖς ἐκδίδονται. Ἐξ ὧν φυλαχθέντες ἀσινεῖς, δέσμιοι εἰς Μαυριτανίαν πέμπονται, εἰς πόλιν λεγομένην Ἀνθηδόνα· ἣν τῇ ἐπιγνώσει τοῦ Χριστοῦ φωτίσαντες καὶ διάφορα τελέσαντες θαύματα καὶ τὸν ἐν ὄρει λυμαινόμενον δράκοντα τοὺς προσοικοῦντας ἀποκτείναντες, ἐν εἰρήνῃ τῷ Κυρίῳ τὰς ἑαυτῶν ψυχὰς ἀπέθεντο.

Crypt. Δ.a. XIV = Cf, ff. 152v-162
Sinait. gr. 581 = Σκ, ff. 25v-30
Paris. gr. 1623 = Pi, ff. 74v-78

f. 152v || Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἀθλητικὸν σύστημα μαρτύρων σέβω·
ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου.

Ἦχος πλ. α'.
ᾠδὴ α'. *Ἵππον καὶ ἀναβάτην*

Αἴγλῃ τῇ τῶν θαυμάτων
ὁ τῶν μαρτύρων χορὸς

tit. Ἕτερος κανὼν τῶν μαρτύρων φέρων ... Cf Τῇ αὐτῇ ἡμέρᾳ κανὼν εἰς τοὺς ἁγίους μάρτυρας (scil. Πρόμον, Ἄρην, Εὐγένιον καὶ Μακάριον) καὶ εἰς τὸν ἅγιον Βονιφάτιον φέρων ἀκροστιχίδα τήνδε ... Σκ nomen hymnographi Γεωργίου rubrica silet in Σκ Ὁ κανὼν Pi
heirm. α' EE 131, n. 182, Joannis; heirm. integrum exscribit Pi

τῶν πιστῶν τὴν χορείαν
καταλαμπρύνει σήμερον
ἐν τῇ παμφαεῖ αὐτῶν πανηγύρει
ᾄδουσαν ἐπινίκιον ὑμνολόγημα.

Θέμενοι, ἀθλοφόροι,
καταφυγὴν τὸν Χριστὸν
καὶ ὀχύρωμα θεῖον,
κατὰ τῆς ἀθεότητος
στερρῶς ἀντετάξασθε καὶ βολίσιν
ἄτρωτοι πολεμίων διετηρήθητε.

Λ —́ — — — — —́ —
— — — —́ — — —́
— — —́ — — —́ —
— —́ — — — —́ — —
— —́ — — —́ — — — — —́ —
—́ — — — — —́ — — — — —́ — —.

Ἤρθητε πρὸς τὸ ὕψος
τῆς πίστεως, ἀθληταί,
καὶ τὴν τῆς ἀθεΐας
χαμαίζηλον καὶ ἄστατον
πλάνην κατελίπατε καὶ τῷ κτίστῃ
πτέρυξι τῆς ἀθλήσεως προσηγγίσατε.

θεοτ. Γῆ ἐκ τῆς καταδίκης
ἀπαλλαγεῖσα τῆς πρὶν
καὶ κατάρας ἡ φύσις
ἡμῶν λελυτρωμένη, ἁγνή,
ἐν τῷ ξένῳ τόκῳ σου αἰτίαν σε
μέλπουσιν εὐλογίας καὶ δικαιώσεως.

3 τὴν χορείαν] τὰς χορείας Cf 7-12 trop. deest in Pi 8 καταφυγὴ Cf 9 θείων Σκ 13-18 trop. tantum litteram initialem ostentat Cf, vacuo spatio a scriba relicto; idem om. Σκ Pi; Σκ, autem, trop. « Ὄνομα φερωνύμως » praebet, quod vide infra in canon. XXXVII, vv. 8-14 19-24 trop. om. Σκ Pi 25 Γῆ] Τῆ Pi 30 εὐλογίαις Cf

f. 154v ᾠδὴ γ΄. *Ὁ πήξας*
ἐπ' οὐδενὸς τὴν γῆν τῇ προστάξει σου

Τῷ βάρει
τῶν ἀλγεινῶν, ἀήττητοι μάρτυρες,
τὸ στερρὸν τῆς γνώμης μὴ καθελκόμενοι
μηδὲ ἐνδιδόντες τοῖς δεινοῖς,
τὴν ἐκ ψυχῆς ἀνδρείας
ὁμολογίαν ἐτηρήσατε
ἄσειστον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Ἰσχύος
τῆς τοῦ ἐχθροῦ τὰ νεῦρα ἐκλέλυται
καὶ ἡ ἀσθενοῦσα φύσις ἐνδέδυται
δύναμιν καὶ κράτος κατ' αὐτοῦ,
ἐν ᾗ οἱ ἀθλοφόροι
κραταιωθέντες ἐπεδείξαντο
νίκην κατ' αὐτῶν τὴν ἀήττητον.

Κρατοῦντες
τὸν τοῦ Χριστοῦ σταυρόν, θεῖοι μάρτυρες,
καὶ τὰ πάθη τούτου ἐπ' ὤμων αἴροντες
ζωῆς ἐπικήρου καὶ φθαρτῆς
διὰ ζωὴν τὴν ὄντως
κατεφρονήσατε καὶ ἄφθαρτον
δόξαν τῆς προσκαίρου ἠλλάξασθε.

θεοτ. Ἐξ ᾅδου
τῆς ἀθυμίας, θεοχαρίτωτε,
f. 155 ὠθου||μένους ἡμᾶς ταῖς περιστάσεσιν
ἕλκυσον ὡς μόνη ἀσφαλὴς

---

heirm. γ΄ EE 131, n. 182, Joannis; heirm. integrum refert Σκ
34 ἐνδιδωντες Σκ 35 ἀνδρείαν Cf 38-44 trop. om. Pi 39 ἐκλέλυνται Σκ
43-44 τούτῳ ἀθλοῦντες συνεπλάκησαν / καὶ λαμπρὰ τὰ τρόπαια ἔστησαν Σκ
45-51 pro hoc trop. illud profert Σκ, quod ad canon. XXXVII, vv. 28-33, pertinet: « Οὐκ ἄλλον, ἀλλὰ σαυτὸν ἀξίας προέκρινας »

45-47 Matth. 16,24

ἐλπὶς καὶ προστασία
τῶν θλιβομένων, ἡ ἀνόρθωσις
τῶν καταπιπτόντων, πανάχραντε.

Κάθισμα.

Ἦχος β΄.

Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ
....

f. 156 || ᾠδὴ δ΄. *Τὴν θείαν ἐννοήσας σου κένωσιν*

Ὁ πάντα ἐνεργῶν τῷ βουλήματι
καὶ μεταπλάττων τῷ αὐτοῦ
τὰς τῶν πραγμάτων φύσεις προστάγματι
Χριστὸς ὑμᾶς, ἀθλοφόροι,
ἰσχύι παραδόξῳ καθώπλισεν.

Νοσοῦντας ἀθυμίας, ἀοίδιμοι,
καὶ παρειμένους τὰς ψυχὰς
δι' ἀγνωσίαν τοῦ κτίσαντος
λαοὺς ἐθεραπεύσατε
καὶ εἰς δόξαν αὐτοῦ παρεστήσατε.

Σαλεύσαντες τῆς πλάνης θεμέλια
τῇ καρτερίᾳ, ἀθληταί,
ἐν ἀκλονήτῳ τῆς πίστεως
πέτρᾳ βροτοὺς δονουμένους
ἀσείστως καὶ βεβαίως ἡδράσατε.

---

57 ἡ] καὶ Σκ
Κάθ., quod in MR II, 17 ed. invenies, om. Σκ Pi, eiusdem tantum principium offert Cf
heirm. δ΄ EE 131, n. 182, Joannis; heirm. integrum servat Pi
59-63 trop. om. Pi 61 φύσει Σκ 64-68 trop. om. Σκ Pi 69-73 trop. om. Pi 73 ἀσείστους Cf ἡδράσατε] ἱδρύσατε Cf

Ὑμνοῦντες τὸν δεσπότην καὶ Κύριον
Πρόβος καὶ Ἄρης οἱ σοφοὶ
συνευλογοῦντας Εὐγένιον
Μακάριόν τε σήμερον
ἐν τῇ οἰκείᾳ μνήμῃ ἐκάλεσαν.

θεοτ. Ὡς ἄγκυράν σε θείαν κατέχοντες
οἱ ἐν τῷ σάλῳ τῶν δεινῶν
καὶ τρικυμίαις τῶν θλίψεων
κλυδωνιζόμενοι πάντες,
παρθένε, ἀκυμάντως σῳζόμεθα.

f. 156v ᾠδὴ ε'. *Ὁ ἀναβαλλόμενος*

Σῶμα προτιθέμενοι
φονευταῖς, οἱ ἅγιοι,
ψυχὰς ἀτρώτους καὶ ἀλωβήτους
σοφῶς ἐτηρήσατε·
διὰ τοῦτο θείας
ζωῆς κατηξιώθητε.

Τὴν κάραν τοῦ δράκοντος
θλάσαντες, ἅγιοι,
τοῦ ἀοράτου τῇ καρτερίᾳ,
ὁρατῶν ἐφράξατε
στόματα ἀσπίδων
καθ' ὑμῶν πλατυνόμενα.

Ἤλεγξε τὴν ἄνοιαν
τῶν ἀνομούντων ἐχθρῶν

74-78 pro hoc trop. « Τῆς δόξης καὶ τιμῆς ἐφιέμενος » sequentis canon. XXXVII (vv. 40-44) praebet Σκ 75 Πρόμος Pi οἱ σοφοὶ] καὶ Ἠλίας Pi 76 συνευλογοῦντες Cf 77 Μακάριόν τε Pi 78 ἐκάλεσεν Cf 79-83 aliud θεοτ. « Ἁγνείας διαλάμπουσαν χάριτι » canon. XXXV, vv. 104-108, praebet Σκ 80 δεινῶν] παθῶν Σκ 83 ἀκυμάτους Cf

heirm. ε' EE 131, n. 182, Joannis 84-89 trop. om. Pi 85 φονευταῖς οἱ scripsi: φωναῖς τε Cf φονευταί σοι Σκ 92 τῇ καρτερίᾳ] καὶ μανιώδους Σκ 95 καθ' ὑμῶν] καὶ θυμῶν Σκ 96-101 pro hoc trop. « Νόμοις κυριότητος ὑποτασσόμενος » canon. XXXVII, vv. 55-59, praebet Σκ

ἡ τῶν στοιχείων τῶν ἀναισθήτων
πρὸς τὸν κτίστην εὔνοια
μὴ λυμαινομένη
τῶν μαρτύρων τοῖς σώμασιν.

f. 157 θεοτ. ‖ Ῥάβδον σε δυνάμεως
ἔχοντες, δέσποινα,
τὰ θράση πάντων τῶν ἀντιπάλων
κραταιῶς τροπούμεθα
καὶ ἀκαταπαύστως
δοξάζομεν τὸν τόκον σου.

f. 157v ᾠδὴ ς'. *Μαινομένην κλύδωνι*

Μαινομένων σύστημα
κατὰ Θεοῦ ἡ τῶν ἀθλητῶν
εὐσταθὴς κατέβαλε καὶ ἤλεγξε
καὶ ἔπαυσε
σοφία θεία καὶ σύνεσις.

Ἀοράτους φάλαγγας
ὁρωμένῃ πάλῃ, ἀθληταί,
τοῦ ἐχθροῦ ἡττήσατε καὶ σώματι
τὴν κατ' αὐτῶν
γενναίαν νίκην ἐστήσασθε.

Μυριάσιν, ἅγιοι,
πολεμούντων τὸν πάντων Θεὸν
ἑαυτοὺς ἀνδρείως ἀντεστήσατε·
τῇ παρ' αὐτοῦ
ἰσχύι πάντας ἐτρέψασθε.

---

99 εὔνοια scripsi: εὔνοιαν Cf 102-107 aliud θεοτ. « Σάρκα περικείμενον » praebet Pi, quod vide supra in canon. XXXV, vv. 130-136 102 σε add. Σκ

heirm. ς' EE 131, n. 182, Joannis 113-122 trop. om. Pi 118-122 pro hoc trop. « Ἐκ μαστίγων ὄνυχες » canon. XXXVII, vv. 70-74, profert Σκ

καὶ ὑπερυψούντων
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὥπλισεν ὑμᾶς
ἡ τοῦ δεσπότου χάρις
ὡς κήρυκας πίστεως,
ἅγιοι μάρτυρες,
γλώσσαις πυρίναις
τοῦ πυρπολεῖν τὴν πλάνην
καὶ τῶν εὐσεβούντων
φωτίζειν διανοίας.

Νοῦν εἰς οὐρανοὺς
διὰ παντὸς ὑψοῦντες
καὶ μόνῳ τῷ κτίσαντι
ἐνατενίζοντες
τὰς τῶν ἀλγεινῶν
ἰδέας, ἀθλοφόροι,
ὑπερεωρᾶτε
Χριστὸν δοξολογοῦντες.

θεοτ. Ὅπλον κατ' ἐχθρῶν
καὶ πανντευχίαν πάντες
πιστοί, θεονύμφευτε,
σὲ προβαλλόμενοι
κράτη τροποῦνται
καὶ θράση πολεμίων
νίκης σε αἰτίαν
ἀεὶ δοξολογοῦντες.

f. 161v ᾠδὴ θ'. *Ἡσαΐα, χόρευε*·

Στρατὸς ἁγιόλεκτος
τῶν μαρτύρων
f. 162 τὰς πα||ρεμβολὰς

164 post ὑπ(ερυψούντων) orat. varie detruncant cdd. 166-181 trop. om. Pi 174-181 pro hoc trop., quod om. Pi, « Φόρτον ἱερὸν » utitur, idem in canon. XXXVII, vv. 103-108, ponit Σκ 186 κράτει Cf τροποῦντε Σκ 188 νίκη Σκ
heirm. θ' EE 131, n. 182, Joannis; heirm. integrum praebet Pi 190-198 trop. om. Pi

κατέλυσε τοῦ ἐχθροῦ
καὶ γυμνὸν αὐτὸν
καὶ ἄοπλον ἔστησε
παιζόμενον ὑπὸ τῶν πιστῶν
καὶ ὑποκύπτοντα
τῶν ἁγίων τοῖς προστάγμασιν.

Ἐν ποικίλαις, ἅγιοι,
μεθοδείαις
καὶ ἐν μηχαναῖς
ταῖς καθ' ὑμῶν ὁ Χριστὸς
ἔδειξεν αὐτοῦ
τὴν ἄφατον δύναμιν
θαρσοποιῶν καὶ ἐνδυναμῶν
καὶ νικητήρια
τὰ κατ' ἐχθρῶν παρεχόμενος.

Βροτοκτόνον, ἅγιοι,
τὸν νοητὸν
κτείναντες ἐχθρὸν
ἀσπίδων τῶν ὁρατῶν
χάριτι Χριστοῦ
καὶ δρακόντων στόματα
ἐν ἰσχύι τούτου κραταιᾷ
συναπεφράξατε,
αὐτὸν ἀεὶ μεγαλύνοντες.

Ὡς τυχόντες, ἅγιοι,
παρρησίας
τῆς πρὸς τὸν Χριστὸν
καὶ στεφοδότην ὑμῶν
καὶ νικοποιόν,
Ἄρες παναοίδιμε,
Πρόβε σοφὲ καὶ Εὐγένιε
μετὰ συνάθλων σου,
αἰτήσασθε τοῦ σωθῆναι ἡμᾶς.

208-216 trop. om. Σκ Pi; Σκ, autem, pro hoc trop. « Ἐκ τῆς Ῥώμης ἄδυτον » refert: cf. canon. XXXVII, vv. 121-127 217-225 trop. om. Σκ Pi 222 Ἄρες scripsi: Ἄρε Cf

θεοτ. Γαληνὸν λιμένα σε,
θεοτόκε, ἔχοντες πιστοὶ
καὶ ἐν περιστάσεσι καὶ θλίψεσι
προσφεύγοντες
ἐν σοὶ ἀεὶ ὁρμιζόμεθα.

Ἕτερον ⟨κοντάκιον⟩.

Ἦχος δ'. Πρός· *Ἐπεφάνη σήμερον*

Ἱερεῖον ἄμωμον
....

(Ὁ οἶκος).

Πρός· *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Ἀνατολῆς ὥσπερ ἀστὴρ
....

f. 158v ᾠδὴ ζ'. *Ὁ ὑπερυψούμενος*

Ἄνωθεν δεχόμενοι
ἐν πυρὶ φλογίζοντι
δρόσον τὴν τοῦ πνεύματος,
πανεύφημοι μάρτυρες,
ὡς οἱ παῖδες ὑμνεῖτε
τὸν τῶν ὅλων βασιλέα.

Ῥήμασιν ἠλέγξατε
τῆς πλάνης τὴν ἔνστασιν
καὶ ἔργοις ἡττήσατε

123-127 aliud θεοτ. « Καὶ Θεὸν καὶ ἄνθρωπον » invenitur in Pi, quod vide supra in canon. XXXV, vv. 155-160 127 ἀεὶ] ἀεὶ ἀκινδύνους Cf Κοντ., quod ut κάθ. profert Σκ, et οἶκ. MR II, 548; eadem om. Pi
heirm. ζ' EE 131, n. 182, Joannis; heirm. integrum profert Pi
131 πανεύφη Σκ 133 ὅλων] πάντων Pi 134-139 trop. deest in Pi

πολεμίων φάλαγγας
εὐχαρίστως αἰνοῦντες,
ἀθλοφόροι, τὸν δεσπότην.

Τοῦ ἐχθροῦ τὰ θήρατρα
ἐκφυγόντες, ἅγιοι,
τὸν βροτοὺς θηρεύοντα
ἀνείλετε δράκοντα
εὐχαρίστως βοῶντες·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

f. 159 ‖ Ὑπερβάντες φύσεως
τοὺς ὅρους, πανεύφημοι,
ἐν τοῖς τῆς ἀθλήσεως
ἀγῶσιν ἐλάβετε
παραδόξως θαυμάτων
οὐρανόθεν θείαν χάριν.

θεοτ. Ἰσχύν με περίζωσον,
παναγία δέσποινα,
τὸν ἐξασθενήσαντα
ψυχῇ τε καὶ σώματι
ταῖς ποικίλαις τῶν ἐχθρῶν
ἐπηρείαις καὶ ἀνάγκαις.

f. 159v ᾠδὴ η'. *Σοὶ τῷ παντουργῷ*

f. 160 ‖ Ῥεῖθρα διαυγῆ
τῶν ἰαμάτων κόσμῳ
πηγάζοντες, ἅγιοι,
ἀφθόνῳ χάριτι
φλόγα νοσούντων
σβεννύετε ὑμνούντων

140-145 trop. carent Σκ Pi 146-151 pro hoc trop., quod om. Σκ Pi, illo utitur quod inc. Ἄστεκτος ὁ μόλυβδος; idemque in Σκ invenies in canon. XXXVII, vv. 85-90 152-157 aliud θεοτ. « Ὁ ἀπεριόριστος » praebet Pi, quod vide supra in canon. XXXV, vv. 179-184
heirm. η' EE 131, n. 182, Joannis; heirm. integrum profert Pi

θεοτ.

Ὑπερβλύζει, ἄχραντε,
ὁ νοητὸς
πᾶσί σου κρατὴρ
θαυμάτων ὡς ἀληθῶς
τῶν ὑπερφυῶν
καὶ εὐφραίνει ἅπαντας
τῷ μυστικῷ πόματι αὐτοῦ
τούς σέ, πανάχραντε,
θεοτόκον μεγαλύνοντας.

231 εὐφραίνεις Pi 233 πανάχραντε] δοξάζοντας Cf πανάχραντον Pi
234 μεγαλύνοντας] -οντεις Σκ -ομεν Cf

IN SANCTUM BONIFATIUM

Synaxarium, 325-327: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Βονιφατίου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· δοῦλος δὲ ὑπῆρχε γυναικός τινος ὀνόματι Ἀγλαΐδος, θυγατρὸς Ἀκακίου τοῦ ἀνθυπάτου Ῥώμης· συνεφθείρετο δὲ τῇ κυρίᾳ αὐτοῦ εἰς σωματικὴν μίξιν. Ἦν δὲ μέθυσος, ἀλλ' ἐλεήμων, ὁμοίως καὶ ἡ Ἀγλαῒς καὶ ἐλεήμων καὶ φιλόμαρτυς. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν εἶπε τῷ Βονιφατίῳ· « Εἰ ἤθελες, εἶχες ἀπελθεῖν εἰς τὴν ἀνατολήν, ὅπου μαρτυροῦσιν οἱ ἅγιοι, καὶ κομίσαι λείψανα αὐτῶν, ἵνα ἔχωμεν αὐτὰ εἰς βοήθειαν καὶ ψυχικὴν σωτηρίαν ». Ὁ δὲ Βονιφάτιος γελῶν εἶπε· « Ἐὰν φέρω τὸ ἐμὸν λείψανον, τί; » Ἡ δὲ γελάσασα καὶ μέθυσον αὐτὸν εἰποῦσα, ἀπέστειλε. Καὶ ἀπελθὼν μετὰ δούλων δώδεκα καὶ χρυσοῦ πολλοῦ εἰς Κιλικίαν, ὅπου ἐβασανίζοντο οἱ ἅγιοι, ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος καὶ ὡμολόγησεν ἑαυτὸν χριστιανόν, καὶ βασανισθεὶς πολλὰ ἀπεκεφαλίσθη. Λαβόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὸ λείψανον αὐτοῦ, ἀπεκόμισαν τῇ κυρίᾳ αὐτῶν. Ἡ δὲ μετὰ χαρᾶς δεξαμένη κατέθετο ἐν τῷ οἴκῳ αὐτῆς, κτίσασα ἐκκλησίαν ἐπὶ τῷ ὀνόματι αὐτοῦ· κἀκείνη ἔκτοτε ὁσίως καὶ θεαρέστως πολιτευσαμένη ἐν εἰρήνῃ τὸ πνεῦμα ἀπέθετο.

Mess. gr. 135 = N, ff. 255(259)–258(262)
Sinait. gr. 583 = Σω, ff. 142-143ᵛ
Paris. gr. 1623 = Pi, ff. 74ᵛ-78
Sinait. gr. 581 = Σκ, ff. 25ᵛ-30

f. 255 (259) ‖ Ὁ κανών.

Ἦχος πλ. α'.

ᾠδὴ α'. *Ἵππον καὶ ἀναβάτην*

Παύλου τὰς παραινέσεις
ποιούμενος ἐναργεῖς
οὐρανῶν βασιλείαν
ἀπέλαβες ἀντάλλαγμα

tit. Ὁ κανὼν N Pi Ὁ κανών· ποίημα Ἀναστασίου κοιαίστορος τοῦ Καμψάκου Σω
heirm. α' EE 131, n. 182, Joannis; heirm. integrum exscriptum in Pi
1-7 trop. deest in Pi Σκ 2 ἐνεργῶς N

δουλείας εὐγνώμονος·
ὁ γὰρ δοῦλος κύριος
τῆς κυρίας μεταπεποίησαι.

Ὄνομα φερωνύμως
ἐκλήθης τὸ θαυμαστόν·
ἀγαθὸς γὰρ ἀνθρώπων
θεράπων γνωριζόμενος
Χριστὸν ἀγαθότητι
σαρκωθέντα Κύριον
ἐμαρτύρησας, Βονιφάτιε.

θεοτ. * Πίστις ἡγείσθω μόνη
καὶ μὴ ἀπόδειξις
τῶν ὑπὲρ νοῦν θαυμάτων,
θεογεννῆτορ πάναγνε·
τὸν γὰρ ἀκατάληπτον
Θεὸν Λόγον τέτοκας
ἐνδυσάμενον τὴν ἀνθρωπότητα.

ᾠδὴ γ'. *Ὁ πήξας ἐπ' οὐδενὸς τὴν γῆν τῇ προστάξει σου*

Μαρτύρων τοῖς λειψάνοις ποθοῦσα πλουτίζεσθαι
καὶ ἀναθεμένη σοι τὸ ὑπούργημα
f. 255ᵛ (259ᵛ) μέρους ἡ ἐλπί||ζουσα τυχεῖν
ὅλον σε παρ' ἐλπίδα
ἱερωθέντα δι' ἀθλήσεως
ἡ θεοφιλὴς ὑπεδέξατο.

---

7 μεταπεποίησα Σω 10 ἀγαθῶν Σκ 15-21 θεοτ. MR V, 317; idem om. Σω
heirm. γ' EE 131, n. 182, Joannis; heirm. integer exstat in Σκ 22-27 trop. om. Pi Σκ

15-17 Hebr. 11,1

Οὐκ ἄλλον, ἀλλὰ σαυτὸν ἀξίας προέκρινας
τελειῶν τῇ πίστει τῇ φιλομάρτυρι
καὶ τοὺς ἀθλητὰς παραζηλῶν
καὶ τὸν Θεὸν δοξάζων
ἐν τῇ σαρκί σου καὶ τοῖς αἵμασι
τὸν ὑπὲρ ἡμῶν μαρτυρήσαντα.

θεοτ. * Ἰδοὺ σὺ ὑπὲρ πᾶσαν, ἁγνή, κεχαρίτωσαι·
ὑπερέβης πάσας τῇ ἁγιότητι·
πάσας ὑπεραίρεις καὶ πασῶν
ὤφθης ὑψηλοτέρα
τῶν οὐρανίων σαφῶς δυνάμεων,
μήτηρ τοῦ Θεοῦ χρηματίσασα.

ᾠδὴ δ'. *Τὴν θείαν ἐννοήσας σου κένωσιν*

Τῆς δόξης καὶ τιμῆς ἐφιέμενος
καὶ τοὺς ἀγῶνας καὶ σφαγὰς
τῶν ἀθλοφόρων μιμούμενος
δι' ἑαυτοῦ ἐξεπλήρους
τὸ πᾶν τῆς κεκτημένης ἐπίταγμα.

256 (260) || Ἐλεύθερον κτησάμενος φρόνημα
καὶ παρρησίαν εὐγενῆ
τὴν τυραννίδα ἐπόρθησας

---

28 ἀξίως Σω Pi Σκ 29 τὴν πίστιν Σω Σκ Pi τῆς φιλομάρτυρος Σω 34-39 θεοτ. MR V, 317; idem om. Σω 34 πάσας MR ἁγνὴ] γυνὴν N 36 ὑπερῆρας MR 38 οὐρανῶν N
heirm. δ' EE 131, n. 182, Joannis; heirm. integrum invenies in Pi 43 ἐξεπλήροις N 44 τοῖς κεκτημένοις Pi 45-49 trop. om. Pi Σκ

28-30 PG 115,248: Ταῦτα καὶ Βονιφάτιος ὁρῶν, καὶ οὐχ ἁπλῶς ὁρῶν ἀλλ' ἐπιμελῶς ἕκαστα καὶ φιλοπόνως ἐξακριβούμενος καὶ τοῦτο μὲν ἐκπληττόμενος τῆς καρτερίας τοὺς μάρτυρας, τοῦτο δὲ καὶ τῶν ἴσων αὐτοῖς στεφάνων ἀξιωθῆναι γλιχόμενος, ὅλος ἔνθους γενόμενος...
45-49 PG 115,249: ... ἐρωτηθείς: Εἰμὶ μέν, ἔφη, Χριστιανός, τῇ δὲ τοῦ ἐμοῦ Δεσπότου δυνάμει θαρρῶν τῶν ὁμοδούλων τοὺς μὲν πιστῶς φιλῶ, σοῦ δὲ καὶ τῶν σῶν ὡς ἀγνωμόνων ὑπερφρονῶ... ... Πρὸς ταῦτα ὁ μάρτυς ... Χριστιανὸς ἐγώ· τοῦτο μόνον παρ' ἡμῶν ἄκουε· αὐτὸς δέ, εἰ μὴ ἀνέχῃ, ὅ, τι βούλει τῷ σώματι χρῶ ...

---

34 Luc. 1,28

καὶ ἀντιλέγων καὶ πάσχων
τὸν νόθον τῆς ἀπάτης ἐδούλωσας.

θεοτ. * Ἀφράστως συλλαβοῦσα, πανάμωμε,
τὸν ποιητήν σου καὶ Θεὸν
δυσώπει σῶσαι κινδύνων ἡμᾶς
καὶ ψυχικὴν σωτηρίαν
βραβεῦσαι τοῖς ὑμνοῦσί σε, δέσποινα.

ᾠδὴ ε'. *Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον*

Νόμοις κυριότητος ὑποτασσόμενος
τὸν ὄντως φύσει εὑρὼν δεσπότην
τὸν Θεὸν ἐκήρυξας
καὶ πρὸς τοὺς τυράννους
ἀντέστης ἀνδρικώτατα.

Οὐ διαπειράζοντες, οὐ κολακεύοντες,
οὐκ ἀπειλοῦντες, οὐκ ἐνεργοῦντες
κυριεῦσαι ἴσχυσαν
τῆς σῆς οἱ διῶκται
ἀθραύστου γενναιότητος.

θεοτ. * Νέκρωσον τὰ πάθη μου, θεογεννήτρια,
f. 256v (260v) || καὶ τὴν ψυχήν μου τὴν νεκρωθεῖσαν

50-54 θεοτ. MR V, 319; idem om. Σω
heirm. ε' EE 131, n. 182, Joannis; heirm. integrum profert Pi 55 ὑποταττόμενος Σκ 56 δεσπότης Σω 58 τοὺς om. Pi 59 ἀνδρικώτατα] αὐτοδέσποτος Σω Pi Σκ 60-64 trop. om. Pi Σκ 65-69 θεοτ. MR V, 319; idem om. Σω

60-61 PG 115,252: Ἕωθεν οὖν τοῦ βήματος προκαθίσας, καὶ ὑπ' ὄψιν αὐτῷ παραστήσας τὸν μάρτυρα, τήν τε εὐσέβειαν ὠνείδιζε τὴν ἐκείνου καὶ τὸ ἐσταυρῶσθαι τὸν Δεσπότην ἡμῶν ἐχλεύαζεν. 249: Καὶ ὁ ἄρχων... Ἄγε δὴ οὖν, ἔφη, Βονιφάτιε, πρὶν ἢ τῶν σαρκῶν σου καὶ τῶν ὀστῶν ἅψωμαι, πείθου ποιεῖν τὰ κεκελευσμένα, καὶ προσελθὼν θύε τοῖς εὐμενέσι θεοῖς ... Γενέσθω σοι, φησίν, ὦ Βονιφάτιε, τὰ παθήματα ταῦτα, μαθήματα πρὸς τὸ βέλτιον καὶ πεῖραν τῶν ἀνηκέστων τούτων λαβὼν ὀδυνῶν, ὀψὲ γοῦν, ἄθλιε, σεαυτὸν οἰκτείρας τῶν μενουσῶν σε κολάσεων, πρόσελθε θύσων. Ὁ δὲ Ἅγιος· Ἐμὲ θύειν ἐπιτάττων, ἀσύνετε, οἴει δυνατοῖς ὅλως ἐπιχειρεῖν; Ἐγὼ θεοῖς προσελεύσομαι, ὧν μόνη τοῦτον παρηγορία μηδ' ἀκοαῖς φορητή;

ἁμαρτίας δήγματι
ἀνάστησον, μήτηρ
τῆς ὄντως ἀναστάσεως.

ᾠδὴ ς'. *Μαινομένην κλύδωνι*

Ἐκ μαστίγων ὄνυχες,
ἐξ ὀνύχων κάλαμοι ὀξεῖς
ἀφειδῶς ἐσπάραξαν τὸν μάρτυρα·
τὸ σαρκίον δὲ
ἐδόκει ἔχειν ἀλλότριον.

Ἐπὶ γῆς ἑλκόμενος,
ὡς ὁ λίθος ὁ προφητικός,
τοῖς βωμοῖς ἐμπίπτων κατηδάφιζες
τὰ ξόανα
καὶ τὰ ἐκ λίθων σεβάσματα.

θεοτ. * Παναγία δέσποινα
θεομῆτορ, ῥῦσαί με φθορᾶς
καὶ παθῶν τὸν θόρυβον κατάπαυσον,
ἡ τὴν πηγὴν
τῆς ἀπαθείας κυήσασα.

67 δείγματι N
heirm. ς' EE 131, n. 182, Joannis 72 ἐσπάραξας Σκ τὸν μάρτυρα] ὁ μάρτυς δὲ Σω Pi Σκ 73 δέ, quod. sup. lin. praebet N, om. Σω Pi Σκ 74 ἐδόκεις Pi Σκ 75-79 trop. om. Pi Σκ 76 προφητικῶς Σω 77 ἐμπίπτων] ἐκπίπτων N 78 ξοάνων Σω 80-84 θεοτ. MR V, 319; idem om. Σω 81 θεοτόκε MR 82 θόρυβον κατάπαυσον] τάραχον κατεύνασον MR

70-74 PG 115,249: Ἐπὶ τούτοις χαλεπήνας ὁ ἄρχων, ἐπὶ κεφαλὴν αὐτὸν κρεμασθῆναι κελεύει καὶ ἰσχυρῶς μὲν ξέεσθαι· τὴν βάσανον δὲ παρατείνεσθαι, ἄχρι διαφανῆς τὰ ὀστᾶ γένηται ... καὶ κάλαμοι ὀξυνθέντες εὐθὺς κατὰ τῶν ὀνύχων αὐτῷ ἐνεπείροντο ... Ἀλλ' ὁ μάρτυς εἰς οὐρανὸν ἀτενῶς ἀναβλέψας καὶ ὅλην ἐκεῖ μετὰ τῆς διανοίας θεὶς καὶ τὴν αἴσθησιν, οὐδὲ βραχὺ γοῦν ἐφρόντιζε τῆς ὀδύνης ...
77-79 PG 115,252: Ταῦτα πάντες τε ἀνέκραζον καὶ ἅμα τὸν μὲν ἐκεῖσε βωμὸν κατέστρεφον, τὸν δὲ ἄρχοντα λίθοις ἔβαλλον...

75-79 Dan. 2,34,35

Κάθισμα.

Ἦχος γ'. Πρὸς τό· *Θείας πίστεως ὁμολογία*

Θείοις αἵμασι τὸν ἀλαζόνα
ἐναπέπνιξας καὶ στεφηφόρος
πρὸς τὸν πάντων βασιλέα ἀνέδραμες
f. 257 (261) ‖ καὶ ἰαμάτων
βλυστάνεις χαρίσματα,
τῶν νοσημάτων ξηραίνεις τὰ ῥεύματα,
μάρτυς ἔνδοξε·
Χριστὸν τὸν Θεὸν ἱκέτευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ ζ'. *Ὁ ὑπερυψούμενος*

Ἄστεκτος ὁ μόλυβδος
ὡς ὕδωρ ἐγχεόμενος,
ἀλλά σου τὰ ἔγκατα
παφλάζων ἀνέψυχε,
τὴν κάμινον Χαλδαίων
τῷ δροσίζοντι δουλεύων.

---

heirm. καθ. HR 148   κάθ. om. Σω Pi Σκ
heirm. ζ' EE 131, n. 182, Joannis; heirm. integrum habes in Pi
85 Ἄστεκτον N   86 ἐκχεόμενος N   χεόμενος Σω   87 σοῦ Pi   89 τῇ καμίνῳ Σω

85-90 PG 115,249: ... κελεύει τὸ στόμα διανοιγέντι τῷ μάρτυρι μόλυβδον αὐτῷ ἐγχεθῆναι σφόδρα διακαέντα... 252: Καὶ λέβης εὐθέως, πίσσης τε ἀναπλησθεὶς καὶ λάβρως ὑποκαείς, τὸν ἀθλητὴν ὑπεδέχετο. Ἀλλὰ καὶ τούτου δὴ γενομένου, Θεὸς ἄνωθεν οὐκ ἠμέλει τὰ συνήθη θαυματουργῶν. Ἄγγελος γὰρ ἐξ οὐρανοῦ καταβὰς τὸ μὲν ἐκείνου σῶμα, ὥσπερ καὶ τὰ τῶν τριῶν παίδων, ἐφύλαττεν ἀπαθές, κύκλῳ δὲ φλὸξ ἐξαπίνης περιχυθεῖσα, καί τινας τῶν παρεστώτων ἀπίστων διαλαβοῦσα, τὰ αὐτὰ τοῖς ἐν Βαβυλῶνι, πάλαι διέθηκε...

88-90 Dan. 3,25,50

Πᾶν σοι κολαστήριον
ὡς ἀλεξητήριον·
ὀξεῖα δὲ μάχαιρα
γλυκεῖα φονεύτρια
ζωὴν ἀποκληροῦσα
καὶ χαρὰν τῆς βασιλείας.

θεοτ. * Στόματι καὶ γνώμῃ σε
θεοτόκον, πάναγνε,
κηρύττω γηθόμενος·
Θεὸν γὰρ ἐγέννησας,
ᾧ πάντες μελῳδοῦμεν·
« ὁ Θεὸς εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Σοὶ τῷ παντουργῷ*

Φόρτον ἱερὸν
καὶ θησαυρὸν λειψάνων
ἡ σώφρων φιλόμαρτυς
ἀπολαβοῦσά σε
257v (261v) ‖ « ἦλθες », ἐβόα, « ὁ σεαυτὸν κομίζων,
φῶς μοι καὶ δεσπότης καὶ ψυχῆς εὐεργέτης ».

Ὅλην ἑαυτὴν
καὶ τὰ αὐτῆς κενοῦσα
ναὸν καὶ τὸν τάφον σου
καλλιεργήσασα
ἔργοις ἐτίμα καὶ ἀνευφήμει ὕμνοις,
πᾶσαν σωτηρίαν διὰ σοῦ καρπουμένη.

91-96 trop. om. Pi Σκ   95 ἀποκληροῦσα] ὡς προξενοῦσα Σω   97-102 θεοτ. MR V, 320; idem om. Σω   98 πάναγνε] ἅπαντες MR   99 κηρύττομε πάνα Σκ
heirm. η' EE 131, n. 182, Joannis; heirm. integrum obfert Pi
104 θησαυρῶν Pi   105 φιλομάρτυς Pi   108 μου Σω   δεσπότην Σκ Pi εὐεργέτην Pi Σκ   109-114 trop. deest in Pi Σκ   113 ὕμνοις ἀνευφήμει Σω

θεοτ. * Δεῦτε καλλονὴν
τοῦ Ἰακὼβ ὑμνοῦμεν
Μαρίαν τὴν ἄχραντον
συμφώνως κράζοντες·
« πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἠσαΐα, χόρευε·*

Ἐκ τῆς Ῥώμης ἄδυτον
τῆς ἀρχαίας ἄστρον ἀνασχών,
τὴν σύμπασαν ἐμπιπλᾷς τῆς μαρμαρυγῆς·
τὰ ἄνω βασίλεια
αἰωνίαν ᾤκησας μονήν,
ἔνθα περίθαλψον
ἐποπτεύων τοὺς ὑμνοῦντάς σε.

Χριστῷ Βονιφάτιε,
στεφανίτης νῦν παρεστηκώς,
f. 258 (262) τῆς κεφαλῆς προβαλοῦ τὴν || ἀποτομὴν
πρεσβείαν αἰδέσιμον
καὶ βασιλεῖ δούλωσον πιστῷ
δούλης τὰ ἔκγονα
καὶ τὸν κόσμον ἐλευθέρωσον.

θεοτ. * Ὡς τεκοῦσα, πάναγνε,
τῶν κτισμάτων τὸν δημιουργὸν
κατὰ παντὸς γεννητοῦ φέρεις τὴν ἀρχὴν
ἀσύγκριτον ἔχουσα
ὑπεροχὴν καὶ ὑπερφυῆ·
ὅθεν τὸν τόκον σου
προσκυνοῦντές σε δοξάζομεν.

115-120 θεοτ. MR V, 320; idem om. Σω 116 ὑμνῶμεν MR 119 post ἔργα orat. detruncat N
heirm. θ' EE 131, n. 182, Joannis; heirm. integrum leges in Pi 123 σύμπασαν] σὴν πᾶσαν Pi Σκ 127 ἐποπτεύοις N 128-134 trop. om. Pi Σκ 133 ἔγγονα Σω ἔγκονα Pi 134 ἵνα πόθῳ μακαρίζῃ σε Σω 135-141 θεοτ. MR V, 321; idem om. Σω 139 ὑπερφυῆ] ὑπερφερῆ MR 141 δοξάζωμεν N

115-117 Ps. 46,5

19 DEC. *CANON* XXXVIII

IN PROFESTUM NATIVITATIS IESU CHRISTI

Crypt. Δ.α. XIV = Cf, ff. 153-162v

Τριῴδιον.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἆσμα ἀναπέμψωμεν Θεῷ*

Πάντες προεόρτιον χαρὰν
τῆς τοῦ Χριστοῦ γεννήσεως
ἐπιτελοῦντες, πιστοί,
ἐνθέως εὐφρανθῶμεν
καὶ δῶρα ἐπάξια
τῷ δυνατῷ Κυρίῳ
προσενέγκαι κατευτρεπισθῶμεν.

Τέλος οἱ χρησμοὶ τῶν προφητῶν
τῆς τοῦ Χριστοῦ σαρκώσεως
ἀπάρχονται λαμβάνειν·
ἰδοὺ γὰρ ἡ παρθένος
ἐγγάστριον ἔχουσα
τὸν σωτῆρα κυήσει,
ὡς ὁ μέγας γράφει Ἠσαΐας.

---

tit. Τριῴδιον ἕτερον
heirm. α' EE 225, n. 323, Germani

11-14 Is. 7,14

Κράζε, ὦ Μιχαία θαυμαστέ,
τί προφητεύων εἴρηκας
τῆς παρουσίας Χριστοῦ
τὴν Βηθλεὲμ κηρύσσων,
« ἐκ σοῦ ἐξελεύσεται
ἐν τῷ Ἰσραὴλ ἄρχων,
οὗ ἀπαρχῆς ἔξοδοι αἰῶνος; ».

Λέγε, Βαλαάμ, ἀναλαβὼν
τὴν σὴν παρεμβολὴν τρανῶς·
ποῖον τὸ ἄστρον, ὃ φῇς
ἐξ Ἰακὼβ ἄνεισι;
« Χριστὸς ὁ ἐκ σπέρματος
Ἰσραὴλ κατὰ σάρκα·
οὗτος πάντων ἐθνῶν κυριεύει ».

Δεῦτε νοητῶς ἐν Βηθλεὲμ
συνέλθωμεν καὶ ἴδωμεν
f. 153v || τὸ σπήλαιον, τὴν φάτνην,
τὰ ἅγια χωρία,
ἐν οἷς ὁ σωτὴρ ἡμῶν
γεννηθεὶς ἐκ παρθένου
κατοικήσει δεικνύμενος βρέφος.

θεοτ. Τίς σε ἐπαξίως γηγενὴς
ὑμνήσει, κόρη ἄνανδρε;
ὅτι μεσῖτις Θεοῦ
ἐγένου καὶ ἀνθρώπων,
αὐτὸν τὸν Θεὸν ἡμῶν
δεξαμένη ἐν μήτρᾳ
καὶ τεκοῦσα λόγῳ ἀνεκφράστῳ.

---

29 ἐμβηθλεὲμ 36 γηγενεῖς 37 κόρη scripsi: κόρην cd.

18-21 Mi. 5,1-2 22-28 Num. 23, 16, 23-24

f. 160v ᾠδὴ η'. *Ἄγγελοι καὶ οὐρανοὶ*
τὸν ἐπὶ θρόνου δόξης

Ὁ Χριστὸς ἐξ οὐρανοῦ·
ἑτοιμασθῶμεν πάντες
πρὸς ἀπάντησιν
τοῦ ἐν ἁγναῖς καρδίαις·
τὸν γεννώμενον
ἐκ παρθένου ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Πῶς ὁ πάντων βασιλεὺς
ἐν τῷ σπηλαίῳ ἔρχῃ
κατοικίζεσθαι
καὶ ἐν ἀλόγων φάτνῃ
ἀνακλίνεσθαι;
εὐλογεῖτε, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἐπὶ θύραις ὁ Χριστός·
ἡ γὰρ παρθένος τίκτειν
κατεπείγεται
ἐν Βηθλεὲμ τὸν κτίστην·
ἑτοιμάσθητε
ξεναγῆσαι ὑμνοῦντες
καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. * Χαῖρε, ὄρος τοῦ Θεοῦ·
χαῖρε, παστὰς ἁγία·

---

heirm. η' EE 230, n. 330, Andreae 49 post ὑπερυψοῦμεν orat. abrumpitur 56 post ὑπ(ερυψοῦτε) orat. abrumpitur 58 τίκτειν scripsi: τίκτει cd. 60 ἐμβηθλεὲμ 62, 63 ὑμνοῦντες, ὑπερυψοῦντες scripsi: ὑμνοῦσα, ὑπερυψοῦσα cd. 63 post π(άντας) orat. abrumpitur 64-70 θεοτ. Anth I, μβ'

---

64 Dan. 9,20

χαῖρε, τράπεζα·
χαῖρε, χρυσῆ λυχνία·
χαῖρε, ἄνανδρε
παιδοτόκε Μαρία·
σέ, ἁγνή, αἰνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

f. 162v ᾠδὴ θ'. *Εὐλογητὸς Κύριος*
ὁ Θεὸς τοῦ Ἰσραήλ

Εὐλογητὸς Κύριος
ὁ δι' ἔλεος πολὺ
παρθενικὴν
μήτραν κατοικήσας, ἐξ ἧς
τὴν σάρκα ἀρρήτως προσέλαβες·
σὲ πάντες ὑμνοῦμεν γηγενεῖς
προεορτάζοντές σου
καὶ τὰ θεοφάνια
ἐν ἀγαλλιάσει.

Πάντα τὰ ἔθνη ψάλατε
καὶ κροτήσατε χεῖρας,
ὅτι ἦλθε
νῦν ἡ προσδοκία ἡμῶν,
Χριστὸς ἐκ παρθένου γεννώμενος·
ὁ ἔχων τὸν θρόνον οὐρανόν,
τὴν δὲ γῆν ὑπὸ πόδας
καταλύειν ἔρχεται
ἐν μικρῷ σπηλαίῳ.

Ἡ Βηθλεὲμ γίνεται
ὑπερτέρα τῆς Ἐδέμ·
ἐν ταύτῃ γὰρ

70 post αἰνοῦμεν orat. detruncatur
heirm. θ' ΕΕ 228-229, n. 327, Andreae   73 παρθενικῇ

66 Ez. 41,22   67 Zach. 4,2   80-81 Ps. 46,2   85-86 Is. 66,1

ξύλον ἐκβλαστάνει ζωῆς,
Χριστός, ἡ τρυφὴ ἡ ἀθάνατος,
ἐκ κόρης γεννώμενος ἁγνῆς·
ἐξ οὗ μεταλαμβάνον
ἀπαθανατίζεται
τῶν βροτῶν τὸ γένος.

θεοτ. Ὡς προφήτης κέκραγεν·
ἡ παρθένος, ἐν γαστρὶ
συλλαβοῦσα
τίκτεις ἀνεκφράστως υἱόν,
Χριστὸν τὸν σωτῆρα καὶ Κύριον,
τὸν ὅρον καὶ Λόγον τοῦ Πατρός·
διὸ καὶ συνελθόντες
οἱ πιστοί, πανύμνητε,
μακαρίζομέν σε.

95 μεταλαμβάνων   104 συνελθῶτες

99-102 Is. 7, 14

IN SANCTUM IGNATIUM

Synaxarium, 329-330: Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰ γ ν α τ ί ο υ ἐπισκόπου Ἀντιοχείας τῆς Συρίας, τοῦ θεοφόρου. Οὗτος ἦν διάδοχος τῶν ἀποστόλων τῆς Ἀντιοχέων ἐκκλησίας, δεύτερος μετὰ Εὔοδον πατριάρχης καταστάς, μαθητὴς γεγονὼς Ἰωάννου τοῦ θεολόγου ἅμα Πολυκάρπῳ ἐπισκόπῳ τῆς Σμυρναίων ἐκκλησίας. Προσήχθη δὲ Τραϊανῷ τῷ βασιλεῖ ⟨ἀπερχομένῳ⟩ ἐπὶ Πάρθους, καὶ πολλὰ αὐτῷ διαλεχθεὶς καὶ τὸ ἀμετάθετον τῆς εἰς Χριστὸν αὐτοῦ πίστεως γνωρίσας τῷ βασιλεῖ, ἀπεστάλη δεδεμένος ὑπὸ δέκα στρατιωτῶν ἐν τῇ Ῥώμῃ, θηρίοις γενέσθαι βορά. Στηρίξας οὖν τὰς κατὰ πόλιν ἐκκλησίας, ἐν αἷς διήρχετο, εἰς τὴν Ῥώμην ἀχθεὶς προσηύξατο ὑπὸ τῶν θηρίων βρωθῆναι· « Ἵνα, φησίν, ἄρτος γένωμαι καθαρὸς τῷ Θεῷ ». Ὅθεν βληθεὶς εἰς τὸ ἀμφιθέατρον, ὑπὸ τῶν ἀφεθέντων ἐπ' αὐτὸν θηρίων διεσπάσθη, καταλιπόντων μόνα τὰ τραχύτατα τῶν ὀστέων αὐτοῦ, ἃ συλλεγέντα ἀπεκομίσθησαν εἰς Ἀντιόχειαν. Οὗτος δὲ ἦν ὁ μακάριος, ὃν ἔτι νήπιον ὄντα κρατῆσαί φασι τὸν δεσπότην Χριστὸν καὶ ἐναγκαλισάμενον εἰπεῖν· « Ἐὰν μή τις ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ ὃς ἐὰν ἕνα τῶν τοιούτων παίδων δέξηται ἐν τῷ ὀνόματί μου, ἐμὲ δέχεται ». Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Sinait. gr. 578 = Σc, ff. 41v-44v
[Crypt. Δ.α. XIV = Cf, ff. 166-172
Crypt. Δ.α. IV = Ce, ff. 143v-149v]

Canon secundum traditionem cd. Sinait. gr. 578 = Σc

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠδὴν ἐπινίκιον*

* Φαιδρῶς ἑορτάζοντες
εὐωχηθῶμεν·
ὁ μάρτυς Ἰγνάτιος

tit. Κανὼν εἰς τὸν ἅγιον ἱερομάρτυρα ἰγνάτιον τὸν θεοφόρον et in marg. Ἀνδ(ρέου) Σc Ὁ κανὼν τοῦ ἁγίου Ἰγνατίου Cf Ὁ κανὼν τοῦ ἁγίου· ποίημα Στουδίτου Ce

heirm. α' EE 11, n. 15, Andreae; heirm. integrum servat Ce; trop. stellullis instructa ed. in MR II, 555-564, invenies

ἱερῶς προτρέπεται
τὴν Ἐκκλησίαν Χριστοῦ
ἐπὶ τὴν ἄθλησιν αὐτοῦ
τὴν πολυύμνητον.

* Τὴν ἔνδοξον μνήμην σου
πάντες τιμῶμεν,
παμμάκαρ Ἰγνάτιε,
καὶ ψαλμοῖς γεραίρομεν
τὸν στεφανώσαντα
τὴν πάνσεπτόν σου κορυφήν,
ὅτι δεδόξασται.

« Ξεέσθωσαν σάρκες μου·
αἷμα ῥαινέσθω·
τῷ ἔρωτι σπένδομαι,
πρὸς θηρία ἕτοιμος,
πρὸς ἀλεσμὸν εὐπρεπής,
πρὸς πῦρ, πρὸς ξίφος, πρὸς βοράν »,
μάρτυς, ἀνέκραζες.

Τὴν σάρκα ἐσταύρωσας
τῷ ἐραστῇ σου·
διὸ καὶ ἀνέκραζες·
« ὁ ἐμὸς ἐσταύρωται
Χριστός, ἡ πάντων ζωή·
αὐτὸν ποθῶ, αὐτὸν ζητῶ,
αὐτοῦ καὶ σπεύδω τυχεῖν ».

14 θεομακάριστε MR 15-21, 22-28 trop. inverso ordine praebent Ce Cf 19 εὐτρεπής Cf 20 ξίφη Cf 26 ἡ πάντων ζωὴ] ὁ ἔρως τοῦ ζῆν Cf Ce

15-21 PG 5,689: Ἄφετέ με θηρίων εἶναι βορὰν δι' ὧν ἔνεστι Θεοῦ ἐπιτυχεῖν ... 692: Ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων καὶ εὔχομαι ἕτοιμά μοι εὑρεθῆναι... Κἂν αὐτὰ δὲ ἄκοντα μὴ θελήσῃ ἐγὼ προσβιάσομαι ... Πῦρ καὶ σταυρός, θηρίων τε συστάσεις, ἀνατομαί, διαιρέσεις, σκορπισμοὶ ὀστέων, συγκοπὴ μελῶν, ἀλησμὸς ὅλου τοῦ σώματος, κακαὶ κολάσεις τοῦ διαβόλου ἐπ' ἐμὲ ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω...

25-28 PG 5,692: Ἐκεῖνον ζητῶ, τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα· ἐκεῖνον θέλω τὸν δι' ἡμᾶς ἀναστάντα ... 17,693: Ὁ ἐμὸς ἔρως ἐσταύρωται ...

* Τοῦ Παύλου μιμούμενος
τοὺς κατὰ τόπον
κινδύνους, Ἰγνάτιε,
καὶ ὑπάρχων δέσμιος
οὐ κατενάρκησας
στηρίζων γράμμασι πυκνοῖς
τὰς ἐκκλησίας Χριστοῦ.

Τὸ πῦρ τῆς καρδίας σου
ἄυλον ἔχων
κινοῦν σε πρὸς ἔρωτα
τοῦ Χριστοῦ ἀνέκραζες·
« οὐκ ἔστι πῦρ ἐν ἐμοί,
ἀλλ' ὕδωρ ἔνδον μοι λαλοῦν·
δεῦρο πρὸς τὸν πατέρα ».

τριαδ. * Τριὰς ὑπερούσιε,
μία θεότης,
μονὰς ὑπεράγαθε,
τοὺς πιστῶς βοῶντάς σοι
« ἅγιος, ἅγιος,
ἅγιος εἶ, δημιουργέ »,
σῶσον ἐλέησον.

---

34 ποικνοῖς Σc 36-42 hoc trop. tantum Σc profert 42 δεύρω Σc 43-49 τριαδ. atque omnia τριαδ. canon. om. Cf Ce 45 ὑπεράγαθε] Τρισυπόστατε MR

29-35 PG 5,16: Πλέων δέ, καὶ ἐπιστὰς τῇ Σμύρνῃ ... ἔγραψε πρὸς Ἐφεσίους ἐπιστολὴν μίαν, ἄλλην πρὸς Μαγνησιανούς, τρίτην πρὸς Τραλλιανούς, τετάρτην πρὸς Ῥωμαίους· κἀκεῖθεν ἐξιὼν ἔγραψε Φιλαδελφεῦσι, καὶ Σμυρναίοις, καὶ εἰδικῶς πρὸς Πολύκαρπον ...

40-42 PG 5,693: ... οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον ὕδωρ δὲ ζῶν καὶ λαλοῦν ἐν ἐμοί, ἔσωθέν μοι λέγον· Δεῦρο πρὸς τὸν Πατέρα ... 813: ... οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλοῦν τι· ὕδωρ δὲ ζῶν, ἀλλόμενον ἐν ἐμοί, ἔσωθέν μοι λέγει· Δεῦρο πρὸς τὸν Πατέρα ...

29-33 Act. 27,1-28,16

θεοτ. Ἐδέμ, εὐτρεπίσθητι·
ἡ Εὐφραθᾶ γὰρ
τῷ κτίστῃ ἡτοίμασται
γεννηθῆναι μέλλοντι
ἐκ τῆς παρθένου μητρὸς
ἐν τῷ σπηλαίῳ Βηθλεὲμ
δι' εὐσπλαγχνίαν πολλήν.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Εὐφράνθητι,
οὐρανέ, καὶ ἀγάλλου
ἐπὶ τοῖς ἄθλοις τοῦ ἱεράρχου·
ἡ γὰρ γῆ ἁγιάζεται.

f. 42 ‖ Ἀγάλλονται
οὐρανῶν αἱ δυνάμεις
ἐπὶ τῇ μνήμῃ τοῦ ἱεράρχου
καὶ ἡμεῖς ἑορτάζομεν.

Οὐκ ἔπαυσας
τοῖς δεσμοῖς δεδεμένην
τὴν ἱεράν σου χεῖρα τοῦ γράφειν
τὰ θεόγραφα λόγια.

Μεσίτευσον
πρὸς Θεὸν ταῖς εὐχαῖς σου,
ἱερομάρτυς, τῇ οἰκουμένῃ
τὴν εἰρήνην αἰτούμενος.

---

heirm. β' EE 13, n. 17, Andreae 57-107 ode β' desideratur in Ce vv. 57-72 tantum Σc porriguntur; eosdem om. Cf 59 ἀθλοῖς Σc

---

65-68 Cfr. vv. 29-35.

50-52 Ps. 131, 6

Εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι Θεὸς ἐγώ εἰμι

Ἴδετε, ἴδετε
ὅτι Θεὸς ἐγώ εἰμι
ὁ ἁγιάσας νηπιόθεν
τὸν ποιμένα καὶ διδάσκαλον ὑμῶν
καὶ φαιδρύνας τὴν μνήμην
τῆς ἀθλήσεως αὐτοῦ
τῇ ἐξουσίᾳ μου.

Τίς τοὺς ἀγῶνάς σου,
τίς τὰ δεσμὰ ἐξείπῃ τῶν μελῶν,
τοὺς κατὰ τόπον διωγμούς,
τοὺς ἀνενδότους αἰκισμοὺς καὶ σπαραγμοὺς
καὶ τὰς θλίψεις ἐκείνας,
δι' ὧν ἔπλεξας σαυτῷ
στέφανον ἀφθαρσίας;

Δρόμον ἐτέλεσας
μαρτυρικῷ θεσμῷ ἀθλητικῶς
ἀποσκοπῶν πρὸς τὸ βραβεῖον,
ἀθλητά, τῆς ἄνω κλήσεως Χριστοῦ
καὶ δραμὼν εἰς τὸ σκάμμα
ἀνεπλέξω νομίμως
στέφανον ἀφθαρσίας.

τριαδ. Ἄναρχε, ἄκτιστε
Τριὰς ἁγία, ἄχραντε μονάς,
ἡ τρισυπόστατος ἑνὰς
καὶ ὁμοούσιος Τριάς, τοῖς Χερουβὶμ
καὶ ταῖς ἄνω χορείαις

---

heirm. β' ἄλλος ΕΕ 13, n. 17, Andreae   heirm. 2 Θεὸς] αὐτὸς ΕΕ
81 ἐξείπει Cf   83 σπαραγμοὺς] πειρασμοὺς Cf   88 μαρτυρικῶν θεσμῶν Cf

---

87 II Tim. 4,7   89-90 Philip. 3,14

ὑμνουμένη ὡς Θεός,
σῶσον τὸν κόσμον σου.

θεοτ. Μόνη ἐχώρησας
τὸν μηδαμοῦ χωρούμενον Θεόν,
ὃν ἀνυμνεῖ τὰ Χερουβὶμ
καὶ προσκυνεῖ τὰ Σεραφὶμ μετὰ σαρκὸς
ἐν σπηλαίῳ τεχθέντα
ἐν τῇ πόλει Βηθλεέμ,
θεογεννῆτορ, ἐκ σοῦ.

ᾠδὴ γ'. *Λίθον*
ὃν ἀπεδοκίμασαν

* Τύπος
ἱερᾶς ἀθλήσεως
ἀνεδείχθης, πάτερ,
στήλη καρτερίας
καὶ κανὼν ἀνδρείας
καὶ στῦλος Ἐκκλησίας
καὶ πίστεως ἔρεισμα
καὶ ἀρετῆς ὑπογραμμός,
ἄθλοις σεπτοῖς
στεφανωθεὶς ἐν Χριστῷ.

* Ὄντως
φερωνύμως κέκλησαι
θεοφόρος, πάτερ·
νήπιος γὰρ ἔτι
κομιδῇ ὑπάρχων
εἰς χεῖρας τοῦ Κυρίου
φερόμενος ἵπτασο
ἀναφωνοῦντος πρὸς ἡμᾶς·
« γίνεσθέ μοι
ὡς τὸ παιδίον τοῦτο ».

---

101 ἐχώρεσας Cf
heirm. γ' ΕΕ 11, n. 15, Andreae; heirm. integrum profert Cf
110 πάτερ] μάκαρ MR   124 ἵπτασο] ἵστασο MR

126-127 Matth. 18,3-4

* Ποῖος
τόπος οὐχ ἡγίασται
τοῖς παθήμασί σου;
ποίᾳ παροικίᾳ
οὐκ ἐγνώσθης, μάρτυς,
ἢ ποία φυλακή σε
σχεδὸν οὐκ ἐδέξατο
δέσμιον μάρτυρα Χριστοῦ;
ζῆλος γάρ σε
θεῖος ἠρέθιζεν.

* « Σῖτος
καθαρὸς Θεοῦ εἰμι »
ἀνεβόας λέγων·
« σπεύδω ἀλεσθῆναι
f. 42v ὑπὸ θηρῶν || ἀγρίων·
θλασθήτω τὰ ὀστᾶ μου·
βρωθήτω τὰ μέλη μου
καὶ βρῶμα γένωμαι θηρῶν,
ἵνα Θεοῦ
καθαρὸς ἄρτος ὀφθῶ ».

τριαδ. * Μίαν
προσκυνῶ θεότητα
ὡς ἀρχὴν καὶ τέλος
πάντων τε τῶν ὄντων
καὶ τῶν γεγονότων
καὶ τῶν γενησομένων,
Πατέρα ἀγέννητον,

---

129 οὐχ] οὐκ Σc 139 Θεοῦ εἰμι] Θεῷ ἡμῶν MR 140 λέγων] πάτερ Cf Ce πέλων MR 143 τὰ ὀστᾶ μου] μου τὸ σῶμα Ce 146 Θεοῦ] Θεῷ Cf Ce Χριστῷ MR 147 ὀφθῶ] φανῶ Cf Ce 150 ἐν τρισὶ προσώποις MR 151 ὡς ἀρχὴν καὶ τέλος MR 152 πάντων τε τῶν ὄντων MR

138-147 PG 5,16: Σῖτος Ἰησοῦ Χριστοῦ εἰμι, καὶ εὔχομαι τοῖς ὀδοῦσι τῶν θηρίων ἀλησθῆναι, ἵνα ἄρτος καθαρὸς εὑρεθῶ... 689: Ἄφετέ με θηρίων εἶναι βορὰν δι' ὧν ἔνεστι Θεοῦ ἐπιτυχεῖν. Σῖτός εἰμι Θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀλήθωμαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ τοῦ Χριστοῦ...

Υἱὸν ἀχρόνως γεννητόν,
Πνεῦμα εὐθὲς
ἐκπορευτὸν ἐκ Πατρός.

θεοτ. * Δεῦρο,
Ἡσαΐα, βόησον·
ἰδοὺ ἡ παρθένος
ἔχει ἐν κοιλίᾳ
τὸν λυτρωτὴν τοῦ κόσμου
καὶ τίκτει ἐν σπηλαίῳ
καὶ ἔσται τὸ ὄνομα
τοῦ τικτομένου Ἰησοῦς,
Θεὸς μεθ' ἡμῶν,
Ἐμμανουὴλ Σαβαώθ.

ᾠδὴ δ'. *Ἐν πνεύματι προβλέπων*

* Ἐφαίδρυνας τῇ αἴγλῃ
τῶν ἄθλων σου τὴν γῆν,
ἱερὲ Ἰγνάτιε,
δεσμώτης ἀπαχθείς·
διαδραμὼν γὰρ
ὡς ἥλιος ταῖς ἀκτῖσι
τοῦ μαρτυρίου
τὴν Ἑσπέραν ἐξ Ἑῴας
πᾶσαν δᾳδουχῶν κατεφώτισας.

---

161 ἔχει] φέρει Cf Ce 165 Ἰησοῦ Cf Ce 166-167 Ἐμμανουὴλ / μεθ' ἡμῶν ὁ Θεὸς Cf Ce
heirm. δ' EE 11, n. 15, Andreae

175-176 PG 5,688: ... ὅτι τὸν ἐπίσκοπον Συρίας ὁ Θεὸς κατηξίωσεν εὑρεθῆναι εἰς δύσιν ἀπὸ ἀνατολῆς μεταπεμψάμενος ...

158-167 Is. 7,14

* Ὡς Παῦλος δεδεμένος
θηρίοις λογικοῖς
ἐπὶ Ῥώμην ἔτρεχες,
Ἰγνάτιε σοφέ·
ἀλλ' οὐκ ἐπαύσω
καὶ δέσμιος ὢν στηρίζειν
τὰς ἐκκλησίας,
ἐπιστέλλων κατὰ πόλιν
πᾶσι τοῖς Χριστοῦ ἱεράρχαις θαρρεῖν.

* « Χριστοῦ σπεύδω γενέσθαι·
Χριστοῦ μόνου ἐρῶ·
ὅλος γὰρ Χριστοῦ εἰμι »,
ἐβόας, ἀθλητά·
« αὐτὸν διώκω,
αὐτὸν ἐπείγομαι φθάσαι
καὶ διὰ τοῦτο
πῦρ καὶ ξίφη καὶ θηρία
πάντα καρτερῶ, ἵνα τύχω τοῦ ζῆν ».

« Γλυκεῖά μοι ἡ θλῖψις,
ἡδέα τὰ δεσμὰ
διὰ τὸν ποθούμενον »,
ἐβόας, ἀθλητά·
« οἱ διωγμοί μου
γλυκύτεροι τῆς πατρίδος·
οἱ ἀλεσμοί μου
ὑπὲρ πᾶσαν εὐφροσύνην·
οἱ πόνοι ὑπὲρ πᾶσαν ὑγείαν σαρκός ».

---

188 ὅλως Σc   193 ξίφος MR   194 τοῦ ζῆν] αὐτοῦ MR   195-203 hoc trop. tantum Σc profert, cett. cdd. omittunt   195 θλίψεις Σc

---

181-185 Cfr. vv. 29-35.
186-203 PG 5,692: Μηδέν με ζηλώση τῶν ὁρατῶν καὶ ἀοράτων ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. 813: Τὸν Κύριον ποθῶ, Ἰησοῦν τὸν Χριστόν... Ζῶν γὰρ γράφω ὑμῖν, ἐρῶν τοῦ διὰ Χριστὸν ἀποθανεῖν... Cfr. etiam vv. 15-21 et 25-28.

* « Θηρίων μοι γενέσθω
τὰ στόματα σφαγὴ
καὶ γαστέρες μνήματα »,
ἐβόας, ἀθλητά·
« μή τις ὀχλείτω,
μηδείς μου θρύψῃ τὸν πόνον·
ἐγὼ γὰρ σπεύδω
ἀλεσθῆναι ὥσπερ σῖτος
καὶ ἄρτος εὑρεθῆναι Θεοῦ καθαρός ».

τριαδ. * Τριάδα ἐν μονάδι
δοξάσωμεν, πιστοί,
ἀσιγήτοις ᾄσμασι
βοῶντες πρὸς αὐτήν·
« ἡ ἐν μονάδι
Τριὰς ἡ προσκυνουμένη
καὶ ἐν τριάδι
τῶν προσώπων ὑμνουμένη,
δόξα σοι τιμὴ καὶ προσκύνησις ».

θεοτ. * Σπηλαίῳ ὑπογαίῳ
τεχθῆναι δι' ἡμᾶς
Θεὸς ὢν ἠξίωσας,
πτωχεύσας, ἀγαθέ,
τὴν ἡμετέραν
πτωχείαν δι' εὐσπλαγχνίαν
καὶ ἐκ παρθένου
προελθὼν σεσαρκωμένος
[καὶ] μείνας εἷς Υἱὸς ἐκ Πατρὸς καὶ μητρός.

---

208 μή τις] μηδεὶς MR   209 θρύψει MR   πόνον] τόνον MR   218 ἡ] ἁγία MR   220 ὑμνουμένη] ἀσυγχύτως MR   221 τιμὴ καὶ προσκύνησις] Τριὰς ὁμοούσιε MR   225 πτωχεῦσαι Σc   230 καὶ expunxi; idem om. MR Υἱὸς om. Cf Ce

---

204-212 PG 5,689: Παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένησθέ μοι. Ἄφετέ με θηρίων εἶναι βοράν, δι' ὧν ἔνεστιν Θεοῦ ἐπιτυχεῖν. Σῖτός εἰμι Θεοῦ καὶ δι' ὀδόντων θηρίων ἀλήθωμαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ τοῦ Χριστοῦ. Μᾶλλον κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται, καὶ μηδὲν καταλίπωσι τοῦ σώματός μου...
211-212 Cfr. vv. 138-147.

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

f. 43 * ‖ « Τοιοῦτος ἡμῖν ἔπρεπε
σοφὸς ἀρχιερεύς,
ὅσιος, πιστός,
ἀμίαντος, ἄκακος »
βοῶν ὁ Παῦλος
προανέγραφε
τὴν ἱερὰν εἰκόνα
τῶν ἱερῶν σου τρόπων.

* Κανόνα ἀπαράτρωτον
καὶ τύπον εὐσεβῆ
ἔχοντες τὴν σὴν
τοῦ βίου ἀκρόπολιν
πρὸς ταύτην, πάτερ,
ἀναγόμεθα
οἱ τῆς ἀρχαίας δόξης
τυχεῖν ἐπιποθοῦντες.

Τῷ πόθῳ ἁμιλλώμενος
τοῦ Παύλου τὰ δεσμὰ
ἔχων ἐν χερσὶ

heirm. ε' EE 11, n. 15, Andreae 233 πιστῶς Σc 236 προϋπέγραψε Ce προϋπέγραφε Cf MR 238 τρόπων] πόνων Cf Ce 239-246 hoc trop. tantum Σc profert 240 τύπων Σc εὐσεβεῖ Σc 244 ἐναγόμεθα Σc 247-254 trop. deest in Cf Ce

247-254 PG 5,984-985: Μετὰ πολλῆς τοίνυν προθυμίας καὶ χαρᾶς ἐπιθυμίᾳ τοῦ πάθους, κατελθὼν ἀπὸ 'Αντιοχείας εἰς τὴν Σελεύκειαν ἐκεῖθεν εἴχετο τοῦ πλοός· καὶ προσχὼν μετὰ πολὺν κάματον τῇ Σμυρναίων πόλει... ἔσπευδε τὸν ἅγιον Πολύκαρπον... θεάσασθαι...ἀναχθεὶς ἀπὸ τῆς Σμύρνης...προσέσχε τῇ Τρῳάδι. Εἶτα ἐκεῖθεν καταχθεὶς ἐπὶ τὴν Νεάπολιν, διὰ Φιλίππων παρώδευεν Μακεδονίαν, καὶ περὶ τὴν Ἤπειρον τὴν πρὸς 'Επίδαμνον, ἐν τοῖς παραθαλαττίοις νηὸς ἐπιτυχών, ἔπλει τὸ 'Αδριατικὸν πέλαγος, κἀκεῖθεν ἐπιβὰς τοῦ Τυρρηνικοῦ καὶ παραμείβων νήσους τε καὶ πόλεις, ὑποδειχθέντων τῷ ἁγίῳ Ποτιόλων, αὐτὸς μὲν ἐξελθεῖν ἔσπευδεν, κατ' ἴχνος βαδίζειν ἐθέλων τοῦ ἀποστόλου Παύλου...

231-235 Hebr. 7,26

τὸν κόσμον διέδραμες,
ἱερομάρτυς,
ἵνα εὔδηλος
τοῖς ἱεροῖς ἄθλοις
ἀναφανῇς τοῖς πᾶσιν.

Ὑμνοῦμεν τοὺς ἀγῶνάς σου,
τιμῶμεν τὰ δεσμά,
μύροις καὶ ψαλμοῖς
τὴν κόνιν γεραίροντες
τῶν σῶν λειψάνων,
ὡς ἀρώμασιν
ἐσμυρνισμένην, μάρτυς,
τοῖς ἱεροῖς σου ἄθλοις.

* Ὡς στῦλος καὶ ἑδραίωμα
καὶ πρόβολος ἡμῶν,
μάρτυς καὶ ποιμήν,
ἀσάλευτον φύλαττε
τῆς 'Εκκλησίας
τὴν ὁμόνοιαν
ἐν τῇ ὁμολογίᾳ
τῆς Χριστοῦ ἀληθείας.

τριαδ. * Τριάδος τὸ ὁμότιμον
ὑμνῶ καὶ προσκυνῶ,
μίαν προσφυῶς
δοξάζων θεότητα
τρισὶ προσώποις
ἀδιαίρετον
καὶ ἐν μιᾷ οὐσίᾳ
ἀεὶ γνωριζομένην.

θεοτ. * Θεὸς ἀνθρώποις ὅμοιος
γενόμενος ἐκ σοῦ
βρέφος δι' ἡμᾶς

270 ἀληθείας] παρουσίας Cf Ce

γεννᾶται, θεόνυμφε,
καὶ μένει ὅλος
ἀναλλοίωτος
καὶ ἐν σαρκὶ ὁρᾶται
Θεὸς ἐνανθρωπήσας.

ᾠδὴ ϛ'. *Τὸν προφήτην Ἰωνᾶν*

* Ὡς τὸ ὄντως ἐραστὸν
ἀγαπήσας ἀκλινῶς
καὶ τὸ πῦρ τὸ πρὸς αὐτὸ
ἀναφλέξας νοερῶς,
Ἰγνάτιε,
τὸ ὕδωρ ἔσχες
ἐν σοὶ τὸ ζῶν καὶ λαλοῦν.

* Τὸ μαρτύριον τῆς σῆς
συνειδήσεως πληρῶν
οὐκ ἐνάρκησας ὁρῶν
τῶν θηρίων τὰς ὁρμάς,
οὐκ ἔπτηξας
ὡς σῖτος μέλλων
μύλαις ἀλήθεσθαι.

* Τοὺς μακρούς σου διωγμοὺς
καὶ τὰ ἄλυτα δεσμά,
τοὺς ἐν Ῥώμῃ σπαραγμοὺς
καὶ τὸ πῦρ τῶν δικαστῶν
οὐδὲν ἡγοῦ,
ἱερομάρτυς,
διὰ τὸν σὸν ἐραστήν.

---

283 ὅλως MR
heirm. ϛ' EE 12, n. 15, Andreae 287 τὸν ... ἐραστὴν Cf Ce MR 289 αὐτῷ Σc αὐτὸν Cf Ce MR 293 τῷ Σc 301 διωγμοὺς] πειρασμοὺς MR 303 σπαραγμοὺς] πειρασμοὺς Cf Ce 304 τῷ Σc δικαστῶν] διωκτῶν Cf Ce MR

292-293 Cfr. vv. 40-42 299-300 Cfr. vv. 138-147 301-307 Cfr. vv. 186-203

* Εἰ καὶ ἔπιες Χριστοῦ
τὸ ποτήριον καινόν,
ἀλλ' ἐνέμεινας διψῶν
τὸ παθεῖν ὑπὲρ τὸ ζῆν
καὶ ἔκραζες·
« οὐδέν μοι ταῦτα
πρὸς τὸ τυχεῖν με τοῦ ζῆν ».

τριαδ. * Ὑπερούσιε Τριάς,
ὑπεράγαθε μονάς,
ὁ Πατὴρ καὶ ὁ Υἱὸς
καὶ τὸ Πνεῦμα τὸ εὐθές,
ἐλέησον
τοὺς σὲ ὑμνοῦντας
εἰς τοὺς αἰῶνας· ἀμήν.

θεοτ. * Εὐτρεπίζου, Βηθλεέμ,
ἑτοιμάζου, Εὐφραθᾶ·
ὁ ἀμήτωρ ἐκ πατρὸς
καὶ ἀπάτωρ ἐκ μητρὸς
βαστάζεται,
κυοφορεῖται,
τίκτεται, σώζει ἡμᾶς.

f. 43v || ᾠδὴ ζ'. *Τοὺς ἐν καμίνῳ παῖδάς σου, σωτήρ,*

* Οὐκ ἔσχες πῦρ φιλόυλον ἐν σοί,
Ἰγνάτιε,
ὕδωρ δὲ ζῶν μᾶλλον καὶ λαλοῦν,
ὕδωρ καλοῦν

308-314 hoc trop. tantum Σc praebet 311 τὸ ζῆν MR: τοῦ ζῆν Σc 318 Πνεῦμα τὸ εὐθὲς MR: ἅγιον Πνεῦμα Σc 320 σὲ ὑμνοῦντας] προσκυνοῦντας MR 321 τὸ θεῖον κράτος σου MR 328 σώζει ἡμᾶς ὡς Θεὸς Cf Ce σώζει] σώζων MR
heirm. ζ' EE 12, n. 15, Andreae heirm. 1 Τοὺς] Τῶν EE παίδων EE 332-333 Δεῦρο πιστῶς / πρὸς τὸν πατέρα ἄνω MR

308-314 Cfr. vv. 186-203; cfr. etiam PG 5,693: ... καὶ πόμα Θεοῦ θέλω, τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγάπη ἄφθαρτος, καὶ ἀέννaος ζωή.
329-337 Cfr. vv. 40-42.

« δεῦρο πρὸς τὸν πατέρα »,
ὕδωρ τὸ ἀλλόμενον
τὸ ἐκ ζωῆς εἰς ζωὴν
μετοχετεῦον ἡμᾶς.

* « Τὸ ζῆν ἐμοὶ οὐκ ἔστιν ἐραστὸν
ἐν σώματι·
πνεύματι γὰρ ζωὴν ἐπιθυμῶ·
ἐμοὶ τὸ ζῆν
Χριστὸς ὁ θεῖος ἔρως·
πρὸς αὐτὸν ἐπείγομαι,
αὐτόν », φησίν, « ἀγαπῶ,
αὐτοῦ τυχεῖν προσδοκῶ ».

* « Ἐμοὶ γλυκὺς ὁ θάνατος », φησίν·
ἡδέα μοι
πάντα τὰ τῶν πόνων ἀλγεινά·
θῆρες τερπνοί,
δρόσος τὸ πῦρ ἐστιν ἐν ἐμοί,
εἰ τοῦ ζῆν ἀνθέξομαι·
διὸ καὶ σπεύδω θανεῖν,
ἵνα συζήσω Χριστῷ.

* « Οἱ τῶν θηρῶν ὀδόντες μοι », φησί,
« γενέσθωσαν
ξίφη καὶ ῥομφαῖαι καὶ σφαγαί,
τάφος δέ μοι
τὰ τῶν λεόντων σπλάγχνα
καὶ τὸ πῦρ νεμέσθω μου
πρὸ τῆς φθορᾶς
τῆς δορᾶς τὸ ἐγκατάλειμμα ».

---

339 ζωὴν ἐπιθυμῶ] ζῆν ἐπιθυμῶ Cf Ce ζῆν ἐπιποθῶ MR 349 ἐν ἐμοὶ] μοι Cf Ce μοι τοῦτο MR 350 εἰ τοῦ ζῆν] ἵνα τῆς ζωῆς Cf ἵνα ζωῆς Ce 355 ξίφει Σc ῥομφαῖαι] τροχοί τε Cf Ce σφαγὴ Cf Ce 357 post σπλάγχνα MR ἔστω addidit 358 νεμέσθω] γενέσθω Σc

---

345-352 PG 5,816: Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκ ἔτι ἐγώ, ἐπειδήπερ ζῇ ἐν ἐμοὶ ὁ Χριστός... Cfr. etiam vv. 15-21.
353-360 Cfr. vv. 204-212.

τριαδ. * Τριὰς ἁγία, δόξα σοι· μονὰς
ἀμέριστε,
ἄκτιστε, μακάριε Θεέ
μου, ὁ Πατήρ,
Υἱὲ Πατρὸς καὶ Λόγε,
ζωοποιὲ Παράκλητε,
ὁ εἷς τὰ τρία Θεός,
πάντας ἐλέησον.

θεοτ. * Ὁ τοῖς προφήταις πάλαι προρρηθεὶς
ἐγγίζει μοι
βρέφος ἐκ παρθένου κυηθείς·
χαίρει Ἀδὰμ
καὶ ἡ προμήτωρ Εὔα
τῶν ὠδίνων λέλυται
καὶ συγχορεύει Δαβίδ,
ὁ τῆς τεκούσης πατήρ.

ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι*

* Ὑμνείσθω Ἰγνάτιος
ὁ μέγας ἱερεὺς
διττῶς στεφανούμενος
ὡς μάρτυς καὶ ποιμήν·
ἀθλήσας γὰρ οὗτος
δι' ἀγάπην Θεοῦ
ἐρῶν τοῦ ἐρᾶσθαι
παθεῖν οὐ παρῃτεῖτο.

* Διψῶν τὸ ποτήριον
τοῦ πάθους τοῦ Χριστοῦ

361-368 τριαδ. Pent. τιδ' 376 τεκούσης] παρθένου MR
heirm. η' EE 12, n. 15, Andreae 377-384 trop. deest in Cf Ce 381 οὕτως Σc

---

385-392 PG 5,816: ... καὶ πόμα θέλω τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγάπη ἄφθαρτος καὶ ἀέναος ζωή. Cfr. etiam vv. 186-203.

δεσμώτης ἀνέτρεχες,
Ἰγνάτιε σοφέ,
καὶ φθάσας τὸ σκάμμα
οὐκ ἐπαύσω βοῶν·
« διψῶ τοῦ διψᾶσθαι
Χριστῷ εἰς τοὺς αἰῶνας ».

* Δεσμοῖς κατεχόμενος
διώδευσας τὴν γῆν
μυρίσας τοῖς ἄθλοις σου
ἡμᾶς τοὺς ἐν αὐτῇ·
καὶ νῦν μετὰ τέλος
ὥσπερ κρίνον ἀγροῦ
καὶ κρίνον πεδίου
ἡμᾶς εὐωδιάζεις.

* Τοῖς δρόμοις τῆς πίστεως
ὡς ἥλιος τὴν γῆν
ἐνθέως διέδραμες
ἀπ' ἄκρων οὐρανῶν
καὶ δύνας ἀδύτως
ἀπὸ γῆς εἰς Χριστὸν
τὸ φῶς συναστράπτεις
αὐτῷ τῆς ἀφθαρσίας.

f. 44 ‖ Ὢ φίλτρου καὶ ζέσεως
ἐνθέου ἐραστοῦ!
ὁ ἔρως ἐσταύρωται
καὶ ζῇ τῷ ἐραστῇ,
διψᾷ τοῦ διψᾶσθαι
καὶ ἐρᾷ τοῦ ἐρᾶν
τοὺς ὑπὲρ τὸ ζῆν
τὸ θανεῖν προελομένους.

---

391 τὸ Σc 392 Χριστῷ] Χριστὸν Cf Ce 393-400, 401-408 trop. inverso ordine praebet Ce 397 τέλους Ce 399 παιδίου Σc 402 τὴν γῆν] φανεὶς Cf τῆς γῆς Ce 403 εὐθέως ἀνέδραμες Cf Ce ἐνθέως] γενναίως MR 404 οὐρανῶν] οὐρανοῦ Cf 406 ἀπὸ] ὑπὸ Σc 407 ἀπαστράπτεις Cf Ce 408 αὐτοῦ Cf Ce 415 τὸ ζῆν] τοῦ ζῆσαι Cf Ce 416 τὸ om. Cf Ce

---

393-396 Cfr. vv. 247-254. 411 Cfr. vv. 25-28.

τριαδ. * Μονὰς οὐσιότητι
ὑμνείσθω ἡ Τριάς·
Τριὰς ὑποστάσεσι
τιμάσθω ἡ μονάς,
ὡς μία τῇ φύσει
τοῖς προσώποις δὲ τρεῖς,
οὐ διαιρουμένη,
οὐ συναλειφομένη.

θεοτ. * Τὸ ἄστρον ἀνέτειλε
Χριστὸς ἐξ Ἰακὼβ
καὶ μάγοι συντρέχουσι
ἐν πόλει Βηθλεὲμ
ὑμνῆσαι, τιμῆσαι,
προσκυνῆσαι αὐτῷ
τεχθέντι ἐκ μήτρας
ἁγνῆς τῆς θεοτόκου.

ᾠδὴ θ'. *Τὴν ζωοδόχον πηγὴν τὴν ἀέναον*

* Ὁ θεοφόρος ἡμᾶς ἑστιάσατο
τοὺς ἱεροὺς αὐτοῦ ἄθλους προθεὶς ἡμῖν·
δεῦτε, φιλομάρτυρες,
ἱερῶς δρεψάμενοι
τὰ μυστικὰ τῶν τερπνῶν ᾀσμάτων ἄνθη
τὰς κορυφὰς ἑαυτῶν στεφανώσωμεν.

* Ὁ ὑπερόπτης τῶν κάτω Ἰγνάτιος
καὶ ὑπηρέτης τῶν ἄνω μυήσεων
ὡς λατρείαν ἄμωμον
τελῶν καὶ τελούμενος
ἱερουργεῖ ἑαυτὸν τῷ μαρτυρίῳ
καὶ πρὸς θηρία καὶ πῦρ ἑτοιμάζεται.

---

424 συναλοιφομένη MR 426 ἐξ] ἐν MR 430 αὐτῷ] Χριστὸν Cf Ce 431-432 τὸν ἐκ τῆς παρθένου / τεχθέντα βασιλέα Cf Ce

heirm. θ' EE 14, n. 18, Andreae 433 ἑστιάσατο cdd. sine incremento, PSALTES 201 436 δρεπόμενοι Cf Ce 439 Ὡς ὑ. τ. κ. Ἰγνάτιε MR 443 ἱερουργεῖς Cf MR ἑαυτὸν Cf Ce: ἑαυτῶν Σc σεαυτὸν MR 444 πρός τε θηρία καὶ πῦρ ἑτοιμαζόμενος MR ἡτοιμάζετο Cf

* Τὴν ἱεράν σου στολήν, ἱερώτατε,
ἱερωτέραν εἰργάσω τοῖς ἄθλοις σου·
διὸ καὶ τὸν στέφανον
διττὸν κομισάμενος
μετὰ μαρτύρων ὑμνεῖς, μετὰ ποιμένων,
ἱερομάρτυς, Χριστὸν τὸν εὐεργέτην.

* « Σῖτος Θεοῦ καθαρός εἰμί », ἔλεγες·
« καὶ ὑπ' ὀδόντων θηρίων ἀλήθομαι,
ἵνα ἄρτος γένωμαι
ἱεροτελούμενος
τῷ ἐραστῇ καὶ Θεῷ κεκαθαρμένος »·
ὃν καὶ ποθῶν τοῦ θανεῖν οὐ παρῃτήσω.

« Οὐκ ἔστι νῦν ἐν ἐμοὶ πῦρ φιλόυλον,
μᾶλλον δὲ ὕδωρ τὸ ζῶν καὶ φθεγγόμενον,
οὔ », φησίν, « αἰσθάνομαι
νοητῶς καλοῦντός με »·
δεῦρο πορεύου λοιπὸν πρὸς τὸν πατέρα,
ὃν καὶ ποθῶν τοῦ θανεῖν οὐ παρῃτήσω.

Ζέων τῷ πόθῳ Χριστοῦ καὶ φλεγόμενος
θῆρας ἠρέθισας τάφους γενέσθαι σοι
καὶ τὸ πῦρ ἐντάφιον
καὶ τὴν κόνιν λείψανα,
ἵνα ἡ πρώτη εἰκὼν νεουργηθεῖσα
τὸ κατ' εἰκόνα Θεοῦ ἐπανθήσῃ σοι.

Σπλάγχνα θηρίων σοι τάφοι γεγόνασιν·
ἔχεις δὲ νῦν τὴν Σιὼν ἐνδιαίτημα
καὶ ζῇς ἐν καινότητι

---

446 ἀθλοῖς Σc 448 διττῶς κοσμησάμενος MR 449 μετὰ ποιμένων] καὶ τῶν ποιμένων MR 450 εὐεργέτην] Θεὸν ἡμῶν MR 451-456 trop. deest in Cf Ce 456 τοῦ θανεῖν scripsi: τὸ θανεῖν Σc (cfr. v. 462) τοῦ θανεῖν οὐ παρῃτήσω] οὐ πτοοῦμαι τὸν θάνατον MR 460 καλοῦντί με Cf 461 πορεύου] μοι λέγων Cf Ce 462 τοῦ θανεῖν] τὸ θανεῖν Σc Ce 464 σοῖ Σc 466 κόνι Ce 468 ἐπανθήσει Σc Cf 469 τάφος Cf Ce

---

451-456 Cfr. vv. 138-147. 457-462 Cfr. vv. 40-42.

ζωηφόρου Πνεύματος
f. 44v ἐν οὐρανοῖς || σὺν Χριστῷ διαιωνίζων
καὶ ἐντρυφῶν τῆς αὐτοῦ ἀγαθότητος.

τριαδ. * Τὸ ὑπεράρχιον φῶς, ἡ ζωὴ ἡμῶν,
Πατήρ, Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον,
τρισὶν ὑποστάσεσι
καὶ μιᾷ θεότητι
ὑπερουσίως ἀεὶ θεολογείσθω,
Τριὰς ἁπλῆ, συμφυὴς καὶ ὁμότιμος.

θεοτ. * Χαῖρε, ἁγνή, τοῦ Θεοῦ πόλις ἔμψυχε,
ἐν ᾗ Θεὸς χωρηθῆναι ηὐδόκησε·
μὴ λιπὼν γὰρ τὰ ἄνω
Θεὸς ὢν ἐσκήνωσεν
ὡς ὑετὸς ἐπὶ γῆς, θεογεννῆτορ,
ἀνακαινίσας ἐμὲ ἐν τῇ μήτρᾳ σου.

---

473 σὺν] τῷ MR διαιωνίζων] συμβασιλεύων MR 474 τῆς] τῇ MR ἀγαθότητος] ὡραιότητι MR 482 ἐν σοὶ Χριστὸς χωρεθεὶς ὡς ηὐδόκησε Σc 483 γὰρ τὰ ἄνω] τὰ ἄνω γὰρ Cf Ce MR 484 πρὸς σὲ καταβέβηκεν MR Θεὸς ὢν] ἐπὶ σοὶ Cf Ce 486 καὶ ἐν τῇ πόλει Βηθλεὲμ βρέφος τίκτεται Cf Ce MR

481-486 Ps. 71,6

20 DEC.

CANON XXXIX (2)

IN SANCTUM IGNATIUM

Crypt. Δ.α. XIV = Cf, ff. 166-172
Crypt. Δ.α. IV = Ce, ff. 143v-149v

f. 166 ‖ Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠιδὴν ἐπινίκιον*

1-7 Φαιδρῶς ἑορτάζοντες
.... = Σc 1-7

8-14 Τὴν ἔνδοξον μνήμην σου
.... = Σc 8-14

* Φωστὴρ διαυγέστατος
τῆς Ἐκκλησίας
ὑπάρχων, Ἰγνάτιε,
καταλάμπεις ἅπαντα
τῆς γῆς τὰ πέρατα
καὶ τὴν Ἑσπέραν δᾳδουχεῖς
ἐκ τῆς Ἑῴας ἐλθών.

22-28 Τὴν σάρκα ἐσταύρωσας
.... = Σc 22-28

29-35 « Ξεέσθωσαν σάρκες μου,
.... = Σc 15-21

---

tit. Ὁ κανὼν τοῦ ἁγίου Ἰγνατίου Cf Ὁ κανὼν τοῦ ἁγίου· ποίημα Στουδίτου Ce
heirm. α' ΕΕ 11, n. 15, Andreae

36-42 Τοῦ Παύλου μιμούμενος
.... = Σc 29-35

θεοτ. 43-49 Ἐδέμ, εὐτρεπίσθητι·
.... = Σc 50-56

f. 166v ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι Θεὸς ἐγώ εἰμι

50-56 Ἴδετε, ἴδετε
.... = Σc 73-79

57-63 Δρόμον ἐτέλεσας
.... = Σc 87-93

Στάδιον ἤνυσας
ὑπὲρ Χριστοῦ, στερρόψυχε ποιμήν·
ἀλλ' οὐκ ἐπαύσω κοπιῶν
καὶ μεριμνῶν καὶ συγκαιόμενος πυρὶ
ὑπὲρ τῶν κατὰ πόλιν
ἱερῶν ἐκκλησιῶν,
δι' ὧν ἐστεφανώθης.

71-77 Τίς τοὺς ἀγῶνάς σου,
.... = Σc 80-86

Θῆρας ἠρέθισας
πρὸς ἐκτομὴν τῶν θείων σου σαρκῶν

---

heirm. β' ΕΕ 13, n. 17, Andreae 50-91 ode β' desideratur in Ce
64 ἤνοισας Cf

66-70 PG 5,11-12,20: ... τὰς κατὰ πόλιν αἷς ἐπεδήμει παροικίας, ταῖς διὰ λόγων ὁμιλίαις τε καὶ προτροπαῖς ἐπιρρωνύς, ἐν πρώτοις μάλιστα προφυλάττεσθαι αἱρέσεις ἄρτι τότε πρῶτον ἀναφυείσας καὶ ἐπιπολαζούσας παρῄνει... Καὶ τὴν Ἐκκλησίαν Ἀντιοχέων ἰθύνας τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο...
78-84 PG 5,692: Ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων καὶ εὔχομαι ἕτοιμά μοι εὑρεθῆναι ἃ καὶ κολακεύσω συντόμως με καταφαγεῖν, οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο. Κἂν αὐτὰ δὲ ἄκοντα μὴ θελήσῃ ἐγὼ προσβιάσομαι... Cfr. etiam canon. XXXIX (1), vv. 15-21.

πρὸς ἀλεσμόν τε τῶν ὀστῶν
καὶ σπαραγμὸν τῆς τῶν μελῶν ἐφαρμογῆς
καὶ πρὸς θρύψιν ἑκάστου
τῶν τοῦ σώματος μελῶν
διὰ τὸν σὸν ἐραστήν.

f. 167 θεοτ. 85-91 ‖ Μόνη ἐχώρησας
.... = Σc 101-107

ᾠδὴ γʹ. *Λίθον*
ὃν ἀπεδοκίμασαν

92-101 Τύπος
ἱερᾶς ἀθλήσεως
.... = Σc 108-117

102-111 Ὄντως
φερωνύμως κέκλησαι
.... = Σc 118-127

* Ξένον
μαρτυρίου στάδιον
καρτερῶς ἀνύσας,
f. 167ᵛ ‖ ξένην παρὰ πάντας
τοὺς προηθληκότας
ἀνδρείαν ἐπεδείξω
τῷ πόθῳ πυρούμενος
τοῦ ἀνενδότου ἐραστοῦ·
ὅθεν ὡς πῦρ
τὴν σὴν ἀνῆψε ψυχήν.

122-131 Ποῖος
τόπος οὐχ ἡγίασται
.... = Σc 128-137

81 ἐφ' ἁρμονῆς Cf 85 ἐχώρεσας Cf
heirm. γʹ EE 11, n. 15, Andreae 114 καρτερῶς] ἱερῶς MR 120 ὅθεν] ὅστις MR 121 ἀνῆπτε MR 123 οὐχ Cf Σc

132-141 Σῖτος
καθαρὸς Θεοῦ εἰμι
.... = Σc 138-147

θεοτ. 142-151 Δεῦρο,
Ἡσαΐα, βόησον
.... = Σc 158-167

Καθίσματα.

⟨Ἦχος γʹ. *Τὴν ὡραιότητα τῆς παρθενίας σου*⟩

Χειροθετούμενος ὑπὸ Χριστοῦ τοῦ Θεοῦ
....

Ἄλλο.

f. 168 Ἦχος γʹ. Πρός· *Θείας πίστεως ὁμολογία*

Θείῳ πνεύματι πεφωτισμένος
....

Ἕτερον.

Ἦχος πλ. δʹ. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

Ἐκ τῆς Ἑῴας ἐκλάμψας ὥσπερ ἀστὴρ
....

133 Θεοῦ εἰμι] Θεῷ ἡμῶν MR
Κάθ., quod in MR II, 557 invenies, ante canon. profert Σc; idem om. Ce
Κάθ. ἄλλο, quod om. Σc, in GIB 207 ed.
Κάθ. ἕτερον MR II, 557 Κάθ. 1 Ἐξ Ἑῴας MR

ᾠδὴ δ'. *Ἐν πνεύματι προβλέπων*

152-160 Ἐφαίδρυνας τῇ αἴγλῃ
.... = Σc 168-176

161-169 Ὡς Παῦλος δεδεμένος
.... = Σc 177-185

170-178 Χριστοῦ σπεύδω γενέσθαι
.... = Σc 186-194

f. 168v 179-187 ‖ Θηρίων μοι γενέσθω
.... = Σc 204-212

Τὴν ἄφθαρτον εἰκόνα
τοῦ κάλλους τῆς ψυχῆς
ἱερῶς ἐφύλαξας,
Ἰγνάτιε σοφέ,
καὶ τῇ προσκαίρῳ
τοῦ σώματος ἀποθέσει
τὸ κατ' εἰκόνα
καὶ ὁμοίωσιν ἐκτήσω
ὅλος ἑνωθεὶς καὶ κραθεὶς τῷ Θεῷ.

θεοτ. 197-205 Σπηλαίῳ ὑπογαίῳ
.... = Σc 222-230

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

206-213 Τοιοῦτος ἡμῖν ἔπρεπε
.... = Σc 231-238

f. 169 * ‖ Τὰ Παύλου κατορθώματα
ζηλώσας εὐσεβῶς
ὅλους τοὺς αὐτοῦ
κινδύνους ὑπέμεινας,
ἱερομάρτυς
ἀξιάγαστε,

---

heirm. δ' EE 11, n. 15, Andreae   195 ἐκτίσω Ce
heirm. ε' EE 11, n. 15, Andreae   214 Τὰ] Τοῦ Ce

τὸ τῆς Ἑῴας φέγγος
καὶ Ἑσπερίων ἄστρον.

* Δεσμώτης ἀπαγόμενος
παθεῖν, ἀρχιερεῦ,
δέσμιος Χριστοῦ,
Ἰγνάτιε, ἔγραφες
ταῖς ἐκκλησίαις
καὶ ταῖς πόλεσιν
ὑποστηρίζων πάντας
ἐν τῇ ὁμολογίᾳ.

230-237 Ὑμνοῦμεν τοὺς ἀγῶνάς σου
.... = Σc 225-262

238-245 Ὡς στῦλος καὶ ἑδραίωμα
.... = Σc 263-270

θεοτ. 246-253 Θεὸς ἀνθρώποις ὅμοιος
.... = Σc 279-286

ᾠδὴ ς'. *Τὸν προφήτην Ἰωνᾶν*

254-260 Τὸ μαρτύριον τῆς σῆς
.... = Σc 294-300

f. 169v * Ὑπερζέων, ἀθλητά,
τῇ ἀγάπῃ τοῦ Χριστοῦ
πρὸς τὸ πῦρ τῶν πειρασμῶν
ὡς εἰς δρόσον πρωινὴν
ἀνέτρεχες
ἐκεῖνον φθάσαι
τὸν ὄντως σὸν ἐραστήν.

268-274 Τοὺς μακρούς σου διωγμοὺς
.... = Σc 301-307

---

221 καὶ τῆς Ἑσπέρας ἄ. MR   228 ἐπιστηρίζων MR
heirm. ς' EE 12, n. 15, Andreae   266 ἐκεῖνο MR   267 τὸ ὄντως ὂν ἐραστὸν MR   σὸν] ὂν Ce   268 διωγμοὺς] πειρασμοὺς MR

222-229 Cfr. supra canon. XXXIX (1), vv. 29-35.

275-281 Ὡς τὸν ὄντως ἐραστὴν
.... = Σc 287-293

θεοτ. 282-288 Εὐτρεπίζου, Βηθλεέμ·
.... = Σc 322-328

Κοντάκιον.

Ἦχος α'. *Τὰ χρυσότατα*

Τὰ θερμότατα
....

Ὁ οἶκος.

Πρός· ⟨*Νῦν χρυσοστόλιστος*⟩

Αἰνόν σοι ἅπαντες
....

f. 170 Ἕτερον κοντάκιον.

Ἦχος γ'. Πρός· *Ἡ παρθένος σήμερον*

Τῶν λαμπρῶν ἀγώνων σου
....

(Ὁ οἶκος).

Πρός· *Τὴν Ἐδὲμ Βηθλεὲμ*

Ἀβραὰμ μὲν ποτὲ
....

275 Ὡς τὸ ὄντως ἐραστὸν Σc
Κοντ. et οἶκ. PAS I, 571-572; eadem om. Ce Σc
Ἕτερον κοντ. et οἶκ. MR II, 560-561

ᾠδὴ ζ'. *Τοὺς ἐν καμίνῳ παῖδάς σου, σωτήρ,*

289-296 Οὐκ ἔσχες πῦρ φιλόυλον ἐν σοὶ
.... = Σc 329-336

297-304 Τὸ ζῆν ἐμοὶ οὐκ ἔστιν ἐραστὸν
.... = Σc 337-344

305-312 « Ἐμοὶ γλυκὺς ὁ θάνατος », φησίν·
.... = Σc 345-352

f. 170v 313-320 « Οἱ τῶν θηρῶν ὀδόντες μοι », φησί,
.... = Σc 353-360

θεοτ. 321-328 Ὁ τοῖς προφήταις πάλαι προρρηθεὶς
.... = Σc 369-376

ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι*

329-336 Διψῶν τὸ ποτήριον
.... = Σc 385-392

337-344 Τοῖς δρόμοις τῆς πίστεως
.... = Σc 401-408

f. 171 345-352 Δεσμοῖς κατεχόμενος
.... = Σc 393-400

353-360 Ὢ φίλτρου καὶ ζέσεως
.... = Σc 409-416

Τὸ θεῖον ἀξίωμα
ἐνδύσασθαι ποθῶν
τὴν πρώτην παλαίωσιν

heirm. ζ' EE 12, n. 15, Andreae
heirm. η' EE 12, n. 15, Andreae

ἀπέθου τῆς σαρκὸς
καὶ νέαν ἐκτήσω
ἀχειρότευκτον οὖν
οἰκίαν ἐν τοῖς οὐρανοῖς,
ὡς γράφει ὁ Παῦλος.

θεοτ. 369-376 Τὸ ἄστρον ἀνέτειλε
.... = Σc 425-432

f. 172 ‖ ᾠδὴ θ'. *Τὴν ζωοδόχον πηγὴν τὴν ἀέναον*

377-382 Ὁ θεοφόρος ἡμᾶς ἑστιάσατο
.... = Σc 433-438

383-388 Ὁ ὑπερόπτης τῶν κάτω Ἰγνάτιος
.... = 439-444

389-394 Τὴν ἱεράν σου στολήν, ἱερώτατε,
.... = Σc 445-450

395-400 Οὐκ ἔστι νῦν ἐν ἐμοὶ πῦρ φιλόυλον,
.... = Σc 457-462

401-406 Ζέων τῷ πόθῳ Χριστοῦ καὶ φλεγόμενος
.... = Σc 463-468

407-412 Σπλάγχνα θηρίων σοι τάφος γεγόνασιν
.... = Σc 469-474

θεοτ. 413-418 Χαῖρε, ἁγνή, τοῦ Θεοῦ πόλις ἔμψυχε,
.... = Σc 481-486

---

366 οὖν om. Ce v. 368 desideratur in Cf heirm. θ' EE 14, n. 18, Andreae 377 ἑστιάσατο cdd. sine incremento: PSALTES 201 383 Ὡς ὑπ. τῶν κάτω, Ἰγνάτιε MR 407 τάφοι Σc

---

367 II Cor. 5,1

IN SANCTUM IGNATIUM

Mess. gr. 135 = N, ff. 259(263)-262v(266v)

Ὁ κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ Κυρίῳ τῷ ποιήσαντι*

Τὸν ἱερὸν ὁπλίτην τῆς ἀληθείας πάντες
εὐσεβῶς ὑμνήσωμεν
σήμερον συνελθόντες
τὸν θεῖον Ἰγνάτιον
ὡς τῶν ἀποστόλων
διάδοχον γενόμενον
καὶ κήρυκα τῆς χάριτος
καὶ δοχεῖον τοῦ πνεύματος.

Τὴν ἱεράν στολήν σου κατεκόσμησας
ἀληθῶς, Ἰγνάτιε,
τῇ ἀρετῇ τῶν θείων
λογίων σου, πάνσοφε,
καὶ τῷ μαρτυρίῳ
259v (263v) ἐδείχθης ‖ τοῦ Θεοῦ ἐραστής,
νικήσας τὸν ἀντίπαλον,
ἱεράρχα μακάριε.

θεοτ. * Ὑμνοῦμέν σε, παρθένε θεοτόκε ἁγνή,
χερουβικὸν ὄχημα,
ἐξ ἧς Θεὸς ἐτέχθη·
σὺ γὰρ μόνη γέγονας

---

heirm. α' EE 78, n. 111, Germani; heirm. omnes integros minime discrepantes dat cd. 16-24 θεοτ. MR V, 10; AHG III, 401; V, 312

πηγὴ ἀφθαρσίας
πηγάζουσα πᾶσι ζωήν,
ἀφ' ἧς οἱ ἀρυόμενοι
ἰάματα λαμβάνομεν.

ᾠδὴ γ'. *Στηριγμὸν καὶ ἱλασμὸν*
παράσχου ἡμῖν, υἱὲ τοῦ Θεοῦ,
καὶ σῶσον ἡμᾶς, Κύριε,
διὰ τῆς ἀναστάσεως.

Ἀξιόθεε, σαφῶς
τὴν ἐκκλησίαν ἐθεμελίωσας
ὡς λίθους ἐν αὐτῇ
τοὺς λόγους σου θέμενος.

Δι' ὀδόντων θηρίων
ἐτελειώθης μὴ τρωθεὶς ὑπ' αὐτῶν·
Χριστὸς γὰρ ἀληθῶς
ἔλαβε τὸ πνεῦμά σου.

θεοτ. Θεοτόκε, ἡ ἐλπὶς
καὶ προστασία τῶν προστρεχόντων σοι,
δυσώπησον Χριστὸν
σῶσαι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ δ'. *Τὴν ἐξ ὄρους κατασκίου δασέος σου ἔλευσιν*

f. 260 (264) Τὸν ποιμένα τῶν ποιμένων καὶ θεῖον διδάσκαλον
τοῦ θείου κήρυκος
συνελθόντες ἐπαξίως

---

23 οἱ om. cd.
heirm. γ' EE 69, n. 98, Joannis et 79, n. 112, Germani
heirm. 3-4 καὶ σῶσον ἡμᾶς ὡς φιλάνθρωπος EE
heirm. δ' EE 73, n. 104, et 81, n. 114, Andreae

26-28 PG 5,980: ... ἐκυβέρνα τὴν Ἐκκλησίαν Ἀντιοχέων ἐπιμελῶς ... καὶ τῇ συνεχείᾳ τῆς διδασκαλίας τῷ τόνῳ τῷ πνευματικῷ, πρὸς τὴν ζάλην τὴν ἀντικειμένην ἀντεῖχε...

εὐφημήσωμεν ψαλμικῶς Ἰγνάτιον
ὡς θεράποντα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Πρὸς τοὺς τυράννους ἐν τοῖς ἄθλοις ἐκραύγαζες, ὅσιε·
« οὐ πῦρ οὐδὲ μάστιγες
τῆς ἀγάπης με χωρίσει
τοῦ Κυρίου μου », τοῖς αὐτοῦ παθήμασιν
ἐγκαυχώμενος, Ἰγνάτιε παμμακάριστε.

θεοτ. Ὄρος σε πάλαι Ἀμβακοὺμ προεώρα κατάσκιον,
Δαβὶδ πῖον ὄρος σε
προεκάλει, θεοτόκε,
ὄρος δὲ πάλιν Δανιήλ, ἐξ οὗ ὁ Χριστὸς
ἀπετμήθη, ὃ προεῖδεν ἀλατόμητον.

ᾠδὴ ε'. [*Ὀρθρίζοντες ἀνυμνοῦμέν σε, Λόγε,*
διότι φῶς καὶ τὰ σὰ προστάγματα
260v (264v) *ἐγένοντο* ‖ *ἰάματα τοῖς δούλοις σου, φιλάνθρωπε*].

Μαρτυρικῶς ἐν σταδίῳ ἐβόας·
« σῖτος ὑπάρχω τοῦ Θεοῦ
καὶ ἀλήθομαι ἑκὼν
δι' ὀδόντων θηρίων,
ἵνα γένωμαι
καθαρὸς ἄρτος θανών ».

Κατέπληξας καρτερῶς ὑποφέρων
τοὺς τῶν ἀνόμων αἰκισμοὺς
τοὺς ἀθέους, ἀθλητὰ

---

heirm. ε' ineditus: trop. vero non ad hunc sed ad illum ipsius Germani, quem in EE 78 n. 110 invenies, potius modulata videntur.

42-46 Cfr. canon XXXIX (1), vv. 186-203.
52-57 Cfr. canon XXXIX (1), vv. 138-147.

43-45 Rom. 8,35 47 Hab. 3,3 48-49 Ps. 67, 16 50-51 Dan. 2,34,45

ἱεράρχα τοῦ Χριστοῦ,
καὶ νίκης στέφανον
ἐκ Θεοῦ ἐκομίσω.

θεοτ. * Θεός ἐστιν ὁ τεχθεὶς ἐκ παρθένου
εἰς ἀναγέννησιν ἡμῶν
καὶ ἐφώτισεν ἡμᾶς
εἰς ἐπίγνωσιν αὐτοῦ
καὶ δοξάζομεν
τὴν αὐτοῦ εὐσπλαγχνίαν.

ᾠδὴ ς'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

f. 261 (265) ‖ Ἐξ ἑῴας ἀνατείλας,
ὥσπερ ἔφης, μετετέθης, σοφέ,
ἀπὸ τῆς γῆς εἰς οὐρανούς,
ἀπὸ κόσμου πρὸς Θεὸν ἀληθῶς
εἰσδύσας· διό, πάτερ,
Χριστῷ τῷ Θεῷ πρεσβεύειν
ὑπὲρ ἡμῶν μὴ παρίδης.

Διαδραμὼν νήσους καὶ πόλεις
τὸ μαρτύριον ἐπλήρωσας
καθάπερ Παῦλος, ἀθλητά,
ἐν τῇ Ῥώμῃ στεφανούμενος
καὶ κράζων εὐχαρίστως·
« σῶσον, σωτήρ, ὡς ἔσωσας
τοῦ θηρὸς τὸν προφήτην ».

θεοτ. * Τὸν εἰς τὸ πλήρωμα τοῦ χρόνου
γεννηθέντα ἐκ παρθένου μητρὸς

64-69 θεοτ. AHG III, 404; idem autem in AHG ut θεοτ. ς' odes invenies, ad heirm. *Ἐβόησα ἐν στεναγμοῖς ἀσιγήτοις* pertinens 68 δοξάζωμεν
heirm. ς' EE 78, n. 110, Germani 84-90 θεοτ. AHG X, 248

70-71 Cfr. canon. XXXIX (1), vv. 175-176.
77-80 Cfr. canon. XXXIX (1), vv. 247-254.

82-83, 89-90 Dan. 6,23

καὶ ἐκ δουλείας καὶ φθορᾶς
λυτρωσάμενον τὸ γένος ἡμῶν
ὑμνοῦμεν καὶ βοῶμεν·
« σῶσον, σωτήρ, ὡς ἔσωσας
τοῦ θηρὸς τὸν προφήτην ».

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογία*

261v (265) ‖ Θείοις δόγμασι τὴν ἐκκλησίαν
....

ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Χριστὸν ἐν τῇ ψυχῇ σου
μυστικῶς ἐνστερνισάμενος
καὶ τοῖς στίγμασιν αὐτοῦ καλλωπιζόμενος
μαρτυρικῶς ἀνεβόας·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ἐν πίστει καὶ ἐλπίδι
καὶ ἀγάπῃ πυρούμενος
τὰς στρεβλώσεις τῶν δεινῶν εὐσεβῶς καρτερῶν
μαρτυρικῶς ἀνεβόας·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

---

87 λυτρωσάμενος
Κάθ. MR III, 281
heirm. ζ' EE 79, n. 111, Germani 96 post τῶν orat. detruncatur
101-102 εὐ. εἶ Κύριε / ὁ Θεὸς τῶν πατέρων

91-93 Gal. 6,17 97-99 I Cor. 13,2-13

f. 262 (266) θεοτ. * ‖ Ἐτέχθης ἐκ παρθένου
ὡς εὐδόκησας, Κύριε,
καὶ ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν·
διὰ τοῦτο βοῶμεν·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η΄. *Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων*

Τὸν θυρεὸν ἐνδυσάμενος, πάτερ,
τῆς ἀληθείας πιστῶς ὡς Χριστοῦ στρατιώτης,
τὴν πλάνην ἐπόρθησας
ἐκβοῶν· « εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Τῆς ἀσεβείας τὴν φλόγα τῇ δρόσῳ
τῆς σῆς σοφίας σαφῶς κατασβέσας, θεόφρον,
ἐρρύσω τὴν ποίμνην σου
ἐξ εἰδώλων μανίας·
´ — — — ´ —
— ´ — ´ — ´ —

θεοτ. * Χαῖρε, σεμνή, δυσανάβατον ὕψος
τοῖς τῶν βροτῶν ὀφθαλμοῖς· χαῖρε, ὄμμασι νόων
βάθος δυσθεώρητον·
χαῖρε, μήτηρ παρθένε
καὶ θεοκυῆτορ,
εὐλογημένη Μαρία.

103-108 θεοτ. MR V, 12; AHG III, 405 104 ηὐδόκησας AHG heirm. η΄ EE 78, n. 110, Germani 118 post μανίας cd. εὐλογητὸς εἶ profert 119-120 vv. desiderantur 121-126 θεοτ. AHG III, 406; X, 144 122 τοῖς om. AHG X

109-110 Eph. 6,16

262ᵛ (266ᵛ) ‖ ᾠδὴ θ΄. *Τὴν μητέρα τοῦ φωτὸς*

Ἀναβλαστήσας λογικῶς
θεογνωσίας τὰ ἄνθη,
τὰς τῶν αἱρέσεων τῇ μαχαίρᾳ τοῦ λόγου
ψυχοφθόρους ἀκάνθας
ἐξέτεμες, ὅσιε.

Τὸν ἱεράρχην Χριστοῦ
ὡς εἰληφότα τὴν χάριν
ἐκ τοῦ Θεοῦ ἡμῶν ἰατρεύειν τὰ πάθη
τῶν ἐν πίστει αἰτούντων
ὕμνοις μεγαλύνομεν.

θεοτ. Μητροπάρθενε ἁγνή,
θεοκυῆτορ Μαρία,
ταῖς ἱκεσίαις σου ῥῦσαι πάσης ἀνάγκης
καὶ ὀργῆς θεηλάτου
πάντας τοὺς ὑμνοῦντάς σε.

heirm. θ΄ EE 80, n. 112, Germani 133 εἰληφότα scripsi: -φότες cd.

127-131 Cfr. canon. XXXIX (2), vv. 66-70.

IN SANCTAM IULIANAM MARTYREM

Synaxarium, 333-334: Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἰουλιανῆς. Αὕτη ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἀπὸ τῆς πόλεως Νικομηδείας. Πλουσίων δὲ ὄντων τῶν γονέων αὐτῆς, ἐμνηστεύθη Ἐλευσίῳ τῷ συγκλητικῷ, ἕλληνι ὄντι· ὅστις ἐβούλετο ποιῆσαι τὸν γάμον. Ἀλλ' ἡ ἁγία οὐ κατεδέξατο, εἰποῦσα πρὸς τοὺς βιάζοντας· « Ἐὰν μὴ γένηται τῆς πόλεως ἔπαρχος, ἄνδρα αὐτὸν οὐκ ἔχω ». Ἀλλὰ καὶ τούτου γενομένου, πάλιν εἶπεν ὅτι· « Ἐὰν μὴ γένηται χριστιανός, οὐ λαμβάνω αὐτόν ». Ἀκούσας δὲ ταῦτα ὁ πατὴρ αὐτῆς ἐλυπήθη· καὶ κατηνάγκασε μᾶλλον αὐτὴν ἀρνήσασθαι τὸν Χριστὸν καὶ λαβεῖν τὸν ἄνδρα αὐτῆς. Ὡς δὲ οὐκ ἔπεισε, τότε παρέδωκε κατὰ τοὺς νόμους εἰς ἐξέτασιν τῷ μνηστῆρι αὐτῆς καὶ ἐπάρχῳ. Ὁ δὲ ἔπαρχος ἔξεσεν ὅλον τὸ σῶμα αὐτῆς καὶ ἀπὸ τῶν τριχῶν ἐκρέμασε καὶ ἐξέδειρε τὸ δέρμα τῆς κεφαλῆς αὐτῆς· εἶτα ἐνέβαλεν εἰς πῦρ· καὶ τέλος ἀπεκεφάλισεν αὐτήν, μετὰ καὶ ἄλλων τῶν δι' αὐτῆς πιστευσάντων. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι πλησίον τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐν τῷ Πετρίῳ.

Crypt. Δ.α. XIV = Cf, ff. 176-184v
Crypt. Δ.α. XXIV = Cy, ff. 68v-70
Patm. 197 = Πc, ff. 102-104v

f. 176 ‖ Ὁ κανὼν φέρων ἀκροστιχίδα ΑΒ.
⟨Ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου⟩
Ἦχος πλ. δ'.
ᾠδὴ α'. *Ἄσωμεν τῷ Κυρίῳ*

Ἄγγελοι οὐρανόθεν
ἐπὶ γῆς προκύπτουσι κηρύττοντες
τὴν Χριστοῦ ἐκ παρθένου
ὑπὲρ λόγον καὶ ἔννοιαν γέννησιν.

---

tit. Ἕτερος κανὼν τῆς μάρτυρος φέρων... Cf Ὁ κανὼν Cy Ἕτερος κανὼν τῆς ἁγίας κατὰ στοιχεῖον Πc nomen hymnographi Γεωργίου e θεοτ. litteris initialibus deducitur
heirm. α' EE 224, n. 321, Joannis 2 προκύψαντες κηρύττουσι Cy Πc

Βάσιν ὑποθεμένη
τὴν τῶν ἀρετῶν, μάρτυς ἀοίδιμε,
ἐν αὐτῇ ὡς χρυσίον
ἐπεδόμησας πράξεις ἀθλήσεως.

Γέγονεν, ἀθλοφόρε
Ἰουλιανή, ἡ καρτερία σου
τοῦ ἐχθροῦ ἀναιρέτις
καὶ πιστῶν εὐφροσύνη καὶ καύχημα.

θεοτ. Γῆ, θεοχαρίτωτε,
σπήλαιον καὶ φάτνην ἑτοιμάσασα
ἀπεκδέχεται πόθῳ
τὴν ἁγίαν καὶ ξένην σου γέννησιν.

f. 177v ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Δῶρα προεόρτια
ἐξευτρεπίσαντες ἅπαντες
τὰς ἀρετὰς τῷ ἐκ τῆς παρθένου
τικτομένῳ προσάξωμεν.

Ἔθλασας βραχίονα
τοῦ πολεμήτορος, ἔνδοξε,
τῇ συντριβῇ τῶν θείων μελῶν σου
καὶ πάσχουσα ἐνίκησας.

Ζάλην διαδράσασα
τῶν ἀλγεινῶν, σεμνή, ἔφθασας
εἰς γαληνοὺς καὶ θείους λιμένας
τῆς ἄνω καταπαύσεως.

---

5 ὑπερθεμένη Cf 8 ἐπεδήμησας Cy Πc πράξεις] μάρτυς Cy 10 τῇ καρτερίᾳ Cf 11 ἀναιρέτης Cf Cy 13-16 θεοτ. om. Cy
heirm. γ' EE 224, n. 321, Joannis 18 προευτρεπίσαντες Cy ἅπαντες om. Cy 20 τικτομένου Cy προσάξομεν Πc 24 καὶ ἐνίκησας πάσχουσα Cy

θεοτ. Ἔλαμψαν, θεόνυμφε,
τοῦ ὑπὲρ ἔννοιαν τόκου σου
ἐπὶ τῆς γῆς ἀκτῖνες καὶ τοῦτον
μηνύουσι τοῖς πέρασιν.

Καθίσματα.

Ἦχος δ'. Πρός· *Ταχὺ προκατάλαβε*

Νυμφίον ποθήσασα
τὸν ποιητὴν καὶ Θεόν,
νυμφίον φθειρόμενον
ἔλιπες, μάρτυς σεμνή,
καὶ χαίρουσα ἤνεγκας
βάσανα καὶ στρεβλώσεις
καὶ πυρὸς τιμωρίαν·
ὅθεν στεφανηφόρος
πρὸς τὸν θεῖον νυμφῶνα
εἰσῆλθες ἐξαιτουμένη
πᾶσι πταισμάτων ἄφεσιν.

f. 178 || Ἄλλο.

Ἦχος πλ. δ'. Πρός· *Τὸν συνάναρχον Λόγον*

Τὸν οὐράνιον γάμον ἐπιποθήσασα
τῆς γηίνης παστάδος ἐκατεφρόνησας,
ἀντὶ μνηστῆρος αἰσθητοῦ
συναρμοσθεῖσα Χριστῷ
καὶ τῇ στοργῇ τῇ πρὸς αὐτὸν
ἐν τῷ καιρῷ τῶν πειρασμῶν,
παρθενομάρτυς, ἐβόας·
« Χριστῷ νενύμφευμαι ὄντως·
αὐτῷ παρθένος καὶ παραστήσομαι ».

---

heirm. καθ. HR 63; hoc κάθ. in principio canon. praebet cum sticheris Cy; idem om. Πc 7 τιμωρία Cy 11 πταισμάτων] τὴν Cy

heirm. καθ. ἄλλου HR 230; κάθ. ἄλλο om. Cy Πc 2 ἐκατεφρόνησας: sic pro κατεφρόνησας

Ἕτερον.

Ἦχος δ'. Πρός· *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως*

Πεποικιλμένη ἀρεταῖς θεοσδότοις
....

f. 178v ᾠδὴ δ'. *Εἰσακήκοα, Κύριε,*

Ἡ σωτήριος γέννησις
τοῦ Χριστοῦ ἀνθρώποις προκαταγγέλλεται
καὶ εἰς μέθεξιν αὐτοὺς συγκαλεῖ
δωρεῶν τῶν ταύτης καὶ ἐλλάμψεων.

Θαρσαλέῳ φρονήματι,
Ἰουλιανή, ὑπέδυς τὸ στάδιον
καὶ τυράννων τὴν ἀπόνοιαν
εἰς δειλίαν, μάρτυς, μετεποίησας.

Ἰσχυρότατον ἔχουσα
ὅπλον τοῦ νυμφίου τὸν πόθον, ἔνδοξε,
πολεμίων τὴν παράταξιν
τῇ αὐτοῦ δυνάμει ἐξεπόρθησας.

θεοτ. Ὡς σκηνήν σε οὐράνιον
σπήλαιον εἰσδέχεσθαι εὐτρεπίζεται
τίκτειν μέλλουσάν σε, ἄχραντε,
f. 179 τὸν τὴν κτί||σιν πᾶσαν συστησάμενον.

Ἕτερον κάθ. MR II, 571 idem ut κοντ. refertur in Cy et in E Ph 40 (1941), 101; post κονδ. Cy hunc οἶκ. profert: Πρός· *Τῇ Γαλιλαίᾳ* Ταῖς τῶν αἱμάτων σου βαφαῖς, / σεμνὴ παρθενομάρτυς, / πορφύραν λαμπροτάτην / ἐπέχρωσας ἐν ἄθλοις· / ἣν στολισθεῖσα ἀληθῶς / θεῖον εἰς νυμφῶνα / ὑπεισῆλθες φαεινὴ / τῷ βασιλεῖ παρίστασθαι / ὡς νύμφη, ὡς ὡραία καὶ ἄμωμος.

heirm. δ' EE 225, n. 322, Cosmae 36 ταύτης] αὐτῆς Cf Cy 40 δειλία Cy 42 τοῦ νυμφίου τὸν πόθον] τὸν σταυρὸν τοῦ νυμφίου Πc 47 σε ἄχραντε] τὸν Κύριον Πc

---

45 Ex. 26,1 sqq.; Hebr. 9,1-5

ᾠδὴ ε΄. *Φώτισον ἡμᾶς*

f. 179ᵛ ‖ Κόσμος νοηταῖς
προκοσμεῖται θείαις χάρισι,
τὸν κοσμήτορα τῆς κτίσεως
σαρκὶ τεχθῆναι
ἐν σπηλαίῳ προσδεχόμενος.

Λέλυνται ἐχθρῶν
μηχαναὶ καὶ πανουργεύματα
τῇ στερρότητί σου, ἔνδοξε,
καὶ τῇ ἀλύτῳ
συναφείᾳ τοῦ νυμφίου σου.

Μύρα τῷ Χριστῷ
ὡς εὐώδη τὰ σὰ αἵματα,
Ἰουλιανή, προσάξασα
ἐν τῇ γεννήσει
τῆς αὐτοῦ δόξης τετύχηκας.

θεοτ. Ῥήμασιν, ἁγνή,
ἐγκωμίων σου τὸν στέφανον
εὐπρεπῶς προδιαπλέκομεν,
ὅνπερ τικτούσῃ
τὸν δεσπότην προσενέγκωμεν.

f. 180 ᾠδὴ ϛ΄. *Ἱλάσθητί μοι, σωτήρ,*

Νεφέλαι ἐξ οὐρανοῦ
ὑετὸν ἐν γῇ εὐφρόσυνον
ἐν τῇ γεννήσει Χριστοῦ
βρέχειν εὐτρεπίζονται

---

heirm. ε΄ ΕΕ 224, n. 321, Joannis 55 μηχαναῖς Cf 65 σοι Πc 66 προσδιαπλέκοντες Πc 68 τῷ δεσπότῃ Cy Πc προσενέγκοιμεν Πc
heirm. ϛ΄ ΕΕ 220, n. 315, Joannis heirm. 1 σῶτερ Cf Cy 69 οὐρανῶν Πc 70 ἐν om. Cf 72 εὐτρεπίζονται] ἐπαγγέλλονται Πc

καὶ προκατασπάζονται
μετὰ τῶν ἀνθρώπων
τὴν αὐτοῦ θείαν ἐμφάνειαν.

Ξηράνασα τὰς πηγὰς
τὰς τῶν παθῶν δι᾽ ἀσκήσεως,
Ἰουλιανὴ σεμνή,
ἀπαθείας ὕδατι
σαυτὴν καθηγίασας
καὶ διὰ ἀθλήσεως
καθαρῶς Χριστῷ συνήρμοσαι.

Ὁ πόθος ὁ θεϊκὸς
διαναφθεὶς ἐν καρδίᾳ σου
τὴν φλόγα τὴν σαρκικὴν
εἰς τέλος ἀπέσβεσε
καὶ Χριστῷ θυσίαν σε
διὰ μαρτυρίου
ἁγνοτάτην ὡλοκαύτωσεν.

θεοτ. Γαλήνης τῆς νοητῆς
προαπολαύει τὰ σύμπαντα,
μελλούσης σου ἐπὶ γῆς
σαρκὶ τὸν δεσπότην Χριστὸν
τίκτειν ὑπὲρ ἔννοιαν,
ὃν ἀξιωθείημεν
προσκυνῆσαι μεσιτείαις σου.

f. 180ᵛ Κοντάκιον.

Ἦχος γ΄. Πρός· *Ἡ παρθένος σήμερον*

Ἰουλιανὴ σήμερον
....

---

81 ἀθλήσεως τρόπῳ Πc ἀθλήσεως] βασάνων Cy 82 Χριστοῦ Cy 86 ἐπέσβεσε Cy 89 ὡλοκαύτωσεν] ὁλοκαύτωσιν Cf Cy 90-96 aliud θεοτ. praebet Cy, quod autem acr. non aptatur: Ῥυσθείημεν τῶν δεινῶν / πταισμάτων ταῖς ἱκεσίαις σου . . . (integrum vide in MR II, 292)
Κοντ. nonnullis verbis differt ab illo, quod invenies in ΕΕΒΣ 28 (1958), 312, in S. Marinam dicatum κοντ. 1 Ἰουλιανὴ] Ἡ μάρτυς ΕΕΒΣ

⟨Ὁ οἶκος.

Πρός· *Τὴν Ἐδὲμ Βηθλεὲμ*⟩

Ἀνυμνήσωμεν οὖν
τὴν ἀθλοφόρον ᾄσμασι,
τὴν ἐν ἄθλοις στερρὰν
καὶ ἐν βασάνοις δόκιμον
τὴν καταβαλοῦσαν
ἐχθροῦ πανουργίας·
αὐτὴ γὰρ ὤφθη ὅλη θεάρεστος
ψυχῇ καὶ τῷ σώματι
Χριστῷ προσάγων θυσίαν ἄμωμον
τὴν ἀληθινὴν ἁγνείαν ἅπασι
κεκαθαρμένη ταῖς ἀρεταῖς σου
ταῖς νοηταῖς τοῦ Ἰησοῦ
ὡς ἀκηλίδωτος ἀμνάς·
ὅθεν πάντες συμφώνως
εὐφημοῦμεν ὡς φανεῖσαν
μαρτύρων κλέος ὁμοῦ καὶ καύχημα.

f. 181v ‖ ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Προκοσμεῖ ὡς παστάδα
καὶ βασίλειον οἶκον
ἡ γῆ τὸ σπήλαιον,
ἐν ᾧ μέλλει γεννᾶσθαι
ὁ βασιλεὺς τῆς δόξης,
ἵνα σώσῃ τοὺς ψάλλοντας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Ῥαντισθεῖσα τιμίῳ
αἵματι τοῦ νυμφίου
καὶ ἁγνισθεῖσα ψυχὴν

---

heirm. οἴκ. MR II, 667 οἴκ. 9 προσάγων pro προσάγουσα
heirm. ζ' EE 224, n. 321, Joannis 97 Προκοσμεῖ ὡς] Προκομίζης Cf Προσκοσμεῖ ὡς Cy 100 γεννᾶσθαι] γενέσθαι Cf 103, 111, 119, 127 post τῶν orat. varie abrumpunt cdd. 106 τοῦ τιμίου αἵματος Cy 107 ψυχὴν] σεμνὴ Cy

ἀντέδωκας τὸ αἷμα
αὐτῷ, Ἰουλιανή,
τὸ οἰκεῖον κραυγάζουσα·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Σαρκικῆς προσπαθείας
ὡς κρατήσασα, μάρτυς,
καὶ βασιλεύσασα
νύμφη τοῦ βασιλέως
τῶν ὅλων ἀνεδείχθης
δι' ἀθλήσεως κράζουσα·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Ἰδεῖν τὴν εὐφροσύνην
τοῦ ἀχράντου σου τόκου
ἀξιωθείημεν
καὶ ταύτης ἀπολαῦσαι
ἁγνῷ τῷ συνειδότι,
θεοτόκε, οἱ κράζοντες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

f. 183 ‖ ᾠδὴ η'. *Τὸν βασιλέα τῶν οὐρανῶν*

Τοῦ βασιλέως τῶν οὐρανῶν
τῇ γεννήσει
πᾶσα κτίσις δῶρα εὐτρεπίζει
καὶ εὐχαριστίαν
τὸ γένος τῶν ἀνθρώπων.

Ὑπερκοσμίῳ κάλλει Χριστὸς
σὲ λαμπρύνας

---

109 Ἰουλιανή] παρθενομάρτυς Πc 115 ἀξιοθαύμαστε Cy 125 ἁγνῷ ἁγνῶς Cf 126 οἱ κράζοντες] κραυγάζοντες Πc
heirm. η' EE 224, n. 321, Joannis

τῆς οἰκείας δόξης, ἀθλοφόρε,
εἰς τὰς αἰωνίους
εἰσήγαγε παστάδας.

Φρενῶν ἀνδρείᾳ τὸ ἀσθενές,
ἀθλοφόρε,
τῆς οἰκείας φύσεως νευροῦσα
τρόπαια ἐστήσω
κατὰ τῆς ἀσεβείας.

θεοτ. Ὁ ἀνατείλας ἐκ τοῦ Πατρὸς
Θεὸς Λόγος
ἐκ σοῦ, θεοτόκε, κατὰ σάρκα
μέλλων ἀνατέλλειν
προηύγασε τὴν κτίσιν.

f. 184v ᾠδὴ θ'. *Κυρίως Θεοτόκον*

Χαρᾶς τῆς νοουμένης
ἅπασα ἡ κτίσις
ἐπλήσθη νῦν τῇ γεννήσει Χριστοῦ τοῦ Θεοῦ
προεορτάζουσα πόθῳ
καὶ μεγαλύνουσα.

Ψυχήν, Ἰουλιανή,
πράξεσιν ἐνθέοις
προαγνισθεῖσα πυρὶ τῆς ἀθλήσεως
σεαυτὴν ὡλοκαύτωσας
τῷ σῷ νυμφίῳ Χριστῷ.

136-138 pro his vv. in Cy vv. 141-143 iterantur 138 εἰσήγαγες Πc 139-143 trop. deest in Cy 139 ἀνδρείαν Cf Cy 142 τρόπαιον Cy Πc 147 μέλλει Cy 148 προηύγασε τὴν] καὶ καταυγάσαι Cy
heirm. θ' EE 224, n. 321, Joannis 153 μεγαλύνωμεν Cy 156 ἀθλήσεως] ἀσκήσεως Πc 157 σεαυτὴν scripsi: ἑαυτὴν Cf σαυτὴν Cy Πc ὁλοκαυτῶσας Cf ὁλοκαύτωσας Cy Πc

144-145 Joh. 1,1-2

Ὡραῖον ὃν ἐπόθεις,
μάρτυς, σοῦ νυμφίον
νῦν καθορῶσα καὶ τούτου τοῖς κάλλεσι
λαμπρυνομένη δυσώπει
σωθῆναι πάντας ἡμᾶς.

θεοτ. Ὑμνῆσαι, θεοτόκε,
καθαρᾷ καρδίᾳ
τὴν τοῦ ἐκ σοῦ σαρκωθέντος ἀξίωσον
ὑπεραγίαν γέννησιν
ἡμᾶς τοὺς δούλους σου.

159-163 hoc trop. ut θεοτ. refertur in Cy 159 ὃν] νῦν Cy 160 νυμφίῳ Cf
164-168 θεοτ. om. Cy 164 Ὑμνῆσαι] Ὑμνεῖ σε Cf

21 DEC. *CANON XLII*

IN SANCTAM IULIANAM MARTYREM

Crypt. Δ.α. XIV = Cf, ff. 175v-184v

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ Κυρίῳ*

Δεῦτε, πιστοί, συμφώνως
Ἰουλιανὴν τὴν καλλιπάρθενον
καὶ Χριστοῦ ἀθλοφόρον
ἐν ᾠδαῖς θεοπνεύστοις τιμήσωμεν.

Ἄνωθεν δεξαμένη
παρὰ τοῦ πατρὸς τῶν φώτων, ἔνδοξε,
φωτισμὸν σωτηρίας
τὸν ἐν σκότει πατέρα κατέλιπες.

Σύ, ὡς Χριστὸς διδάσκει
ἐν εὐαγγελίοις, παμμακάριστε,
τὰς γραφὰς ἐρευνῶσα
ἐν αὐταῖς ἐκληρώσω τὴν ὄντως ζωήν.

---

tit. Κανὼν ἕτερος τῆς μάρτυρος
heirm. α' EE 224, n. 321, Joannis 8 κατέλιπας

5-6 Jac. ep. 1,17 11 Joh. 5,39

f. 176 ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Τὴν πρόσκαιρον
δόξαν καταφρονοῦσα
ἡ μάρτυς ἔλαβε
τὴν αἰώνιον δόξαν,
ποθήσασα τὸν νυμφίον Χριστόν.

Προσπάθειαν
αἰσθητῶν γεννητόρων
ἀπωσαμένη, σεμνή,
μυστικῶς ὑπεδέξω
τὴν ἄνωθεν ἀναγέννησιν.

Πρέσβευε
τῷ Κυρίῳ, θεόφρον,
τῷ σὲ φωτίσαντι
καὶ ἡμῶν τὰς καρδίας
φωτίσαι τῷ ἀϊδίῳ φωτί.

[« Ἴδετε, ἴδετε
ὅτι Θεὸς ἐγώ εἰμι »,
πᾶσι Χριστὸς ἐκβοᾷ,
« ὁ σαρκωθεὶς ἐκ παρθένου
καὶ πλάνης βροτοὺς ῥυσάμενος ».]

f. 177 ᾠδὴ γ'. *Στερέωσον ἡμῶν τὸν νοῦν καὶ τὰς καρδίας*

Θείας Τριάδος τῇ πίστει ἐλλαμφθεῖσα
Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου
καταφρονεῖν τοῦ πυρὸς καὶ πάσης βασάνου,
σεμνή, μεθ' ὅρκου ἐβεβαίωσας.

---

heirm. β' EE 226, n. 324, Germani 13-32 metrus trop. aegre heirm. aptatur in extremo versu 28-32 θεοτ. expunxi quia in metrum non cadit
heirm. γ' EE 224, n. 321, Joannis; 229, n. 328, Germani

Σὺ διὰ Χριστὸν στερρῶς μαστιζομένη
καὶ τῇ ἐλπίδι αὐτοῦ στηριζομένη
f. 177v τῷ σαρκικῷ σου πατρὶ ἐβό||ας· « οὐ θύω
νεκροῖς εἰδώλοις ἀλλὰ ζῶντι Θεῷ ».

Ἱερουσαλὴμ τῆς ἄνω ἐλευθέρας,
Ἰουλιανή, θυγάτηρ ἀνεδείχθης
καὶ τῶν ἁγίων μαρτύρων συγκληρονόμος
τῆς αἰωνίου βασιλείας Χριστοῦ.

f. 178v ᾠδὴ δ'. *Εἰσακήκοα, Κύριε,*

Κρεμαμένη μετέωρος
ἐκ τῶν τριχῶν ἡ γενναία μάρτυς
Ἐλευσίῳ ἀπεφθέγγετο·
« δεινοτέρας μοι βασάνους προσάγαγε ».

Ἐν φρουρᾷ ἡ ἀοίδιμος
δέσμιος οὖσα Χριστῷ ἐβόα·
« ὁ πατήρ μου καὶ ἡ μήτηρ μου
ἐγκατέλιπόν με, σὺ δὲ προσελάβου μου [, Κύριε] ».

Δυσωπούμενος, Κύριε,
ταῖς ἱκεσίαις τῆς ἀθληφόρου
τὴν ζωὴν ἡμῶν εἰρήνευσον
καὶ ἐλέησον τοὺς πίστει ὑμνοῦντάς σε.

---

41 fort. ἐλευθέρως
heirm. δ' EE 231, n. 331, Andreae 52 Κύριε expunxi quod versum hypermetricum efficit

---

39-40 PG 114,1441: Ἐπεὶ οὕτω λεγούσης ἤκουεν ὁ πατήρ, φυλακῇ ταύτην δίδωσιν· εἶτα νυκτὸς πάλιν αὐτὴν μεταπεμψάμενος ἀπεπειρᾶτο, εἴ τι καὶ ὁ καιρὸς ὑφεῖλεν αὐτῇ τῆς ἐνστάσεως· ὡς δὲ ἀνέκραζεν εὐθὺς ἡ γενναία· Οὐ θύσω εἰδώλοις, οὐ προσκυνήσω γλυπτοῖς· Χριστὸν μόνον προσκυνῶ, Χριστὸν σέβομαι·
49-52 PG 114,1444: ... καὶ ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με· σὺ δέ, Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ... νῦν σῶσον μὲν ἐμέ, τὸν πολεμοῦντα δέ μοι κατάρραξον, ἀήττητε βασιλεῦ...

f. 179 ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, Κύριε,*

Ὁ πάλαι προελθὼν ἐν ἐρήμῳ
Χριστὸν πειρᾶσαι
οὗτος καὶ τῇ μάρτυρι
νῦν προσβαλὼν καταισχύνεται.

Ὁ Εὔαν ἐν Ἐδὲμ ἀπατήσας
δεινῶς Βελίαρ
νῦν ὑπὸ νεάνιδος
Χριστοῦ δυνάμει νενίκηται.

Ὁ πρὶν τοὺς γηγενεῖς παραβάσει
ὑποσκελίσας
τῇ πίστει σου, ἔνδοξε
παρθενομάρτυς, πεπάτηται.

f. 180 ᾠδὴ ϛ'. *Ἐκ κοιλίας ᾅδου κραυγῆς μου
ἤκουσας φωνῆς μου
καὶ ἀνέβη ἐκ φθορᾶς
ἡ ζωή μου πρὸς σέ, Κύριε.*

Νεανίδων ὄντως παρθένων
Χριστοῦ ἀθλοφόρων
μυστικὸν καλλώπισμα
ἀνεδείχθης, καλλιμάρτυς σεμνή.

---

heirm. ε' EE 226, n. 324, Germani
heirm. ϛ' EE 228, n. 326 et 229, n. 329, Andreae heirm. 3 ἀνέβη] ἐρρύσω EE 4 τὴν ζωήν μου, πολυέλεε EE

59-64 PG 114, 1444-1445: ... πρόσεισιν αὐτῇ ὁ ἀφανὴς πάντων ἐχθρὸς καὶ πολέμιος, ἄγγελος Θεοῦ εἶναι προσποιηθείς ... τὸν δὲ ἀληθεύειν ἠνάγκαζεν ὅλως ὄντα φιλοψευδῆ, καὶ πάντα ὁμοῦ καταλέγει, τὸν ἀπεσταλκότα, ὅτι εἴη ὁ Σατανᾶς, τὸν ἀπεσταλμένον αὐτόν, ὅτι ἐκείνου δαιμόνων ὁ πρῶτος· τὴν αἰτίαν, ὅτι μεγάλα δι' αὐτῆς ὁ πονηρὸς πέπληκτο· πρὸς τούτοις, ὅτι αὐτὸς ἐκεῖνος ὁ καὶ τῇ Εὔᾳ πάλαι τὴν ὀλεθρίαν προσαγαγὼν συμβουλὴν...

---

57 Matth. 4,1 sqq. 61 Gen. 3,1-7

Ὁ πικρὸς διώκτης τὴν δόξαν
καθορᾶν μὴ φέρων
τοῦ προσώπου σου, μάρτυς,
ἐπὶ πλεῖον κατεπλήττετο.

Τῆς ἀθλήσεώς σου τὴν μνήμην,
ἀθλοφόρε, ὄντως
ἐκτελοῦντες οἱ πιστοὶ
εὐσεβῶς πανηγυρίζομεν.

f. 181 ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Τῆς τοῦ Χριστοῦ
πολυάθλου παρθένου
ἐν τῷ τροχῷ
τοῦ πυρὸς προσδεθείσης
τῇ τοῦ ἀγγέλου
ἐπιστασίᾳ
τὸ πῦρ εἰς δρόσον αὐτῇ μετεβάλετο.

Οἱ ἀπειθεῖς
Νικομηδέων δῆμοι
τῇ εὐσεβεῖ
προσπελάσαντες πίστει
τῇ σῇ ἀθλήσει,
ἐβόων, μάρτυς·
« οὐκ ἔστιν ἄλλος Θεὸς πλὴν ὁ τῆς μάρτυρος ».

---

76 πλίον
heirm. ζ' EE 226, n. 323, Germani

81-87 Cd. Vlatadon, 4, ff. 177v-178: Ὁ δὲ ἔπαρχος ἐκέλευσεν ἐνεχθῆναι τροχὸν σιδηροῦν... δεθῆναι αὐτὴν καὶ ὑποκαῆναι κάτωθεν καὶ γενέσθαι τὸν τροχὸν πῦρ... Ἄγγελος δὲ καταβὰς κατέσβεσεν τὴν φλόγα...

88-94 PG 114,1448: Τῷ μεγίστῳ τοίνυν ἐκπληγέντες τοῦ θαύματος, δῆμος ὅλος Νικομηδέων, ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακόσιοι, μιᾷ καὶ φωνῇ καὶ γνώμῃ· Εἷς Θεός, εἷς ὁ τῆς μάρτυρος Ἰουλιανῆς, ἐξεβόων· αὐτὸν καὶ ἡμεῖς σεβόμεθα καὶ τὰ Ἑλλήνων ἀποτετράμμεθα· εἴτω ξίφος, εἴτω πῦρ, εἴτω παντοδαπὸς ἄλλος θάνατος.

Τῷ δικαστῇ
ἀνεβόων οἱ ὄχλοι·
« κόλαζε νῦν
καὶ ἡμᾶς, θεομάχε,
διὰ παντοίων
βασάνων εἴδους,
τῶν εἰδώλων τὴν λατρείαν καταλείψαντας ».

f. 182v ᾠδὴ η'. *Τὸν ἄναρχον*
βασιλέα τῆς δόξης

Τῷ αἵματι
τῆς ἀθλήσεως, μάρτυς,
ἐκόσμησας
τῆς ψυχῆς τὴν λαμπάδα·
διὸ ἐκ δεξιῶν
παρέστης τοῦ ἀφθάρτου
Θεοῦ καὶ βασιλέως.

Ζωόκαυστον
τὴν Χριστοῦ ἀθλοφόρον
ὁ τύραννος
ὑπὸ τῆς ἀναφθείσης
δεινῆς πυρκαϊᾶς
προσέταξε γενέσθαι,
ἀλλ' ὅμως κατῃσχύνθη.

---

96 ἀνεβόουν 100 εἶδος
heirm. η' EE 229, n. 328, Germani

95-101 Cd. Chalcensis mon. Trinitatis, 88, f. 183: ... ἔκραξαν οἱ δῆμοι τῶν Νικομηδέων λέγοντες: Δυνατὸς ὁ θεὸς τῆς παιδὸς Ἰουλιανῆς καὶ οὐκ ἔστιν πλὴν αὐτοῦ ἄλλος. Μετανοοῦμεν, ἔπαρχε, ἐπὶ τῇ προτέρᾳ ἡμῶν πλάνῃ. Κόλαζε ἡμᾶς, ὡς θέλεις.

109-115 PG 114,1449: ... εἰς λέβητα ζέοντα πυρὶ πολλῷ τὴν Ἰουλιανὴν ἐμβληθῆναι προστάττει· ἡ δὲ θεία χάρις αὐτὸν μονονουχὶ λουτρὸν ἐδείκνυ τῇ μάρτυρι καὶ τῶν πόνων, ἀλλ' οὐ τῶν μελῶν τῆξίν τε καὶ διάλυσιν· τοῖς δέ γε περὶ αὐτὸν διακονουμένοις Χαλδαϊκὴν ἄλλην κάμινον· ἄφνω γὰρ ὁ λέβης ῥαγεὶς καὶ κύκλῳ ὥσπερ ὑπό τινος μηχανῆς ἐκχυθείς, τοὺς περιεστῶτας ἀπώλεσε παραδόξως, αὐτούς τε δικαίως κολάσας καὶ πεῖρα δείξας τοὺς ἄφρονας, οἷος ὢν ἐπ' αὐτούς, οἷος ἐν τῇ μάρτυρι κατεφάνη·

Ἐθαύμασαν
τῶν ἀγγέλων τὰ πλήθη,
ἐτρόμαξαν
τῶν δαιμόνων τὰ στίφη
τὴν σὴν ὑπομονὴν
καὶ ἄνθρωποι τιμῶμεν
τὴν μνήμην σου, θεόφρον.

f. 184 ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Τὸν τῆς εὐσεβείας Χριστοῦ τελέσασα δρόμον
f. 184v καὶ λα||οῖς τὸν ἔνθεον καταγγείλασα λόγον
καὶ τῷ ξίφει τελειωθεῖσα ἡ μάρτυς
στέφανον ἐδέξατο θεόθεν τριπλοῦν.

Σὲ τὸν ἐξ αἱμάτων παρθενικῶν ὑπὲρ φύσιν
δι' ἡμᾶς ἀφράστως, Λόγε, σαρκωθέντα βουλήσει
ἡ παρθένος καὶ ἀθλοφόρος ποθοῦσα
ὑπὲρ σοῦ ἐξέχεε τὸ αἷμα αὐτῆς.

Σὺ ὡς εἰς τὴν εἴσοδον τῶν ἁγίων μαρτύρων
παρρησίαν ἔχουσα τοῖς τιμίοις σου πόνοις
τὸν Χριστὸν ἱκετεύειν μὴ παύσῃ
ὑπὲρ τῶν τελούντων σου τὴν μνήμην, σεμνή.

---

heirm. θ' EE 229, n. 328, Germani 127 τὸν] τῶν cd.

123-126 PG 114, 1449: ... ἔπειτα δὲ καὶ τὸν αὐχένα πρὸς σφαγὴν ἔκλινε, τὴν αὐτὴν σώζουσα τῆς ψυχῆς εὐφροσύνην καὶ μηδὲν ὅλως κατηφὴς ὑποφαίνουσα καὶ οὕτω τὴν νικοφόρον ἀποτέμνεται κεφαλήν.

---

123 II Tim. 4,7

IN SANCTAM ANASTASIAM MARTYREM

Synaxarium, 333-336: Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀ ν α σ τ α σ ί α ς τῆς φαρμακολυτρίας καὶ τῶν σὺν αὐτῇ μαρτύρων Χ ρ υ σ ο γ ό ν ο υ, Ἀ γ ά π η ς, Ε ἰ ρ ή ν η ς καὶ Χ ι ο ν ί α ς, Θ ε ο δ ό τ η ς καὶ τῶν τέκνων αὐτῆς. Ἡ ἁγία μάρτυς Ἀναστασία ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει, Πραιτεξτάτου τινὸς οὖσα θυγάτηρ, μητρὸς δὲ Φαύστης· ὑφ' ἧς προσαχθεῖσα Χρυσογόνῳ ἀνδρὶ θεοσεβεῖ, τὰ ἱερὰ γράμματα ἐπαιδεύθη, τὴν δὲ εἰς Χριστὸν πίστιν παρὰ τῆς μητρὸς ἔμαθε. Συνεζεύχθη δὲ ἀνδρὶ ἕλληνι πρὸς κοινωνίαν γάμου, Πουπλίῳ ὀνόματι, καὶ διὰ τὴν ἀπιστίαν αὐτοῦ ἀστόργως τὴν πρὸς αὐτὸν ἔφερεν ὁμιλίαν, νοσεῖν ἀεὶ προφασιζομένη. Καὶ μὴ καταδεχομένη συνέρχεσθαι αὐτῷ εἰς συνάφειαν, μετρίαν δὲ στολὴν καὶ πενιχρὰν ἐνδυομένη περιβολήν, ἀεὶ προσωμίλει γυναιξὶ δεομέναις, καὶ λαθραίως τοὺς διὰ Χριστὸν ἐναθλοῦντας ἐθεράπευε, ἐν ταῖς φυλακαῖς, ἐν αἷς ἦσαν, εἰσιοῦσα καὶ τῶν μολυσμῶν αὐτοὺς ἀπολούουσα καὶ ἐλαίῳ ἀλείφουσα καὶ τοὺς ἰχῶρας αὐτῶν ἀπομάττουσα καὶ τροφὰς ἐπιτηδείας τούτοις παρέχουσα, μιᾶς μόνης θεραπαινίδος συνεπομένης αὐτῇ· ἐπὶ τούτοις πρῶτον μὲν ὑπὸ τοῦ ἀνδρὸς ἐφρουρήθη ἐπιγνόντος τὰ κατ' αὐτήν. Ἐπεὶ δὲ ἐκεῖνος διαποντίῳ κλύδωνι γέγονεν ὑποβρύχιος, ἀδείας αὕτη λαβομένη πάντα αὐτῇ τὰ προσόντα διένειμε τοῖς πτωχοῖς· εἶτα ἀδεέστερον τοὺς ὑπὲρ Χριστοῦ ἐναθλοῦντας ἐθεράπευε καὶ τελειωθέντας συνεκόμιζε καὶ παρεδίδου τῇ ὁσίᾳ ταφῇ· καὶ πολλοὺς πρὸς τὸ μαρτυρεῖν ὑπαλείψασα καὶ διαφόροις ἡγεμόσιν ἐξετασθεῖσα καὶ ἐν θαλάσσῃ μεθ' ἑτέρων γυναικῶν ἀπορριφεῖσα, τὸ τελευταῖον πάλοις προσδεθεῖσα τῷ πυρὶ παρεδόθη καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Ὁ δὲ Χρυσόγονος εἰς Νίκαιαν ἀχθεὶς δέσμιος πρὸς Διοκλητιανὸν ἀπεκεφαλίσθη. Τελεῖται δὲ ἡ τῆς μάρτυρος σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις.

Crypt. Δ.α. XIV = Cf, ff. 188-198v
Patm. 197 = Πc, ff. 109v-113

f. 188 ‖ Ὁ κανὼν ἔχων ἀκροστιχίδα·

Χαρᾶς Ἀναστασία κοινῆς προτρέχει.
Ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος*

Χαρίτων τῆς τοῦ Χριστοῦ γεννήσεως
ἀκτῖνες ηὔγασαν
καὶ ὁδηγοῦσι σήμερον ἡμᾶς
ἐν τῇ μνήμῃ τῆς μάρτυρος
πρὸς τὸ φῶς τὸ ἀνέσπερον
τοῦ γεννωμένου ἐν σπηλαίῳ σαρκί.

Ἀνάψασα τὴν λαμπάδα, ἔνδοξε,
τὴν τῆς ἀθλήσεως
τὸν γεννηθέντα ἥλιον Χριστὸν
ἐν σπηλαίῳ ἀνίχνευσας
καὶ ὡς δῶρα τὰ αἵματα,
Ἀναστασία, τούτῳ δέδωκας.

Ῥανίσι ταῖς τῶν αἱμάτων, Κύριε,
τῶν ἀθλοφόρων σου
τῆς ἀσεβείας ἔσβεσας τὸ πῦρ
καὶ πιστοῖς ταῦτα δέδωκας
δρόσον ἀεὶ ὀμβρίζοντα
τῶν ἰαμάτων θεῖα νάματα.

tit. Ἕτερος κανὼν τῆς μάρτυρος ἔχων... Cf Ἕτερος κανὼν εἰς τὴν ἁγίαν Ἀναστασίαν et in marg. Γεωργίου Πc; idem cd. multis in locis odarum praesentis canon. trop. diversa praebet, quae, ex alio canon. S. Anastasiae manifeste avulsa, ad acr. non pertinent

heirm. α' EE 94, n. 133, Joannis 11 ὡς δῶρα τὰ] ὥσπερ προῖκα Πc 12 δέδωκας] ἤνεγκας Πc 13 ταῖς] τοῖς Cf 16 ταῦτα] τοῦτο Πc

post trop. « Ῥανίσι » hoc profert Πc: Τὴν ἔνδοξον καὶ ἁγίαν μνήμην σου / νῦν ἑορτάζομεν, / Ἀναστασία, μάρτυς τοῦ Χριστοῦ, / ἱερῶς εὐφημοῦντές σε· / ταῖς σαῖς πρεσβείαις μνήσθητι / ἡμῶν, δεόμεθα, πρὸς Κύριον.

θεοτ. Γεννᾶται ὁ ποιητὴς τῆς κτίσεως
καὶ καινουργὸς τοῦ παντὸς
δι' εὐσπλαγχνίαν ἄφατον Χριστὸς
ἐν σαρκὶ ἐκ παρθένου μητρὸς
καὶ βροτοῖς ἀναγέννησιν
καὶ νεοποίησιν παρέχεται.

f. 189 ᾠδὴ β'. *Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι Θεός*

Ἄνθη δρεψάμενοι
τὰ τῶν ᾀσμάτων νοητῶς
δῶρα Χριστῷ ταῦτα εὐπρεπῆ
ἐν τῷ σπηλαίῳ μέλλοντι
τεχθῆναι ἐκ παρθένου
καὶ προεόρτιον αἶνον ἐν πίστει
ὡς οἱ μάγοι προσενέγκωμεν αὐτῷ.

Σώματος ἔσβεσας
τὰς πυρπολούσας ἡδονὰς
καὶ τῶν παθῶν ἔπαυσας ὁρμὰς
τῆς σωφροσύνης τῇ δρόσῳ·
διὸ καὶ ἱερεῖον
ἁγνὸν προσήχθης Κυρίῳ δι' ἄθλων,
Ἀναστασία, καὶ θυσία λογική.

Ἄμωμον κόσμησιν
τὸν τῆς ἁγνείας λογισμὸν
καὶ τὸν φαιδρὸν στέφανον, σεμνή,
τῆς σωφροσύνης φοροῦσα
εἰσῆλθες εἰς νυμφῶνα
μετὰ συνάθλων παρθένων ἀξίως
τοῦ τεχθέντος ἐκ παρθένου δι' ἡμᾶς.

23-24 καὶ κόσμον ἀπολλύμενον / ἀνακαινίζει ὡς φιλάνθρωπος Πc

heirm. β' EE 120, n. 166, Andreae cognomine Τυφλοῦ 25-59 ode β' desideratur in Πc 27 εὐπρεπεῖ Cf

Νέφη παρέδραμες,
Ἀναστασία, τῶν παθῶν
καὶ τῷ φωτὶ τοῦ δημιουργοῦ
δι' ἀπαθείας ἐνθέου
προσήγγισας καὶ τούτῳ
τῇ καρτερίᾳ τῶν ἄθλων συνήφθης
καὶ ἀκτῖσιν ἐφωτίσθης ταῖς αὐτοῦ.

θεοτ. Ἔνδον εἰσήγαγε
τοῦ παραδείσου τῆς τρυφῆς
ὁ τὴν βροτῶν φύσιν προσλαβὼν
καὶ γεννηθεὶς ἐν σπηλαίῳ
ἐκ σοῦ, θεοκυῆτορ,
f. 189v || τοὺς θεοτόκον κυρίως τιμῶντας
καὶ μητέρα σε δοξάζοντας ἁγνήν.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἀστὴρ ὁ προαγγελθεὶς
κῆρυξ φωτὸς τοῦ νοητοῦ σήμερον
προανατέλλων ἡμῖν
τὴν αὐτοῦ κηρύττει ἐπέλευσιν.

Συνέθλασας κεφαλὴν
τοῦ πολεμήτορος ἐχθροῦ, ἔνδοξε
Ἀναστασία, τοῖς σοῖς
ἄθλοις καὶ ἀγώνων παλαίσμασιν.

Τῆς πίστεως τῷ φωτὶ
καταυγασθεῖσα τὴν ψυχήν, ἔνδοξε,

heirm. γ' EE 94, n. 133, Joannis 60-63 pro hoc trop. aliud profert Πc: Τὴν γέννησιν τοῦ Χριστοῦ / προεορτάσωμεν, πιστοί· ἔρχεται / ἐν τῷ σπηλαίῳ τεκεῖν / τὸν ζωῆς δεσπότην ἡ πάναγνος. 66-67 τὸν ἐραστήν σου Χριστὸν / εἶδες νοητῶς ἐν τῷ σκάμματι Πc 67 παλαίσμασιν scripsi: -ματα cd. 68-71, 72-75 pro trop. « Τῆς πίστεως τῷ φωτὶ » et « Ἁγνείᾳ τῇ ἀθιγεῖ » alia porrigit Πc: Ἐδέξω παρὰ Θεοῦ, / Ἀναστασία, φωτισμὸν // ἅπασι / καὶ ἰαμάτων πηγὴν / εἰς τὸ θεραπεύειν τοῖς κάμνουσιν. Τὴν ἔνδοξον καὶ σεπτὴν / μνήμην σου, μάρτυς τοῦ Χριστοῦ, σέβομεν / ἐπιτελοῦντες πιστῶς, / ὕμνοις ἱεροῖς εὐφημοῦμέν σε.

τὸν ἐραστήν σου Χριστὸν
εἶδες νοητῶς ἐν τῷ σκάμματι.

Ἁγνείᾳ τῇ ἀθιγεῖ
κατακοσμοῦσαι ἑαυτὰς ἔνδοξοι
ὥσπερ νυμφῶνα φαιδρὸν
στάδιον ἀγώνων ὑπέδυσαν.

θεοτ. Ὡραῖος ἐκ σοῦ, ἁγνή,
ἐν τῷ σπηλαίῳ ὁ Χριστὸς ἥλιος
ἐξανατείλας, βροτοὺς
τῇ αὐτοῦ προόδῳ ἐφώτισεν.

f. 190v Κάθισμα.

Ἦχος γ'. Πρός· *Τὴν ὡραιότητα τῆς παρθενίας σου*

(α') Ἐν τῇ ἀθλήσει σου, μάρτυς πανεύφημε,
αἱ ἐπουράνιοι τάξεις εὐφράνθησαν,
ὅτι ἐν σώματι θνητῷ
τὸν ἀσώματον ἔρρηξας·
ὅθεν τὰ βουλεύματα
τῶν τυράννων κατήργησας
καὶ ἄνωθεν τὸν στέφανον
τὸν οὐράνιον εἴληφας·
διὸ καὶ ἀνυμνοῦντες βοῶμέν σοι·
« πρέσβευε σωθῆναι τοὺς τιμῶντάς σε ».

(Ἄλλο).

Ἦχος δ'. Πρός· *Κατεπλάγη Ἰωσὴφ*

(β') Ὡς μαθήτρια Χριστοῦ
καὶ τὰ διδάγματα αὐτοῦ
ἐκπληροῦσα εὐσεβῶς
σὺ καθωδήγησας ψυχὰς

71 ἴδες Cf 75 ὑπέδυσας Cf 76 Ὡραίως Cf 77-79 ἐν τῷ σπηλαίῳ Βηθλεὲμ τίκτεται / καὶ ὡς Θεῷ μάγοι δὲ / δῶρα καθαρὰ προσκομίζουσιν Πc
heirm. καθ. (α') HR 243 heirm. ἄλλου (β') MR III, 388

πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας ἄγουσα
καὶ μάρτυρας αὐτὰς Θεῷ προσήγαγες
καὶ στέφανον διπλοῦν ἄνωθεν ἔλαβες
τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν, θεόνυμφε
Ἀναστασία θεόφρον, σεπτή·
f. 191 διό σου πό||θῳ νῦν ἐκτελοῦμεν
σὺν αὐταῖς τὸ μαρτύριον.

Ἄλλο.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

(γ') Τῶν μαρτύρων ζηλοῦσα τὴν ἀρετὴν
....

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία*

Συναγάλλονται οἱ ἄγγελοι τοῖς ἀνθρώποις
καὶ μίαν προεόρτιον
κροτοῦσι χορείαν
τῆς Χριστοῦ ἐλεύσεως·
αὐτῷ μελῳδήσωμεν·
« δόξα τῇ δυνάμει σου, Κύριε ».

Ἰσχυρότατον κατέβαλες, ἀθλοφόρε,
f. 191v ἐν ἀ||σθενείᾳ σώματος
ἐχθρὸν τῇ ἐνστάσει
καὶ τῇ καρτερίᾳ σου·

Κάθ. ἄλλο (γ') MR II, 584; καθ. omnia om. Πc
heirm. δ' EE 94, n. 133, Joannis 83 ἐλεύσεως] γεννήσεως Πc
85 post δόξα orat. varie abrumpunt cdd. 86-91 trop. om. Πc
88 ἐχθρῶν Cf

κάθ. (β') 5 I Tim. 2,4

διὸ καὶ παράδοξα,
Ἀναστασία, τρόπαια ἔστησας.

Ἀπεκλείσθησαν ταμεῖα τῆς ἀθείας
καὶ τῆς θεογνωσίας,
Χριστοῦ ἐν σπηλαίῳ
ὑπὲρ νοῦν τεχθέντος σαρκί·
ἠνοίγησαν ἅπασι
πύλαι τοῖς πιστῶς ἀνυμνοῦσιν αὐτόν.

Κατεβλήθη τὰ φρονήματα ἀσεβούντων
καὶ νοῦς ὁ ὑπερήφανος
ταπεινὸς ἐδείχθη
τῇ στερρᾷ ἐνστάσει σου
καὶ τῇ γενναιότητι·
οἷς, Ἀναστασία, νενίκηκας.

Ὁ ὑπέρλαμπρός σοι στέφανος τῶν χαρίτων
τῇ δεξιᾷ τοῦ κτίσαντος
πλακείς, ἀθλοφόρε,
φαιδρῶς ἐπιτέθειται·
μεθ' οὗ ἐν σκηναῖς Θεοῦ
μετὰ τῶν συνάθλων χορεύεις ἀεί.

θεοτ. Ῥάβδος ἔφυς, θεοτόκε, ἐξ ἧς τὸ ἄνθος
τὸ νοητὸν βλαστῆσαν
ἐν σπηλαίῳ πᾶσαν
τὴν γῆν εὐωδίασεν
ὀσμῇ τῇ τῆς χάριτος
καὶ τῇ μυρωδίᾳ τοῦ πνεύματος.

---

97 πύλαι] πάλαι Πc
post trop. « Ἀπεκλείσθησαν... » hoc praebet Πc: Ἑορτάζομεν τὴν μνήμην σου τὴν ἁγίαν, / μάρτυς Χριστοῦ, ἐν ὕμνοις / σὲ ἀνευφημοῦντες· / πᾶσιν ἡμῖν δώρησαι / πρεσβείαις σου, ἔνδοξε, / τὸν ἁγιασμὸν καὶ τὸ ἔλεος. 98 -θη τὰ] -θησαν Πc
103 οἷς] ὦ Πc νενίκηκας] ἐνήθλησας Πc 104-109 trop. om. Πc
111 βλαστῆσαν scripsi: βλαστήσασαν Cf -σασα Πc

110-111 Is. 11,1; Num. 17,23; Hebr. 9,4

f. 193 ᾠδὴ ε'. *Σύ, Κύριέ μου, φῶς*

Ἰσχὺς τοῦ δυνατοῦ
ἀσθενεῖ πολεμήτορος·
ὁ μόνος γὰρ ἐν ἰσχύι
θαυμαστὸς Θεὸς Λόγος
κατ' αὐτοῦ ἐπεδήμησεν.

Νευροῦσα τῆς ψυχῆς
τὸ φρόνημα κατέβαλες
τὰ θράση τῶν τυραννούντων,
κατ' αὐτῶν ὁπλισθεῖσα,
Ἀναστασία ἔνδοξε.

Ἡρπάγης νοητῶς
εἰς θέαν τοῦ νυμφίου σου
καὶ τούτῳ δῶρα προσῆξας
τὰς συνάθλους σου, μάρτυς,
ὡς οἱ μάγοι τὸ πρότερον.

Θεοτ. Γαλήνην νοητὴν
οὐρανὸς αἰθριάζει τῇ γῇ,
μηνύων σου δι' ἀστέρος
τοῦ φωτὸς τοῦ ἀδύτου
τὴν ἐν σαρκὶ ἐπίλαμψιν.

f. 194 ᾠδὴ ϛ'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Σήμερον
προευτρεπίζει δῶρα τῷ κτίσαντι
πᾶσα ἡ κτίσις κροτοῦσα

---

heirm. ε' EE 94, n. 133, Joannis 116-120 aliud trop. profert Πc: Ἡ πόλις Βηθλεὲμ / ἑτοιμάζου τὸ σπήλαιον· / ἡ ἄχραντος θεοτόκος / πρὸς σὲ ἥκει γεννῆσαι / τὸν τρέφοντα τὰ σύμπαντα. 117 ἀσθενῆ Cf 126-130 aliud trop. profert Πc: Προσνέμοις δωρεὰν / τὰς ἰάσεις τοῖς χρήζουσι / καὶ πάντων τὰς ἀσθενείας / καὶ τὰς νόσους κουφίζεις, / Ἀναστασία ἔνδοξε. 132 ἐθριάζει Cf 133 σου] γὰρ Cf 135 τὴν ἐν σπηλαίῳ γέννησιν Πc

heirm. ϛ' EE 94, n. 133, Joannis 138 κροτοῦσα] κροτείτω Πc

μέλλοντι τεχθῆναι ἐν τῷ σπηλαίῳ
ἐκ παρθένου,
ἵνα πάντα καινίσῃ ὡς εὔσπλαγχνος.

[Σύμβολα
τῆς ψυχικῆς, σεμνή, ὡραιότητος
τῇ εὐπρεπεῖ θεωρίᾳ
πᾶσιν ὑποφαίνουσα τοῖς ὁρῶσι
τῶν ἀρετῶν
τὸ ἀνόθευτον κάλλος ἐδείκνυες].

Παρθένων
θεοπρεπὴς χορεία συνήθροισε
πρὸς μυστικὴν εὐωχίαν
ἡμᾶς, τὰ ἐδέσματα
τῶν ἀγώνων τῶν οἰκείων
εἰς τρυφὴν προτιθεῖσα εὐφρόσυνον.

Θεοτ. Ἴδομεν
ἅπερ ἰδεῖν προφῆται ἐπόθησαν,
θεοκυῆτορ παρθένε,
διὰ σοῦ καὶ πόθῳ σε εὐφημοῦμεν
ὡς αἰτίαν
τῶν Θεοῦ μυστηρίων καὶ πρόξενον.

f.195 Κοντάκιον.

Ἦχος β'. Πρός· *Τὰ ἄνω ζητῶν*

(α') Οἱ ἐν πειρασμοῖς
....

---

141 πάντα καινίσῃ] κόσμον φωτίσῃ Πc 142-147 trop. expunxi, quia acr. non attinet 142-153 haec duo alia trop. profert Πc: Ἔρωτι / τετρωμένη, σεμνή, τοῦ νυμφίου σου / τὰς τιμωρίας γενναίως / δι' αὐτὸν ὑπέστης καὶ τὰς βασάνους / καὶ προθύμως / σοῦ τὸ αἷμα, ἁγία, ἐξέχεας. Τιμῶμεν / καὶ πιστῶς ἐκτελοῦμεν τὴν ἔνδοξον / καὶ σεβασμίαν σου μνήμην / ἐν ψαλμοῖς ἐνθέως, Ἀναστασία, / μετὰ φώτων / ἐν τῷ θείῳ ναῷ σου, πανεύφημε. 143 τῆς ψυχῆς τῇ σεμνῇ ὦ. Cf 148 Παρθένον Cf 149 θεοπρεπεῖς Cf 154 Ἴδομεν] Εἴδομεν Πc 159 τῶν] τοῦ Cf

Κοντ. et οἰκ. MR II, 588; eadem om. Πc

Ὁ οἶκος.

Πρός· *Τράνωσόν μου τὴν γλῶτταν*

(α') Τῆς ἀναστάσεως τοῦ σωτῆρος
....

Ἄλλο κοντάκιον.

Ἦχος πλ. β'.

(β') Τὸ τοῦ Παύλου ῥητὸν ἐκπληρώσασα
τοῖς ἁγίοις καλῶς διηκόνησας·
διὸ καὶ μαρτυρίῳ κατεκοσμήθης, ἀθλοφόρε·
ἀλλ' ὡς ἔχουσα παρρησίαν πρὸς Χριστὸν τὸν Θεὸν
τῶν βελῶν τοῦ Βελίαρ
ἐλευθέρωσον ἡμᾶς πρεσβεύουσα
τὸν ζητοῦντα σῶσαι γένος ἀνθρώπων.

(Ὁ οἶκος).

(β') Ὕμνον μοι δώρησαι, Λόγε Θεοῦ,
τιμῆσαι ᾄσμασι πνευματικοῖς
τὴν σὴν ἁγίαν ἀθλοφόρον
τὴν ἐπώνυμον σχοῦσαν τῆς σῆς ἀναστάσεως·
οὔτε γὰρ σοφῶν γλῶττα
ταύτης τὰς ἀριστείας
ἐπαξίως εἰπεῖν δύναται·
ἰδοὺ γὰρ αὕτη τῶν τυράννων τὸ θράσος ὑπέμεινε στερρῶς
ὑπὲρ σοῦ τὰς βασάνους
ἐν τοῖς χρόνοις τῆς πλάνης ὡς ἔγνωμεν·
διό, αἰτῶ σε, μόνε ἀγαθέ,
f. 195v || δώρησαί μοι τὴν ᾠδήν,
ἐγκαινίζων μοι φθόγγον
ἄξιον τῶν σῶν ᾀσμάτων,
τὸν ζητοῦντα σῶσαι (γένος ἀνθρώπων).

οἰκ. (α') 1 σωτῆρος] Κυρίου MR

Κοντ. (β') 1 II Tim. 4,7-8

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Ῥήμασιν ὥσπερ
τῇ τοῦ ἀστέρος θέᾳ ὁ οὐρανὸς
πᾶσι
διηγεῖται δόξαν τὴν ὑπὲρ νοῦν
προμηνύων τὴν ἐπέλευσιν
τοῦ ἐπὶ γῆς σαρκὶ
ἀνατέλλειν φωτοδότου μέλλοντος.

Ὁ ἐν ἁγνείᾳ
θησαυρισθείς σοι κόσμος περιφανὴς
πᾶσιν,
ἀθλοφόρε, γέγονε, προτεθεὶς
δι' ἀθλήσεως τοῖς πέρασι,
καὶ διὰ τοῦτό σε,
Ἀναστασία, πάντες γεραίρουσιν.

[Τῆς ἐνδημίας
τοῦ νοητοῦ νυμφίου καὶ ποιητοῦ
πόθῳ
προδραμοῦσαι δῶρα τούτῳ τερπνά,
καλλιπάρθενοι, προσήξατε
οἰκεῖα αἵματα
καὶ ἀγώνων ἀνδρεῖα παλαίσματα].

---

heirm. ζ' ΕΕ 94, n. 133, Joannis 161 θέᾳ om. Πc 164 προμηνύοντα τὴν ἔλευσιν Πc 166 ἐν τῷ σπηλαίῳ τεχθῆναι προήκοντος Πc 167-180 in loco horum trop. alia profert Πc: Ὡς παρρησίαν / πρὸς τὸν Κύριον ἔχουσα, ἔνδοξε, / τοῦτον / ἐκτενῶς ἱκέτευε τοὺς πιστῶς / ἑορτάζοντας τὴν μνήμην σου / πάσης στενώσεως / καὶ ὀργῆς καὶ ἀνάγκης διάσωσον. Τοῖς ἐν ὀδύνῃ / καὶ ἀσθενείᾳ καὶ θλίψει καὶ πειρασμοῖς / πίστει / προσιοῦσι, μάρτυς, πρὸς τὴν θερμὴν / καὶ σεβάσμιον πρεσβείαν σου / πάντας ἐπίσκεψαι / καὶ παράσχου τὴν ῥῶσιν καὶ ἔλε(ος). Χαρᾶς ἐνθέου / καὶ εὐφροσύνης ἡμᾶς ἀξίωσον / πάντας / καὶ παράσχου ῥῶσιν καὶ φωτισμὸν / καὶ τὸ ἔλεος πρεσβείαις σου / σκέπουσα, σώζουσα / ἐκ πειρασμῶν καὶ πάσης κακώσεως. 168 περιφανεὶς Cf 174-180 trop. expunxi, quia acr. non attinet

---

160-163 Ps. 18,2

θεοτ. Ὁ ἐν τοῖς κόλποις
τοῖς πατρικοῖς ὑπάρχων Λόγος Θεοῦ
οὗτος
ἐν μητρῴοις κόλποις ὡς ἀγαθὸς
ἀναπαύεται δι' ἔλεον
αὐτοῦ ἀπόρρητον
καὶ ἐν φάτνῃ σαρκὶ ἀνακλίνεται.

f. 196v ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Τὰς πύλας διήνοιξεν ἡμῖν
τῶν ἀγαθῶν ὁ Χριστός·
οἰκήσας σπήλαιον
καὶ προσλαβόμενος φύραμα
τὸ ἡμῶν ἐκαινοποίησε,
τῶν ἀνυμνούντων ἐκτενῶς
καὶ ἐκβοώντων αὐτῷ·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Ῥείθροις τῶν αἱμάτων σου, σεμνή,
τὸν πολεμήτορα
ἐχθρὸν ἀπέπνιξας
καὶ πρὸς τὸν εὔδιον ἔφθασας
τῆς τοῦ κτίστου καταπαύσεως,
Ἀναστασία, λιμένα
πόθῳ κραυγάζουσα·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

182 τοῦ Πατρὸς αὐλιζόμενος Λόγος Θεοῦ Πc 185 ἔλεος Πc 186 αὐτοῦ] ὄντως Πc

heirm. η' EE 94, n. 133, Joannis 193 τῶν ἀνυμνούντων εὐσεβῶς Πc τοὺς ἀνυμνοῦντας Cf 194 καὶ ἐκβοώντων πιστῶς Πc ἐκβοῶντας Cf 195, 204, 213, 222 post εὐλογ(εῖτε) orat. detruncatur in cdd. 201-202 καὶ ἀκύμαντον λιμένα Χριστοῦ / τοῦ σοῦ νυμφίου καὶ βοᾶς Πc 203 πόθῳ] αὐτῷ Πc

181-182 Joh. 1,18

Εἵλκυσας ὀπίσω σου, Χριστέ·
αἱ καλλιπάρθενοι
θείῳ πυρούμεναι
πόθῳ καὶ ἔρωτι, Κύριε,
τῆς γλυκείας ἀγαπήσεώς σου
Ἀναστασίαν ἀρχηγὸν
ἔχουσαι, κράζουσαι·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

θεοτ. Ὕμνησαν ἀγγέλων στρατιαὶ
f. 197 τὸν γεννηθέντα || ἐκ σοῦ
ἐν τῷ σπηλαίῳ, ἁγνή,
καὶ τὰ μυστήρια ᾔνεσαν
τῆς κυήσεώς σου λέγουσαι·
« σὺ εἶ χαρὰ τῶν γηγενῶν,
δι' ἧς κραυγάζομεν·
εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

f. 198 ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Χριστὸς παραγίνεται πᾶσαν
θέλων τὴν κτίσιν νεουργῆσαι
καὶ σαρκὶ ὀφθῆναι ἀνθρώποις,
ἀναστραφῆναι αὐτοῖς ὡς εὔσπλαγχνος·
ᾧ πίστει προεόρτια
δῶρα τὴν αἴνεσιν προσάξωμεν.

206-214 aliud trop. profert Πc: Ποθοῦσα τὸ πάθος τὸ σεπτὸν / ὑπέστης, ἔνδοξε, / πάθος μακάριον / καὶ ἐκαρτέρησας πάσχουσα / ἀνενδότως ταῖς βασάνοις, σεμνή, / ὁμολογοῦσα τὸν Χριστὸν / τὸν στεφοδότην σου / καὶ βοῶσα· / πάντα (τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον). 206 Εἵλκυσας: fort. scribendum Εἵρπυσαν 217 ἁγνὴ] σεμνὴ Πc 221 κραυγάζουσιν Cf

heirm. θ' EE 94, n. 133, Joannis 227 καὶ ἀναστῆσαι ὡς ὑπεράγαθος Πc 229 προσάξομεν Πc

226 I Tim. 3,16

Ἔλυσας τοῦ σώματος ψυχὴν
τῆς προσπαθείας, ἀθλοφόρε,
καὶ τῇ ἀπαθείᾳ συνῆψας
καὶ ἀφθαρσίᾳ ταύτην καὶ κρείττονος,
Ἀναστασία ἔνδοξε,
τῆς ἀναστάσεως ἐπέτυχες.

Ἰδεῖν τὰ ἀμήχανα κάλλη
τοῦ ἐραστοῦ καὶ νυμφίου
μετὰ τῶν ἐνδόξων συνάθλων
ἀξιωθεῖσα, Ἀναστασία σεμνή,
σὺν ταύταις καθικέτευε
τυχεῖν ἡμᾶς τῆς ἀπορρήτου χαρᾶς.

θεοτ. Ὑπὲρ φαεινὰς τοῦ ἡλίου
ἡ προεόρτιός σου δόξα
πᾶσι τοῖς ἐν γῇ ἁπλουμένη
f. 198v καταφω||τίζει ἡμᾶς, πανάχραντε,
καὶ ὁδηγεῖ ἰθύνουσα
πρὸς τοῦ υἱοῦ σου τὴν ἐπίλαμψιν.

---

230 ψυχὴν] ψυχὰς Cf 233 ἀφθαρσίας Πc καὶ] τῆς Cf 236-241 trop. valde differt in Πc: Ἰδεῖν τὸ ἀμήχανον κάλλος / τοῦ ἐραστοῦ σου ἠξιώθης, / ἔνθα σὺν ἀγγέλοις χορεύεις, / Ἀναστασία, παρισταμένη Θεῷ· / ὃν ἐκτενῶς ἱκέτευε / τοῦ ἐλεῆσαι τὰς ψυχὰς (ἡμῶν).

post trop. « Ἰδεῖν ... » hoc profert Πc: Σήμερον ἐν πίστει καὶ πόθῳ / ἐπιτελοῦμεν, ἀθλοφόρε, / μνήμην σου ἐν ᾄσμασι θείοις, / Ἀναστασία ἀξιοθαύμαστε· / ταῖς σαῖς πρεσβείαις μνήσθητι / ἡμῶν καὶ σκέπε ἐκ παντοίων δεινῶν. vv. 242-245 valde differunt in Πc: Ὑπὲρ τὰς ἀκτῖνας ἡλίου / ἡ προεόρτιος ἡμέρα / πάντας τοὺς ἐν γῇ κατοικοῦντας / καταφωτίζει, ἁγία δέσποινα,

IN SANCTAM ANASTASIAM MARTYREM

Mess. gr. 135 = N, ff. 263v(267v)-266v(270v)

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι Θεῷ*

Μνήμην τελοῦντες εὐσεβῶς
τῆς σεπτῆς ἀθλοφόρου
τοῦ βασιλέως τοῦ Χριστοῦ
αὐτὸν ἀνυμνήσωμεν
τὸν αὐτὴν στεφανώσαντα.

Τὴν ἀθλοφόρον τοῦ Χριστοῦ
ὡς πηγάζουσαν πᾶσι
τοῖς ἀσθενοῦσι λαοῖς
ἰάσεως νάματα
συμφώνως εὐφημήσωμεν.

θεοτ. * Ἡ διὰ λόγου ἐν σαρκὶ
ὑπὲρ λόγον τεκοῦσα
τὸν ἀρχηγὸν τῆς ζωῆς,
παρθένε, ἱκέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

---

heirm. α' EE 202, n. 287, Germani; heirm. integros profert cd. 11-15 θεοτ. NS 28 (1933), 335; AHG III, 176; cfr. etiam supra canon. XXXIV (1), vv. 21-25 14 παρθένε] ἀπαύστως NS

ᾠδὴ γ'. *Στερέωμά μου γενοῦ*

f. 264 (268) Διὰ τῆς ἀθλοφόρου,
σωτήρ, τῇ οἰκουμένῃ
τὴν εἰρήνην παράσχου
ὡς μόνος ἐλεήμων
καὶ σῶσον, ἀγαθέ,
πάντας τοὺς ὑμνοῦντάς σε.

Τὰς ἰάσεις ἀπαύστως
ἀντλήσωμεν εὐψύχως
ταῖς εὐχαῖς τῆς ἁγίας·
πρεσβεύει γὰρ ἀπαύστως
Χριστῷ τῷ λυτρωτῇ
σῶσαι τοὺς πιστεύοντας.

θεοτ. * [Παναγία παρθένε,
ἡ κεχαριτωμένη,
ἡ τεκοῦσα ἐν χρόνῳ
τὸν Λόγον ὑπὲρ λόγον,
δυσώπησον αὐτὸν
σῶσαι τὰς ψυχὰς ἡμῶν].

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Δυσωπούμενος
ταῖς ἱκεσίαις τῆς ἀθλοφόρου
τὴν ζωὴν ἡμῶν εἰρήνευσον
ὡς φιλάνθρωπος, Κύριε.

---

heirm. γ' EE 203, n. 288, Germani 28-33 θεοτ. MR III, 88, sed ad heirm. *Οἱ ὀρθρίζοντες, Λόγε,* ε' odes pertinet; cfr. infra vv. 58-63; cfr. etiam canon. XXXIV (1), vv. 112-117
heirm. δ' EE 203, n. 287, Germani

264v (268v) || Ἐκμειώσασα
τὰς δυσσεβείας τὰς τῶν εἰδώλων,
τῶν τυράννων τὰ φρονήματα,
ἀθλοφόρε, κατῄσχυνας.

θεοτ. * Μῆτερ ἄχραντε,
εὐλογημένη ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ πάσης περιστάσεως.

ᾠδὴ ε'. *Οἱ ὀρθρίζοντες, Λόγε,*

Ἡ πανένδοξος μάρτυς
Χριστοῦ τοῦ φιλανθρώπου,
ἡ Θεὸν ἐν καρδίᾳ
ποθήσασα, ἀπαύστως
δυσώπησον αὐτὸν
σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἐπὶ σοὶ τοῦ σωτῆρος
ἡ πάνσοφος σοφία
ἐπαναπέπαυται, μάρτυς,
ἐκχέουσα τῷ κόσμῳ
τὴν ἴασιν πιστοῖς
διὰ σοῦ παρέχουσα.

θεοτ. * Παναγία παρθένε,
ἡ κεχαριτωμένη,
f. 265 (269) || ἡ τεκοῦσα ἐν χρόνῳ
τὸν Λόγον ὑπὲρ λόγον,
δυσώπησον αὐτὸν
σῶσαι τὰς ψυχὰς ἡμῶν.

---

39 τὰς τῶν: τὰς sup. lin. eadem manus scripsit 42-45 θεοτ. MR II, 602; cfr. etiam AHG X, 246 et in hoc vol. canon. XLVIII (1), vv. 106-109
42 Μήτηρ AHG 45 περιστάσεως] ἀνάγκης MR AHG
heirm. ε' EE 204, n. 289, Germani 58-63 θεοτ. MR III, 88; cfr. etiam θεοτ. odes γ' (vv. 28-33) huiusce canonis

ᾠδὴ ς'. *Ὁ Ἰωνᾶς*
ἐκ κοιλίας ᾅδου ἐβόα

Κατέφθειρας
τῶν εἰδώλων τὰς δυσφημίας,
θεόδεκτε
μάρτυς τῆς ἀληθείας,
Χριστὸν ὁμολογοῦσα
καὶ στεφάνοις ὑπ' αὐτοῦ
κατεκοσμήθης, σεμνή.

Τὰ πέρατα
διὰ σοῦ ἐλευθεροῦνται
ἐκ τῶν δεινῶν
ἀλγημάτων, ἡ μάρτυς
Χριστοῦ τοῦ φιλανθρώπου·
διὸ πρέσβευε, σεμνή,
τοῦ σωθῆναι ἡμᾶς.

θεοτ. * Ὃν ἔτεκες,
θεοτόκε, ἀνερμηνεύτως
Θεὸν ἡμῶν
δυσωποῦσα μὴ παύσῃ
ῥυσθῆναι ἐκ κινδύνων
f. 265v (269v) τοὺς || ὑμνοῦντάς σε,
ἁγνὴ ἀειπάρθενε.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

Τῶν μαρτύρων ζηλοῦσα τὴν ἀρετὴν
....

heirm. ς' EE 204, n. 289, Germani 70 κατεκοσμίσθης 74 ἡ μάρτυς: nominativus pro vocativo non rarus est apud Byzantinos, cfr. E. Schwyzer-A. Debrunner, *Griechische Grammatik II*, München 1950, pp. 63-64 78-84 θεοτ. MR III, 89; cfr. etiam canon. XXXIV (1), vv. 200-204
Κάθ. MR II, 584

ᾠδὴ ζ'. *Ὁ τῶν πατέρων καὶ ἡμῶν Θεός*

Τὴν ἀθληφόρον τὴν τοῦ Κυρίου
τιμῶμεν πάντες καὶ εὐλογοῦμεν.

Ὁ μεγαλύνας τῆς ἀθληφόρου,
Χριστέ, τὴν μνήμην εὐλογητὸς εἶ.

θεοτ. * Παρθένε, μήτηρ Θεοῦ τοῦ Λόγου,
266 (270) αὐτὸν δυσώπει || ὑπὲρ τοῦ κόσμου.

ᾠδὴ η'. *Τὸν μόνον ἄναρχον*

Τυράννων ἔκλινας
τὸν ὑψαύχενα τῦφον
καὶ τῶν εἰδώλων τὴν κακόδοξον πλάνην
κατῄσχυνας
εὐσεβῶς, ἀθληφόρε,
βοῶσα τῷ Χριστῷ·
« σῶτερ, ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

Τὸν δωρησάμενον
τῇ σεπτῇ ἀθληφόρῳ
κατὰ τῆς πλάνης οὐρανόθεν τὴν νίκην
φωτίζειν ἀεὶ
τὰς ἡμῶν διανοίας
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

* Τὸν πλαστουργήσαντα
τὸν Ἀδὰμ κατ' εἰκόνα

heirm. ζ' EE 203, n. 287, Germani 89-90 θεοτ. AHG VII, 217
heirm. η' EE 204, n. 289, Germani 105 post ὑπερυψοῦτε orat. detruncatur in cd. 107-114 θεοτ. TR 400 perperam ut θεοτ. datur

107-108 Gen. 1,26

καὶ ἐκ φυράματος αὐτοῦ προελθόντα
καὶ σώσαντα
τῶν ἀνθρώπων τὸ γένος
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἄχραντον*

f. 266v (270v) Μάρτυς ἔνδοξε
Χριστοῦ τοῦ φιλανθρώπου,
τῇ ἐκτενεῖ σου πρεσβείᾳ
τῶν κινδύνων ἐλευθέρωσον
τοὺς τὸν Θεὸν ἀληθῶς
ὕμνοις μεγαλύνοντας.

Σὲ τὸν δείξαντα
τὴν μνήμην τῆς ἁγίας
πνευματικὴν εὐφροσύνην
καὶ χαρὰν καὶ ἀγαλλίασιν
ἐκτενῶς οἱ πιστοὶ
ὕμνοις μεγαλύνομεν.

θεοτ. * Σὲ τὴν ἔνδοξον
καὶ μόνην θεοτόκον,
τὴν τὸν σωτῆρα τοῦ κόσμου
συλλαβοῦσαν, ὡς εὐδόκησε,
καὶ τεκοῦσαν
ὕμνοις μεγαλύνομεν.

110-111 και λύσαντα / τὴν ἀρχαίαν κατάραν TR 400 112 post ἱερεῖς orat. detruncatur in cd.
heirm. θ' EE 204, n. 289, Germani 127-132 θεοτ. TR 401, cf. supra p. 439.

IN SANCTAM ANASTASIAM MARTYREM

Mess. gr. 52 = M, ff. 85-86v
Vat. gr. 2309 = Vk, ff. 119v-120v

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄσωμεν ᾠδὴν τῷ Θεῷ*

Προεόρτιος φαιδρὰ ἑορτὴ
ἐνδοξοτέρα ὤφθη·
ἀγαλλιάσθω Δαβὶδ καὶ Ἰεσσαί,
ὅτι ἐκ τοῦ σπέρματος
κατὰ σάρκα τούτων
μέλλει γεννᾶσθαι Χριστὸς
ἐν Βηθλεὲμ δι' ἡμᾶς.

Σήμερον ἐπέστη ἡμῖν
τῆς ἀθλοφόρου μνήμη
Ἀναστασίας πηγάζουσα λαοῖς
τὰ τῶν θαυμάτων ῥεῖθρα
καὶ ἡμᾶς τοὺς πίστει
δοξολογοῦντας αὐτὴν
σώζει κινδύνων ἀεί.

---

tit. Ἕτερος κανὼν τῆς ἁγίας μάρτυρος M Ἕτερος τῆς ἁγίας Vk
heirm. α' EE 230, n. 331, Andreae; heirm. integrum praebet M 2 ὤφθης M 4 τοῦ om. Vk 5 τούτων] ὤφθη Vk 9 ἀθληφόρου Vk μνήμη] ἡ μν. Vk 10 Ἀναστασία M 14 σῶζε Vk

Τίς οὐκ ἐκπλαγῇ ταῖς φρεσὶν
ἀνδρωθὲν τὸ θῆλυ
καὶ κατ' ἐχθρῶν ὁπλιζόμενον ὁρῶν;
⟨ὁ⟩ γὰρ τὴν Εὔαν πάλαι
ἀπατήσας ὄφις
καταπατεῖται
ὑπὸ τῆς μάρτυρος.

θεοτ. Λέγε, θεομῆτορ ἁγνή,
πεῖραν ἀνδρὸς μὴ γνοῦσα,
πῶς τὸν τροφέα θηλάζεις ὡς υἱόν;
« ὥσπερ », φησίν, « ἡ ῥάβδος
Ἀαρὼν βλαστάνει,
οὕτως ἀσπόρως κἀγὼ
τὸν Λόγον τίκτω σαρκί ».

ᾠδὴ γ'. [*Οὐκ ἔστιν ἅγιος*]

Τὰ στίγματα φέρουσα
ἐν τῇ σαρκὶ τοῦ Χριστοῦ
ἀρρενωθεῖσα τὴν φρένα
τὴν ἧτταν τῆς Εὔας,
Ἀναστασία θεόφρον,
σοφῶς ἀνεκαλέσω
διὰ τῆς σῆς ἀθλήσεως.

Παρθένων ὁμήγυρις
καὶ ἀθλοφόρων ξυνωρὶς
μίαν κοινὴν ἐπεδείξαντο
ἀνδρείας στερρότητα

15-21 trop. om. Vk 15 ἐκπλάγει M φραισὶν M 16 τῶ M 18 ὁ addidi metri sensusque causa 22 Λέγει M 24 θηλάζης M
heirm. γ' EE 226, n. 323, Germani, sed metro stropharum minime aptatur 30 τῇ om. Vk 31 φραῖναν cdd. 34 σοφὸς Vk 36 Παρθένον M 39 ἀνδρείαν M

25-26 Num. 17,23; Hebr. 9,4 29-30 Gal. 6,17

ὡς τῆς Τριάδος ὁπλῖται
καὶ κράτος ἀνεδήσαντο
κατὰ τοῦ ἀρχεκάκου ἐχθροῦ.

Γυναῖκας ἐνεύρωσας
κατὰ τῆς πλάνης τοῦ ἐχθροῦ
ἀρρενωθείσας τὸ φρόνημα,
Χριστέ, τῇ δυνάμει σου
καὶ τὴν τοῦ θήλεος φύσιν
ὡς κτίστης πάσης φύσεως
νομίμως ἐστεφάνωσας.

θεοτ. * Παρθένος ἔτεκες,
ἀπειρόγαμε,
καὶ παρθένος ἔμεινας,
μῆτερ ⟨ἀπείρανδρε,
θεοτόκε Μαρία·
Χριστὸν τὸν Θεὸν ἡμῶν
ἱκέτευε σωθῆναι ἡμᾶς⟩.

Κάθισμα.

Ἦχος δ'. Πρός· *Κατεπλάγη Ἰωσήφ*

Ὡς μαθήτρια Χριστοῦ
....

f. 85ᵛ ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου*

Σήμερον ἡμῖν
προεόρτιος ἡμέρα
ἐπέστη, ἐκ παρθένου

43-49 trop. deest in Vk 50-56 θεοτ., quod mutilum praebent cdd., auxilio MR II, 264, complevi; cfr. etiam AHG III, 137 52-53 post ἔμεινας M et post μῆτερ Vk orat. abrumpunt
Κάθ. vide supra in canon. XLIII
heirm. δ' EE 224, n. 321, Joannis

γέννησις Κυρίου
καὶ ἡ τῶν ἄθλων τῆς μάρτυρος εὐφροσύνη,
δι' ὧν εὐφραίνει τὰς ψυχὰς ἡμῶν.

Τὰ πάθη τοῦ Χριστοῦ
ποθήσασα, ὁσία,
παρέστης εὐθαρσῶς
ἐν μέσῳ τοῦ σταδίου
ἀθλητικὴν ἐζωσμένη, μάρτυς, ἀνδρείαν
τῇ παρατάξει σου τῆς πίστεως.

Τὸ αἷμα τῆς σεμνῆς
παρθένου ἀνεδείχθη
ῥανίδες ἰαμάτων
ὄντως καὶ θαυμάτων·
τῷ γὰρ Κυρίῳ τῷ αἵματι ἐκεράσθη
διὰ τοῦ πάθους τῆς ἀθλήσεως.

θεοτ. Χαῖρε, τοῦ Θεοῦ
εὐρύχωρον χωρίον·
χαῖρε, ἡ χωρήσασα
—́ — — — —́ —
— — — —́ — — —́ — — — — —́ —
— — — —́ — —́ — —́ — —.

ᾠδὴ ε'. *Τὸν ζόφον τῆς ψυχῆς μου*

'Ηρίστευσαν γυναῖκες
ὁπλισθεῖσαι λόγοις οὐχ ὅπλοις,
Χριστὲ ὁ Θεός,

67 ἐζωσαμένη M -σμένην Vk 68 παρατάξη Vk 69-74 aliud trop. profert Vk: 'Ενεύρωσε Χριστὸς / τοῦ θήλεος (δήλαιος cd.) τὴν φύσιν / νικήσας δι' αὐτῶν / τὰ θράση τῶν τυράννων / καὶ τῆς προμήτορος Εὔας τὴν καταδίκην / τῇ τούτων πίστει ἀπεκρούσατο. 70 ἀνεδείχθης M 75-80 θεοτ., quod om. Vk, fine mutilum profert M 77 χωρέσασα M
heirm. ε' 228, n. 327, Andreae 82 λόγῳ Vk

κατὰ τοῦ πρώτου φθορέως
τοῦ πτερνίσαντος Εὔαν
καὶ νίκην ἦραν κατ' αὐτοῦ
καὶ τοὺς στεφάνους ἐξ ὕψους
νομίμως ἐπλέξαντο.

'Ανδρείαν τῇ φρονήσει
συλλαβοῦσα ἡ μάρτυς
τοὺς ἄθλους διήνυσε
δικαιοσύνης δὲ πρώην
σωφροσύνην ἀσκοῦσα·
δι' ἧς τοὺς στεφάνους, σεμνή,
κατεκοσμήθης νομίμως
ὡς νύμφη Χριστοῦ ἐκλεκτή.

Τὸ ἄφραστόν σου κάλλος,
'Ιησοῦ, ποθοῦσα ἡ μάρτυς
ἐβόα σφοδρῶς·
« ποῦ ὁ Χριστὸς ὁ νυμφίος,
οὗ τὸ κάλλος ζητοῦσα
τὰς ἀλγηδόνας τῶν παθῶν
καὶ τὰς πικρὰς τῶν βασάνων
στρεβλώσεις ὑφίσταμαι; »

τριαδ. Τριάδα προσκυνοῦντες
σὺν Πατρὶ Υἱὸν καὶ τὸ Πνεῦμα
δοξάζομεν
τριαδικῶς ἀνυμνοῦντες
μετὰ τῶν ἀσωμάτων·
« ἅγιος, ἅγιος εἶ
ἐν μονάδι Τριὰς
ὁ Θεὸς ἡμῶν ».

86 ἦρας M 87 τοὺς om. Vk 89 'Ανδρεία Vk τὴν φρόνησιν M 91 διήνοιξεν Vk 92 δικαιοσύνην M δέ: malim τε 93 ἀσκοῦσα] ἀκοῦσαι Vk 94 τοὺς om. Vk σεμνὴ] ἡμῖν Vk 95 κατεκοσμίσθης Vk 97-104 trop. om. Vk 106 καὶ om. Vk 110 ἅ. ἅ. ἅγιος εἶ Vk vv. 111-112 metro valde discrepant

ᾠδὴ ϛ΄. *Συνεχόμενον δέξαι με,*
φιλάνθρωπε,

Οὐ χρυσὸν οὐδὲ κτήματα
προέκρινας
τῆς ἀγάπης Χριστοῦ
καὶ ἀπέλαβες,
παρθένε κόρη,
διὰ τοῦ μαρτυρίου σου
τὴν δόξαν αὐτοῦ.

Τὰς ἀνύδρους ἐπότισας
καρδίας ἡμῶν
ἐν τοῖς ὄμβροις, σεμνή,
τῶν θαυμάτων σου
τῶν παραδόξων·
δι' οὗ καὶ τὰς ψυχὰς
εὐφραίνεις ἀεί.

θεοτ. Ἡ τὸ πῦρ τῆς θεότητος
ἐν σπλάγχνοις σου
δεξαμένη, ἁγνή,
καὶ κυήσασα
ἀκαταφλέκτως
πηγὴν ζωῆς τὸν Κύριον,
παρθένε ἁγνή.

Κοντάκιον.

Ἦχος β΄. *Τὰ ἄνω ζητῶν*

Τῆς πλάνης τεμὼν
....

heirm. ϛ΄ EE 226, n. 324, Germani 125 δι' οὗ: malim δι' ὧν vel διὸ 127-133 θεοτ. sententia prima caret: ellipsi εἶ utitur auctor 132 πηγὴ Vk
Κοντ. et οἶκ., quae om. Vk, in MR I, 175 ed. invenies, sed in S. Nicetam dicata

Ὁ οἶκος.

Γνῶσιν τὴν σὴν ἐνθεὶς τῇ ψυχῇ μου
....

f. 86 ᾠδὴ ζ΄. *Ὁ δι' ἀγγέλου παῖδας*

Εὐλογητὸς ὑπάρχει
ὁ χορὸς τῶν μαρτύρων,
ὅτι στερρῶς ἀντέστησαν
ἐν τῇ ὁμολογίᾳ
κατὰ τῆς πλάνης τοῦ ἐχθροῦ
ἐν ὁμονοίᾳ ψυχῆς.

Σὺν γυναιξὶν ἁγίαις
ἐν τῷ σταδίῳ γενναίως
τοῦ ἀρχεκάκου ὄφεως
κατεστρατήγουν πίστει
οἱ ἀθληταὶ τοῦ Ἰησοῦ
ἐν ὁμονοίᾳ ψυχῆς.

Τὴν Ἰουδὴθ ἐκείνην
καὶ τὴν Ῥοὺθ ἐμιμοῦντο
καὶ τὴν Ἐσθὴρ αἱ πάνσεμνοι
διὰ τῆς σωφροσύνης
καὶ τῆς ἀνδρείας τῷ Χριστῷ
εὐαρεστήσασαι.

heirm. ζ΄ EE 228, n. 326, Andreae 140 Σὺν] Γὺν Vk 144 Ἰησοῦ] Κυρίου Vk 145 cfr. v. 139 147 τὴν] τὴ Vk 148 τὴν Ἐ. scripsi: τῆς Ἐ. cdd. post Ἐσθὴρ Vk αἱ ἀρεστήσασε profert et orat. detruncat πάνσεμναι M

ᾠδὴ η΄. *Ὁ στεγάζων ἐν ὕδασι*

Τὸν εὐάρεστον βίον σου
οἱ τῶν ἀγγέλων χοροὶ
τὸν ἐν τῇ ἀσκήσει, μάρτυς ἁγία,
ἐπεκρότουν ποτέ·
ὅτε δὲ ἤθλησας
αἵμασιν εὐσεβείας μαρτυροῦσα
μέσον τῶν ἀγώνων
ὁ δημιουργὸς τῶν ὅλων
εἰς τοὺς αἰῶνας.

f. 86ᵛ ‖ Ἁρμοσθεῖσα ἐν πνεύματι
ἑνὶ ἀνδρί, τῷ Χριστῷ,
καθὼς γράφει Παῦλος, μάρτυς ὁσία,
εὐηρέστησας αὐτῷ
χαίρουσα, ψάλλουσα,
ᾄδουσα, κελαδοῦσα, μελετῶσα
λόγους θεοπνεύστους
καὶ συνεξασκοῦσα πίστει
καὶ παρθενίᾳ.

Τὸ ἀμήχανον κάλλος σου
τοῦ ἀληθοῦς ἐραστοῦ
ἡ ὁσία μάρτυς ἐπιποθοῦσα
ἀνεβόα, Χριστέ·
« διὰ σέ, δέσποτα,
συσταυροῦμαι καὶ θνήσκω καὶ τὰ μέλη
ταῦτά σοι προσάγω
τῷ ἀνακαινίζειν μέλλοντι
τοὺς ἀνθρώπους ».

heirm. η΄ EE 228, n. 327, Andreae 152 ἄρεστον Vk 158 μέσων cdd. 160 post τοὺς orat. abrumpit Vk 161 Ορμοσθῆσα Vk 163 γράφει om. Vk 164 ἐναρέτης Vk 166 ᾄδουσα om. Vk κυλαδοῦσα Vk 170-178 trop. deest in Vk 171 ἀληθοῦ M

161-163 II Cor. 11,2

θεοτ. Χαῖρε, θρόνε πυρίμορφε·
χαῖρε, ναὲ τοῦ Θεοῦ·
χαῖρε, στάμνε χρυσῆ, ἐξ ἧς τὸ μάννα·
χαῖρε, γέφυρα·
χαῖρε, παράδεισε·
χαῖρε, κούφη νεφέλη φωτοφόρε·
χαῖρε, πῖον ὄρος·
χαῖρε, θεοτόκε σεμνή·
χαῖρε, Μαρία.

ᾠδὴ θ΄. *Εὐλογητὸς Κύριος*
ὁ Θεὸς τοῦ Ἰσραήλ

Προβλεπτικοῖς ὄμμασι
προορῶν ὁ ὑμνῳδὸς
τῶν γυναίων τούτων τὴν ἀνδρείαν ποτὲ
παρθένους αὐτὰς προεκάλεσεν
ἀχθείσας ὀπίσω τοῦ Χριστοῦ
εἰς ναὸν βασιλέως,
συναφθείσας πνεύματι,
νυμφευθείσας δόξῃ.

Τὴν τῶν γυναίων ἔνστασιν
Ἡσαΐας προορῶν
« ἀπὸ θέας δεῦτε δή, γυναῖκες », βοᾷ·
ἰδοὺ δὴ τὸ στάδιον ἤνοικται,
τὸ σκάμμα ηὐτρέπισται ὑμῖν·
δεῦτε ἀνδρείως στῆτε,
ἀντιπαρατάξασθε
τῷ ἐχθρῷ, παρθένοι.

heirm. θ΄ EE 228, n. 327, Andreae heirm. 2 Θεὸς] δεσπότης Vk 191 προσεκάλεσεν M 193 ναὸν] λαὸν M 194 συναφθῆσα Vk 195 -θῆσα ἐν δ. Vk v. 197 ὁ προόρῶν Vk 198 ἀπὸ θείας Vk 200 ηὐτρέπιζε Vk ἡμῖν cdd. 201 στῆτε] στήσατε M 202 -ξασθαι M

179 Dan. 7,9 181 Ex. 16,33; Hebr. 9,4 182 Gen. 28,12 184 Is. 19,1 185 Ps. 67,16 188-195 Ps. 44,15-16 196-198 Is. 27,11

Νεανικῶς ἠρίστευσας,
πανσεβάσμιε Χριστοῦ,
τῇ ἀσκήσει πρὶν καταβαλοῦσα στερρῶς
τὸν δόλιον ὄφιν, εἰς ἔδαφος
νυνὶ τῇ ἀθλήσει τὸν ἐχθρὸν
τὸν δι' ἐκείνου πάλαι
τὴν Εὔαν πτερνίσαντα
συγκαταβαλοῦσα.

θεοτ. Τὸν τοῦ Πατρὸς συνάναρχον
καὶ ἀΐδιον Υἱὸν
ἐν γαστρί σου ὅλον δεξαμένη, ἁγνή,
ἐκύησας, μὴ τραπέντα ὅπερ ἦν·
διό, μητροπάρθενε σεμνή,
αὐτὸν ἀεὶ δυσώπει,
ἵνα πάντες λάβωμεν
ἄφεσιν πταισμάτων.

204-211 trop. deest in Vk 211 σύνκατάβαλοῦσα M 214 ἐγγαστρί σου M με post ὅλον perperam addidit M δεξαμένην Vk 218 λάβομεν cdd.

IN PROFESTUM NATIVITATIS IESU CHRISTI

Vat. gr. 1531 = Vi, ff. 153v-158v
Mess. gr. 138 = Mb, ff. 182v-183v
Athon. Lavrae Θ 32 = Az, ff. 135-137
Patm. 905A = Πr, ff. 90-93

Ὁ κανὼν προεόρτιος.

⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος*

Ἐν κόσμῳ τῶν ἀγαθῶν διέκυψεν
ὁ πλοῦτος σήμερον
καὶ τὸν δοτῆρα πᾶσι τῶν καλῶν
προμηνύων μερίζεται
εἰς ἅπαντας ἐν χάριτι
τοὺς πόθῳ θείῳ δεχομένους αὐτόν.

Εἰσόδους προευτρεπίζει σήμερον
Χριστῷ τὸ σπήλαιον
καὶ κεκλεισμένας πύλας ἡ Ἐδὲμ
ἐξανοίγει καὶ ἅπασι
τῆς ἀκηράτου δείκνυσι
τρυφῆς ἀνθρώποις τὴν ἀπόλαυσιν.

tit. Οἱ κανόνες· προεόρτιος εἰς ηʹ καὶ τοῦ ἁγίου (scil. Βονιφατίου) εἰς δʹ (Vi) Κανὼν προεόρτιος Vi Mb Ἕτερος κανὼν et in marg. Γεωργίου Az Ὁ κανὼν προεόρτιος· ποίημα Γεωργίου Πr nomen hymnographi Γεωργίου e θεοτ. litteris initialibus deducitur
heirm. αʹ EE 94, n. 133, Joannis 8 Χριστὸς Πr 12 ἀνθρώπους Vi

Νεφέλη ἡ φωτεινὴ τὸν ἥλιον
τῆς δόξης φέρουσα
τῆς ἐν σαρκὶ αὐτοῦ ἀνατολῆς
προμηνύει τὴν ἔλλαμψιν
καὶ πρὸς τὸ φῶς τῆς χάριτος
αὐτοῦ καλεῖ τὴν κτίσιν ἅπασαν.

f. 154 θεοτ. ‖ Γνωρίζει τῆς ἑαυτοῦ χρηστότητος
ἀνθρώποις σήμερον
καὶ τῶν αὐτοῦ πλουσίων οἰκτιρμῶν
τὴν ἀμέτρητον ἄβυσσον
ὁ ἐκ σοῦ, θεονύμφευτε, σάρκα
φορέσαι εὐδοκήσας Χριστός.

f. 154v ᾠδὴ γ΄. *Εὐφραίνεται ἐπὶ σοὶ*

Φαιδρύνεται νοητῶς
καὶ ἀγλαΐζεται ἡ γῆ σήμερον
τὸν φωτοδότην Χριστὸν
μέλλουσα τικτόμενον δέχεσθαι.

Προτρέχοντα οὐρανὸς
ἀστέρα σήμερον τῇ γῇ δείκνυσι
καὶ προμηνύει Χριστὸν
βασιλέα πᾶσι τοῖς πέρασιν.

θεοτ. Παλάτιόν σε, ἁγνή,
τοῦ βασιλέως καὶ Θεοῦ δέχεται
περιχαρῶς σήμερον
τὸ οὐρανομίμητον σπήλαιον.

---

15 ἐν σαρκὶ et sup. lin. corr. in ἐνσάρκου Πr ἀντολῆς Πr 16 προμηνύειν Vi 18 κτίσιν] φύσιν Πr 19-24 θεοτ. deest in Mb Az 19 τοῖς Πr 21 καὶ τῶν αὐτοῦ] τῶν ἑαυτοῦ Vi 23 θεονύφευτε Πr

heirm. γ΄ EE 94, n. 133, Joannis 27 Χριστὸν] Κύριον Az 28 μέλλουσαν Mb 29-32 desunt in Az 30 γῇ] σῇ Πr 32 πᾶσι inter lin. scriptum est in Πr 33-40 duo θεοτ. animadverte 36 τοῦ Πr

---

13-14 Is. 19,1

θεοτ. Ἐλύθημεν τοῦ δεσμοῦ
τῆς καταδίκης διὰ σοῦ, ἄχραντε,
καὶ εὐλογίᾳ Θεοῦ
καὶ δικαιοσύνῃ συνήφθημεν.

f. 155 Κάθισμα.

(Ἦχος γ΄. Πρός· *Θείας πίστεως ὁμολογία*)

Θεῖον σπήλαιον, προευτρεπίζου
τὸ πολίτευμα τὸ κατὰ σάρκα,
ἐν ᾧ Θεὸς ἐξ ἁγνῆς μέλλει τίκτεσθαι
καὶ ὡς βρέφος εἱληθήσεται σπάργανα,
ἀνακλινεῖται δὲ φάτνῃ ὡς νήπιον·
πτωχεύει γὰρ ἑκών,
ἵνα πλουτίσῃ καὶ σώσῃ ἡμᾶς ὡς φιλάνθρωπος.

ᾠδὴ δ΄. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία*

Ἔαρ σήμερον σωτήριον ἐπιλάμψαν
τοῦ ἐν σαρκὶ ἡλίου
τῆς δικαιοσύνης
f. 155v ἐπι‖φάναι μέλλοντος
χειμῶνα νοούμενον
τὸν τῆς ἀθεΐας διέλυσεν.

Αἱ χορεῖαι συγκροτοῦνται τῶν ἀσωμάτων
καὶ ἡ δοξολογία
τούτων ἐπαξίως
ἤδη συναρμόζεται

37-40 θεοτ. deest in Mb Az

post oden γ΄ κάθ. « Χαρᾶς ἐπλήσθητε », MR II, 571, profert Πr

heirm. καθ. HR 148; κάθ. om. Mb Πr

heirm. δ΄ EE 94, n. 133, Joannis 41 Ὁ σήμερον αἰθρίαν μηνύων πᾶσι Az ἐπιλάμψαν] ἐθριάσαν Mb αἰθριάσαν Πr 44 ἐπιφανίναι Πr 47 Αἱ] Οἱ Πr νῦν κροτοῦσι Az συνγκροτοῦνται Πr 49 τοῦτον Πr 50 προσαρμόζεται Mb Az προαρμόζεται Πr

---

Κάθ. 6-7 II Cor. 8,9 42-43 Mal. 3,20

Χριστῷ τῷ Θεῷ ἡμῶν
μέλλοντι τεχθῆναι προσᾴδεσθαι.

Ἡ ἀκένωτός σου κένωσις, εὐεργέτα,
ἀφθόνου πλούτου πρόξενος
γέγονεν ἀνθρώποις
τοῖς εἰσδεχομένοις σου
τὴν ἄρρητον, δέσποτα,
καὶ πλουτοποιὸν συγκατάβασιν.

θεοτ. Ὡραιώθης ὑπὲρ πᾶσαν, θεοχυῆτορ,
εὐπρέπειαν κτισμάτων,
σαρκικῶς τεκοῦσα
τὸν μόνον ἀναμάρτητον,
Χριστὸν τὸν Θεὸν ἡμῶν,
τὸν τοὺς γηγενεῖς καλλωπίζοντα.

f. 156 ᾠδὴ ε΄. *Σύ, Κύριέ μου, φῶς*

Σύ, Κύριε, βροτοὺς
τοῖς ἀγγέλοις βουλόμενος
συνάψαι δι᾽ εὐσπλαγχνίαν
ἐπὶ γῆς ἐπεφάνης
καὶ σπήλαιον κατῴκησας.

Σοὶ πᾶσα, ἀγαθέ,
ἡ κτίσις εὐτρεπίζουσα
ὡς δῶρα εὐχαριστίαν
προασπάζεται πόθῳ
τὴν ἁγίαν σου γέννησιν.

Σαλπίζει οὐρανὸς
δι᾽ ἀστέρος τοῖς πέρασι

52 δόξα (τῇ δυνάμει σου, Κύριε) Mb προσᾴδεσθαι] ἐκ κόρης ἁγνῆς Az 53 ἀκένωτος] φιλάνθρωπος Az 59-64 θεοτ. deest in Mb Az vv. 61-62 desiderantur in Πr

heirm. ε΄ EE 94, n. 133, Joannis 70-74 desunt in Az 70 Σὺ Mb Γὴ Πr 75 ὁ οὐρανὸς Vi Πr

μηνύων τοῦ βασιλέως
τῶν ἁπάντων τὴν ξένην
ἐπὶ γῆς συγκατάβασιν.

θεοτ. Ῥυσθέντες γηγενεῖς
χειρὸς τοῦ πολεμήτορος
τῷ τόκῳ σου, θεοτόκε,
σὲ αἰτίαν τιμῶμεν
ἐλευθερίας κρείττονος.

f. 156v ᾠδὴ ϛ΄. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Ἄνωθεν
οἱ τῶν ἀγγέλων δῆμοι προκύψαντες
ταῖς τῶν ἀνθρώπων χορείαις
μίαν συγκροτοῦσι δοξολογίαν
συνᾴδουσαι
προεόρτιον αἶνον Χριστῷ τῷ Θεῷ.

Χαίρουσα
τὰς ἀπαρχὰς ἡ κτίσις τῷ κτίσαντι
μετὰ σαρκὸς ἐνδημοῦντι
εὐτρεπίζει σήμερον καὶ ἀνθρώπους
συγκαλεῖται
εἰς αὐτοῦ προεόρτιον αἴνεσιν.

θεοτ. Φέρουσαν
τὸν τῷ οἰκείῳ ῥήματι φέροντα
πάντων τῶν ὄντων τὴν φύσιν
τῶν ἀγγέλων τάξεις σε κατιδοῦσαι,
θεοτόκε,
ὡς πυρίμορφον θρόνον ἐδόξαζον.

80-84 θεοτ. deest in Mb Az 84 κρείττονος] πρόξενον Vi

heirm. ϛ΄ EE 94, n. 133, Joannis 87 ἀνθρώπων] ἄνω Πr 90 αἶνον] ὕμνον Mb 91 Φέρουσα Az 93 ἐνδυμοῦντα Mb 96 αὐτὸν Mb 97 Φέρουσα Vi Πr 98 τῶν τὸν οἰκείων ῥημάτων φ. Πr 102 ἐδόξαζον] ἐδέξατο Πr ἐδόξασαν Az

102 Dan. 7,9

θεοτ. Γνόντες σου
τοῦ σοῦ τόκου μυστήριον, ἄχραντε,
οἱ θεῖοι νόες ἀγγέλων
ἄγνωστον καὶ ἄφραστον ἀπορρήτων
σὲ πραγμάτων
ὡς αἰτίαν, παρθένε, ἐδόξαζον.

f. 157 ᾠδὴ ζ′. *Ἐν τῇ καμίνῳ*

Χριστὸς ἐφάνη
μετὰ σαρκὸς ἐν κόσμῳ ὡς ἀγαθός,
ἵνα οὐρανίους δείξῃ τοὺς ἐπὶ γῆς
καὶ χορείαν ἀπεργάσηται
μίαν δοξάζουσαν
τὴν αὐτοῦ ὑπὲρ νοῦν συγκατάβασιν.

Ἀστὴρ μηνύει
καὶ προκηρύττει πᾶσι τὸν ποιητὴν
πάντων καὶ δεσπότην σήμερον ἐπὶ γῆς
f. 157ᵛ || ἐν σαρκὶ γεννᾶσθαι μέλλοντα
καὶ εἰς ὑπάντησιν
τὴν αὐτοῦ συγκαλεῖται τὰ πέρατα.

Προϋποθεῖσα
τῷ ποιητῇ καὶ κτίστῃ νῶτα ἡ γῆ
τοῦτον ἐν χαρᾷ καὶ πόθῳ μετὰ σαρκὸς
ἐπιβαίνοντα ἐκδέχεται
καὶ ὡραΐζεται
καὶ κοσμεῖται αὐτοῦ ταῖς ἐλλάμψεσιν.

103-108 θεοτ. deest in Mb Az 103 Γνόντε σου Πr 104 σοῦ om. Πr 108 δοξάζουσιν Vi post oden ς′ κοντ. « Τῶν λαμπρῶν ἀγώνων σου », MR II, 560, et οἶκ. « Ἀβραὰμ μὲν ποτέ », MR II, 560-561, profert Πr
heirm ζ′ EE 94, n. 133, Joannis 109 Χριστὸς] Θεὸς Az ἐνεφάνη Vi ἐμφάνη Πr 111 ἵ. οὐρανίοις μίξῃ τοῖς (τοὺς Πr) ἐπὶ γῆς Mb Πr ἵ. οὐρανοῖς συνάψῃ... Az 118 μέλποντα Az 120 συγκαλοῦσα Vi 121-126 trop. deest in Vi 122 ποιητῇ καὶ om. Πr 123 τ. ἐν χαράτῃ καὶ ... Πr πόθῳ om. Mb 124 εἰσδέχεται Az 126 ταῖς αὐτοῦ Mb Πr

θεοτ. Ἴδον τὴν δόξαν
τὴν σήν, θεογεννῆτορ, αἱ νοεραὶ
τάξεις τῶν ἀγγέλων, ὅτε τὸν ποιητὴν
τῶν ἁπάντων ὑπὲρ ἔννοιαν
σαρκὶ ἐκύησας
καὶ χαρᾷ σε καὶ πόθῳ ἐδόξασαν.

ᾠδὴ η′. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Τῆς ἀρχαίας λύεσθαι ἀρᾶς
τὸ ἐπιτίμιον
σήμερον ἄρχεται
καὶ τῆς χαρᾶς ἡμῖν ἅπασι
τὰ ἐνέχυρα ἐγγράφεσθαι
τοῖς τοῦ δοτῆρος τῶν καλῶν
προεορτάζουσι
τὴν γέννησιν
καὶ Θεὸν τοῦτον καὶ κτίστην δοξάζουσιν.

f. 158 || Σήμερον ἀνοίγειν οὐρανὸς
προευτρεπίζεται
τῇ ἀνθρωπότητι
πύλας τὴν γῆν ὁρῶν χαίρουσαν
καὶ τῷ κτίστῃ ἑτοιμάζουσαν
θείαν ἐπίβασιν· μεθ᾽ ἧς
τούτῳ βοᾷ ἐκτενῶς·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

Ἔχοντες ἀστέρα φαεινὸν
τοῦ γεννωμένου Χριστοῦ
τὴν θείαν ἔλλαμψιν

127-132 θεοτ. deest in Mb Az 132 ἐδόξαζον Vi
heirm. η′ EE 94, n. 133, Joannis 137 ἐγράφεσθαι Πr 140 τὴν] καὶ Mb 141 Θεὸν τοῦτον καὶ] τὸν Θ. τε τὸν Πr δοξάζουσα Vi 142 ἀνοίγει Vi Πr ὁ οὐ. Az 146 τῶν κτίστην Vi 148 τοῦτον Az 149 post εὐλογεῖτε orat. varie detruncant cdd.

---

133 Gen. 26,28

πρὸς τοῦτον ἅπαντες σήμερον
οἱ πιστοὶ τὰ διαβήματα
δι' ἀρετῶν τῶν τῆς ψυχῆς
προευτρεπίσωμεν
ἐκβοῶντες·
« πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

θεοτ. Ὁ ἐκ σοῦ τεχθεὶς ὑπερφυῶς
Υἱὸς καὶ Λόγος Θεοῦ,
παρθένε ἄχραντε,
τὴν κτίσιν ἅπασαν σήμερον
προκοσμεῖ ταῖς θείαις χάρισι
καὶ εὐφροσύνης καὶ χαρᾶς
πληροῖ τοὺς κράζοντας·
« εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ».

f. 158v *ᾠδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους*

Ὄρη προσκιρτήσατε πάντα
καὶ οἱ βουνοὶ ἀγαλλιᾶσθε·
ὁ δημιουργὸς γὰρ τῶν ὅλων
ἐκ κατασκίου
ὄρους προέρχεται
τοῦ εὐφροσύνης ἅπαντα
τὰ ἑαυτοῦ πληρῶσαι κτίσματα.

Χαίροις, τὸ ἀνθρώπινον γένος,
τὸν τῆς χαρᾶς καὶ εὐφροσύνης
τὸν αὐτοῦ Χριστὸν καὶ δοτῆρα
ἐπιδημοῦντα
ἐν γῇ θεώμενον,

---

156 τῶν] τὰ Az   159 post ἔργα orat. detruncant Mb Πr   160-168 θεοτ. deest in Mb Az   164 προκοσμεῖ scripsi: προσκομεῖ cdd.   167 post εὐλογεῖτε orat. varie detruncatur in cdd.

heirm. θ' EE 94, n. 133, Joannis   178 τὸν αὐτοῦ] αἴτιον Az τ. αὐτὸν Mb Πr   δοτῆρα] φωστῆρα Vi   σωτῆρα Mb   180 θεώμενον Az: θεόμενος Vi   δεόμενον Mb   θεούμενον Πr

---

170 Ps. 64,13   171-173 Hab. 3,3

ἵνα ἐπουρανίους σοι
ὁδοὺς ἀνοίξῃ ὡς φιλάνθρωπος.

θεοτ. Ὄχημα πυρφόρον σε θεῖον
τοῦ βασιλέως τῶν ἁπάντων,
πᾶσα δεξιοῦται ἡ κτίσις,
θεοκυῆτορ,
σήμερον χαίρουσα
καὶ τῶν ἐπαίνων στέφανον
σοὶ διαπλέκει προεόρτιον.

θεοτ. Ὑπερελαμπρύνθη ἡ φύσις
τῶν γηγενῶν, θεογεννῆτορ,
σὺ τὸν ποιητὴν τῶν ἁπάντων
παρασχομένη
δῶρον ὑπέρτιμον·
διὸ προεορτάζουσα
ἐν σοὶ καυχᾶται καὶ σεμνύνεται.

---

181 ἐπουρανίου Πr   σοι om. Mb   183-196 duo θεοτ. se porrigunt   183-189 trop. deest in Vi   183 πυρφόρον] πορφυρὸν Mb   πυρίμορφον Πr   σε om. Πr   189 διαπλέκης Πr προεόρτιον] τὸν ἐπάξιον Az   190-196 θεοτ. deest in Mb Az   192-193 σὺ ... παρασχομένη: malim σοῦ ... -νης   σὲ ... παρασχόμενος Πr

---

183-184 Cfr. Dan. 7,9

23 DEC. *CANON* XLVII

IN SANCTOS X MARTYRES CRETENSES

Synaxarium, 337-340: Ἄθλησις τῶν ἁ γ ί ω ν μ α ρ τ ύ ρ ω ν τῶν ἐν Κρήτῃ. Οὗτοι ἦσαν ἐπὶ Δεκίου τοῦ βασιλέως ἐν τῇ νήσῳ Κρήτῃ, οὐκ ἐκ μιᾶς πόλεως, ἀλλ' ἐκ διαφόρων τῆς χώρας μερῶν· ὑπῆρχον γὰρ ἀπὸ μὲν τῆς μητροπόλεως Γορτύνης πέντε, Θεόδουλος, Σατορνῖνος, Εὔπορος, Γελάσιος καὶ Εὐνικιανός· ἀπὸ δὲ Κνωσσοῦ Ζωτικός, ἀπὸ δὲ τοῦ ἐπινείου Λεοβένης Πόντιος, καὶ ἐκ τοῦ ἐπινείου Πανόρμου Ἀγαθόπους· ἐκ δὲ Κυδωνίας Βασιλίδης, καὶ ἀπὸ τοῦ Ἡρακλείου Εὐάρεστος. Οὗτοι παρὰ τῶν ἀπίστων τῷ τῆς νήσου ἄρχοντι παρεδόθησαν· ὁ δὲ τῷ δήμῳ ἐπέτρεψεν κατὰ τοὺς βωμοὺς τῶν εἰδώλων περιάγειν αὐτούς, καὶ μὴ θύοντας παντοίως αἰκίζεσθαι. Ἐπὶ δὲ τριάκοντα ἡμέραις ὑπὸ τῶν ἀτάκτων καὶ ὑβριστῶν περιελαυνόμενοι καὶ παιζόμενοι καὶ τυπτόμενοι καὶ λιθολευστούμενοι καὶ κολαφιζόμενοι καὶ ἐμπτυόμενοι καὶ κατὰ γῆς ἐν κοπρίαις ἑλκόμενοι, ὕστερον, προκαθεσθέντος τοῦ δικαστοῦ, ὡς ἀνένδοτον εἶχον τὸ φρόνημα καὶ τὴν πίστιν τὴν εἰς Χριστὸν ἀσφαλῆ, στρεβλωθέντες καὶ δειναῖς ἑτέραις βασάνοις ἐξετασθέντες, τὰς κεφαλὰς ἀπετμήθησαν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στεφάνου, πλησίον τῶν Πλακιδίας.

Mess. gr. 138 = Mb, ff. 188v-191

Ὁ κανὼν ‹ἔχων ἀκροστιχίδα τὸ ἀλφάβητον·
ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου›.

Ἦχος α'.

ᾠδὴ α'. *Χριστὸς γεννᾶται· δοξάσατε*

Ἀχρόνως ἐκ προανάρχου Πατρὸς
ἀρχὴν λαβὼν Υἱὸς τὴν ὑπέρχρονον,
ἀρχὴν ὑπὸ χρόνον δέχεται
κόρης ἐξ ἀπειράνδρου,
τὴν καθ' ἡμᾶς

---

tit. Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τῶν ἁγίων ι' μαρτύρων τῶν ἐν Κρήτῃ nomen hymnographi Γεωργίου e θεοτ. litteris initialibus deducitur
heirm. α' EE 6, n. 8, Cosmae 3 χρόνου

δι' οἰκονομίαν,
f. 189 ὡς εὐ||δόκησεν αὐτός,
σῶσαι βουλόμενος.

Βροτὸν δι' οἶκτον γενόμενον
τὸν πλάστην τοῦ βροτείου φυράματος
χορὸς ἀθλητῶν δεκάριθμος
μόνον ὁμολογοῦντες
ὄντα Θεὸν
σεσωματωμένον
οὐκ ἐφείσαντο σαρκῶν
γνώμης στερρότητι.

Γαστρὸς ἀσπόρου βλαστήσαντα
Θεὸν μετὰ σαρκὸς καταγγέλλοντες
σωμάτων φθαρτῶν ἠλόγησαν
δέκα συστρατιῶται
καὶ πρὸς αὐτὸν
ἔσπευσαν ποθοῦντες
τῆς ἀφθάρτου βιοτῆς
διὰ θανάτου τυχεῖν.

θεοτ. Γνωστὸς ὁ ἄγνωστος γίνεται,
ὁ ἄχρονος ἀρχὴν ἤδη δέχεται,
ὁ λόγος σαρκοῦσθαι ἄρχεται
κόρης ἐξ ἀπειράνδρου·
οὗ τὸν σεπτὸν
τόκον προσκυνοῦντες
προεόρτιον αὐτῷ
ὕμνον προσάξωμεν.

---

15 ἐφήσαντο

17-24 A. Papadopoulos-Kerameus, *Ἀνάλεκτα ἱεροσολυμιτικῆς σταχυολογίας IV*, Ἐν Πετρουπόλει 1897, 229: ... μηδὲ τὸ πολύτροπον τῶν δικαστηρίων ὀργάνων πλῆθος καθαιρεῖν νομιζέτω τις τὸ πρὸς τὸ θεῖον ἡμῶν φρόνημα, μηδὲ τοσοῦτον ἀσθενήσοιμεν τὰς ψυχάς ... Ἡμεῖς δὲ ... καταφρονήσομεν τῶν εὐτελῶν ἐκείνων καὶ γηΐνων ... Χριστὸν δὲ καταγγέλλομεν ...

ᾠδὴ γ'. *Τῷ πρὸ τῶν αἰώνων*

« Δόξα ἐν ὑψίστοις »
μετ' ἀγγέλων πιστοὶ νῦν βοήσωμεν·
ἐπὶ τῆς γῆς γὰρ εὐδοκία,
ἐν ἀνθρώποις εἰρήνη Χριστὸς
ἰδοὺ παραγίνεται,
ᾧ προεόρτια δῶρα πιστῶς
ὕμνοις προσενέγκωμεν.

Ἐπὶ σωτηρίᾳ
τῶν βροτῶν ἐρχομένῳ τεχθῆναι σαρκὶ
τῷ βασιλεῖ Θεῷ τῶν ὅλων
προσηνέχθη μαρτύρων στρατός,
σύνταγμα δεκάριθμον·
ᾧ προεόρτια δῶρα αὐτῷ
σπείσαντες τὰ αἵματα.

Ζωηφόρον μύρον
ὑπὲρ τῆς ψυχοφθόρου προκρίνας ζωῆς
στρατὸς δεκάριθμος μαρτύρων
ἀντηλλάξατο πίστει φθαρτῶν
ἀληθῶς τὰ ἄφθαρτα
καὶ τῶν προσκαίρων καὶ πάντων ῥευστῶν
ὄντως τὰ αἰώνια.

θεοτ. Ἔρχεται ὁ πλάστης
ἐκ παρθένου τὸ πλάσμα τὸ ἴδιον

---

heirm. γ' EE 6, n. 8, Cosmae 43 προσενέχθη 45 periodus sententia prima caret 54 Ἔρχεται scripsi sensus et acr. causa: Ἄρχεται cd.

41-46 B. Laourdas, *Ἀνδρέου ἐπισκόπου Κρήτης τοῦ Ἱεροσολυμίτου ἐγκώμιον εἰς τοὺς Ἁγίους Δέκα καὶ Καλλινίκους Μάρτυρας,* Κρητικὰ Χρονικὰ 3 (1949), 103: ... καί μοι παρήτω νῦν ὁ Κρήτης ἅπας φιλομάρτυς λαὸς τῇ δεκάδι τῶν μαρτύρων περιχορεύων ἐν πν(εύματ)ι καὶ τῇ Χ(ριστο)ῦ γεννήσει ταύτην ἐπεισόδιον προσάγων τὴν ἑορτήν, ὡς ἄν περ δῶρα πολύτιμα γεννηθέντι Χ(ριστ)ῷ προσαγόμενα ...

33-36 Luc. 2,14

καταφθαρὲν τῇ παραβάσει
βουληθεὶς ἀναπλάσαι καινὴν
καὶ θείαν ἀνάπλασιν·
τὸ γὰρ εὖ εἶναι χαρίζεται νῦν
ὁ τὸ εἶναι δοὺς ἡμῖν.

ᾠδὴ δ'. *Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ*

Ἥλιος νεφέλης φωτεινῆς
ἀνίσχειν ἐπειγόμενος
f. 189v || συνανατέλλοντας ὑπέδειξεν,
ὥσπερ ἀστέρας φαιδρούς,
δεκαρίθμους μάρτυρας
ζόφον τὸν τῆς πλάνης ἐκμειοῦντας
ἀκτῖσι τῆς εὐσεβοῦς
πίστεως, ἐν αἷς φωτιζόμεθα.

Θώρακα τῆς πίστεως στερρῶς,
γενναῖοι, ἐνδυσάμενοι
ὅπλῳ σταυροῦ τε συμφραξάμενοι
καὶ ῥῆμα τὸ πανσθενὲς
τοῦ Θεοῦ σπασάμενοι
δίστομον ὡς μάχαιραν πρὸς πάλην
ἀντέστητε τοῦ ἐχθροῦ,
νίκην κατ' αὐτοῦ ἀπηνέγκατε.

Ἴδον οὐρανῶν αἱ στρατιαὶ
τὴν μάχην καὶ ἐξέστησαν
τὸν ξένον πόλεμον θαυμάζοντες·
γυμνοὶ καὶ ἄοπλοι γὰρ
οἱ γενναῖοι μάρτυρες
πρὸς τοὺς ὁρατοὺς καὶ ἀοράτους
παραταξάμενοι ἐχθροὺς
τούτους κατὰ κράτος ὀλέσαντο.

---

57 καινὴν scripsi: καὶ νῦν cd. 60 ἡμῖν scripsi: εἰμι cd.
heirm. δ' EE 6, n. 8, Cosmae 66 ἐκμιοῦντα 76 κατ' αὐτὸν 77 Ἴδων 84 ὀλέσαντες

---

61 Is. 19,1 69-70 I Thes. 5,8 72-74 Hebr. 4,12

θεοτ. Ὡς ἐπὶ νεφέλης φωτεινῆς
παρθένου ἐποχούμενος
ἐπὶ τοῦ θρόνου ὁ καθήμενος
τῆς δόξης τῆς θεϊκῆς
γεννηθῆναι ἔρχεται,
σῶσαι βουληθεὶς φθορᾶς θανάτου
τοὺς μελῳδοῦντας αὐτῷ·
« δόξα τῇ δυνάμει σου, ⟨Κύριε⟩ ».

ᾠδὴ ε'. *Θεὸς ὢν*
εἰρήνης πατὴρ οἰκτιρμῶν

Κοσμῆσαι
τὴν ἄκοσμον φύσιν βροτῶν
βουληθεὶς ὁ κοσμήτωρ τῆς κτίσεως
ἐν κόσμῳ παραγίνεται
τῷ ξένῳ τοκετῷ·
κοσμήσωμεν καρδίας
καλῶν ἐν εὐκοσμίᾳ
καὶ δεξώμεθα τοῦτον
τὰς μυστικὰς ἡδονὰς φεύγοντες.

Λαμπτῆρες
ὥσπερ ἐξ ἑῴας φαιδρὸν
ἐξανίσχουσι κόσμον φωτίζοντες
τῆς Κρήτης οἱ περίβλεπτοι
καὶ μέγιστοι πυρσοὶ
τῆς πίστεως τῇ θάλψει
τῆς πλάνης τὸ ζοφῶδες
διαλύσαντες ἅμα·
οὓς ἐπαξίως μακαρίσωμεν.

Μυρίσαι
τὸν κόσμον προέρχεται

92 post δυ(νάμει) orat. abrumpit cd.
heirm. ε' EE 6, n. 8, Cosmae 101 μυστικὰς an κοσμικάς?

85 Cfr. sup. v. 61 87-88 Dan. 7,9; Apoc. 4,2-3

τὸ ἀκένωτον μύρον κενούμενον
ἐκ κόρης, ὡς εὐδόκησε,
παρθένου μυστικῶς
καὶ τούτου τῇ προόδῳ
ὡς ἄνθη μυρωδοῦντα
τὰ τῆς Κρήτης στελέχη
μαρτυρικὴν ὀσμὴν προδείκνυσιν.

θεοτ. Ῥομφαίαν
ἐπὶ τῶν μηρῶν, δυνατέ,
ἐζωσμένος τῇ σῇ ὡραιότητι
ἐκ κόρης σωματούμενος
ἐφίστασαι ἑλεῖν
f. 190 ‖ τὴν σὴν κληρονομίαν
ἐκ χειρὸς τῶν ἐχθρῶν σου,
ἀνελεῖν τε τὸν πλάνον
καὶ βασιλεῦσαι ἐπὶ πάντας ἡμᾶς.

ᾠδὴ ς'. *Σπλάγχνων Ἰωνᾶν*

Νέος ἐπὶ γῆς
τεχθῆναι ἐπείγεται
ὁ πάντων ὑπάρχων
ἀρχαιότερος,
ἀνακτώμενος
τὴν γηράσασαν φύσιν τοῦ πάλαι Ἀδὰμ
μοχθηρίᾳ τῆς ἀρχαίας παραβάσεως·
τοῦτον
γηραιῷ φρονήματι
ὑπαντήσωμεν πίστει νεάζοντες.

128 βασιλεύσει
heirm. ς' EE 6-7, n. 8, Cosmae

120-122 Ps. 44, 4; Cant. 3,8

Ξένον καὶ φρικτὸν
ἀστέρος αἰσθόμενοι
Περσῶν βασιλεῖς
δρόμον ἐπείγονται
εἰς προσκύνησιν
τοῦ ἡλίου τῆς δόξης σὺν δώροις Χριστοῦ,
οὗ μαρτύρων ἡ δεκὰς μιμησαμένη
στερρῶς
τούτῳ ἀντὶ σμύρνης αἵματα
καὶ χρυσοῦ καὶ λιβάνου προσήνεγκεν.

Ὅπλα σαρκικά,
δεκάριθμοι μάρτυρες,
ὑμῶν τοῖς στερροῖς
ἀνδραγαθήμασιν
οὐκ ἐχρήσασθε·
οὐ πρὸς αἷμα καὶ σάρκα ἡ πάλη γὰρ ἦν·
πρὸς ἀρχὰς καὶ ἐξουσίας τὰς τοῦ σκότους τε·
ὅθεν
ὅπλοις συμφραξάμενοι
τοῖς τοῦ πνεύματος ταύτας ὠλέσατε.

θεοτ. Γνώμῃ πονηρᾷ
γυναίου καὶ ὄφεως
πικρᾷ συμβουλῇ
τὸν ἐκπεσόντα Ἀδὰμ
πρὸς τὸ πρότερον
ἐπανάγειν ἀξίωμα ἔρχεται
γυναικὸς ἀποτικτόμενος παρθένου μητρός,
ἵνα
ἡ κατάρας πρόξενος
εὐλογίας αἰτία γενήσεται.

---

142 ἐπείγοντι 147 τοῦτο 149 Ὅπλοις σαρκικοῖς malim 162 ἐκπεσότα 164 ἄρχεται 166-168 ἵνα... γενήσεται: cfr. sup. pp. 94 et 263: ὅπως ῥυσθήσῃ, ἵνα ἕξεις

139-144 Matth. 2,1-12 154-155 Eph. 6,12

ᾠδὴ ζ'. *Οἱ παῖδες εὐσεβείᾳ*

Ποιμένες μετ' ἀγγέλων
« ἐν ὑψίστοις Θεῷ δόξα » κράζοντες·
« ἐπὶ τῆς γῆς γὰρ ὁ Θεὸς
ἡ εἰρήνη παραγίνεται,
ἐν ἀνθρώποις εὐδοκία
τοῖς βοῶσι πιστῶς·
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ ».

Ῥήμασι μὲν οἱ μάγοι
τοῖς τοῦ μάντεως ἀκολουθήσαντες
δῶρα προσάγουσι Χριστῷ
τῷ ἀστέρι ποδηγούμενοι,
οἱ δὲ μάρτυρες αὐτῷ
πίστει ἑπόμενοι·
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Σωτήριοι λιμένες
τῶν ἐν ζάλῃ κοσμικῇ γενόμενοι
τῆς ἀπωλείας τὸν βυθὸν
ἀποντίστως ἐπλεύσατε
f. 190v || καὶ πρὸς ὅρμῳ γαληνῷ
ἐγκαθωρμίσθητε·
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

θεοτ. Ἰδοὺ νῦν ἡ παρθένος
ἐν γαστρὶ συλλαβοῦσα τὸν Κύριον
τεκεῖν ἐπείγεται σαρκί,
ὁ προφήτης ὡς προήγγειλεν,
ἐν τῇ πόλει Βηθλεέμ,
ᾧ πάντες ψάλλομεν·
« ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ ».

---

heirm. ζ' EE 7, n. 8, Cosmae 169-170 periodus sententia prima caret 175, 182, 189, 196 post π(ατέρων) orat. detruncatur in cd.

169-173 Cfr. sup. vv. 33-36 176-179 Cfr. sup. vv. 139-144 190-191 Is. 7,14 192-194 Mich. 5,1

ᾠδὴ η'. *Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος*

Τέλειοι τῷ ἀριθμῷ τε καὶ τῇ πίστει,
τελειότεροι δὲ τῇ φρονήσει,
ἀθλοφόροι, ὤφθητε·
τοῖς γὰρ πλάνοις τῶν ἀρετῶν
ἐνδιαίτημα δεκάδος ἀνεδείχθητε,
Τριάδος τὸν ἕνα καταγγείλαντες
ἐκ παρθένου
σαρκὶ τῷ κόσμῳ τικτόμενον,
αἵματα ὡς δῶρα αὐτῷ προσενεγκόντες.

Ὕμνοις τὴν δεκάριθμον στρατολογίαν
εὐφημήσωμεν τῶν ἀθλοφόρων,
Ζωτικόν, Θεόδουλον,
Ἀγαθόπουν καὶ σὺν αὐτοῖς
Βασιλίδην τε Γελάσιον καὶ Πόμπιον,
Εὐνικιανὸν καὶ Σατορνῖνον ὁμοῦ
σὺν Εὐπόρῳ,
πόθῳ τιμῶντες Εὐάρεστον
καὶ ὑπερυψοῦντες αὐτοὺς εἰς τοὺς αἰῶνας.

Φάναντες ὡς ἐξ ἑῴας ἑωσφόροι
ταῖς θαυμάτων καὶ ἄθλων ἀκτῖσι,
τὴν ἑσπέραν, ἅγιοι,
δᾳδουχεῖτε πυρσοφανῶς
καταυγάζοντες τῆς γῆς πάντα τὰ πέρατα·
διὸ καὶ ὑμνοῦντες ἀναμέλπετε·
« εὐλογείτω
ἡ κτίσις πᾶσα τὸν Κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

heirm. η' EE 7, n. 8, Cosmae 200 τῆς γ. πλάνης 214, 232 post ὑπ(ερυψοῦντες), ὑπ(ερυψοῦτε) orat. detruncat cd. 220 ἀναμέλπετε scripsi: –οντες cd. 222 post κτίσις orat. detruncatur in cd.

---

197 Laourdas, *op. cit.*, 104: ... δεκὰς ἀληθῶς εἰς ἑνάδα μίαν συνεζευγμένη καὶ τὸν τέλειον ἀριθμὸν ἑαυτῇ συμπληροῦσα, χορὸς ἁγιόλεκτος·

θεοτ. Ὅλην σε ταῖς ἀρεταῖς πεποικιλμένην
ὁ ἐν κάλλει ἀσύγκριτος Λόγος
εὑρηκὼς κατῴκησε
σοῦ τὴν μήτραν, ἣν οὐρανῶν
πλατυτέραν, θεοτόκε, ἀπειργάσατο
καὶ πρὸς τὸ ἀρχαῖον κάλλος εἵλκυσε
τοὺς βοῶντας
αὐτῷ· « ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον*

Χαρήσεται
πάντα τὰ ἔθνη, ὡς γέγραπται,
ἐν τῷ ξένῳ τόκῳ σου·
πᾶσα ἡ οἰκουμένη σκιρτᾷ γὰρ
νῦν προαισθομένη
τὴν σὴν
ἐξ ἁγνῆς παρθένου ἔλευσιν
καὶ σοὶ
προεόρτιον ᾠδὴν προσφέρει, Κύριε.

f. 191 ‖ Ψαλάτωσαν
πᾶσα ἡ γῆ τὰ ἐφύμνια
καὶ προσκυνησάτωσαν
γέρα καὶ ἀριστείας μαρτύρων
τῶν δέκα λαχόντων
χορὸν
ἀριθμὸν οὐ τὴν διαίρεσιν·
διὸ
ταῖς φρονίμοις ὁμοθυμαδὸν νυμφῶνι χαίρουσιν.

---

heirm. θ' EE 7, n. 8, Cosmae heirm. 2 ὁρῶν 246 τῶν δὲ καὶ λ. 250 χαίρουσαι

233-235 Luc. 1,14 250 Matth. 25,1-13

῾Ως σύστοιχοι
τῆς τῶν ταλάντων δεκάδος
Χριστῷ πολυπλάσιον
κέρδος τῶν πιστευθέντων ταλάντων
φέρετε ἀθλοῦντες·
διὸ
ὡς πιστοὶ δοῦλοι καὶ κάλλιστοι
χαρᾶς
ἠξιώθητε, ἐν ᾗ καὶ ἡμῶν μέμνησθε.

θεοτ. Ὑμνήσατε,
ἄγγελοι· ποιμένες, ᾄσατε·
μάγοι, προσκυνήσατε·
πάντες τὸν προεόρτιον ὕμνον
ἐνέγκατε δῶρον
Χριστῷ
ἐκ παρθένου ἀνατείλαντι
ἐν γῇ
καὶ φωτίζοντι ψυχὰς τῶν ἀνυμνούντων αὐτόν.

---

255 φέρεται 259 ἠξιώθηται μέμνησθαι

251-255 Matth. 25,14-30

IN SANCTOS X MARTYRES CRETENSES

Codices qui diversis traditionibus eundem praebent canonem:

Vallic. gr. E 54	= Ea,	ff. 73v-76
Crypt. Δ.α. XIV	= Cf,	ff. 202-208v
Crypt. Δ.α. IV	= Ce,	ff. 167v-173
Patm. 197	= Πc,	ff. 117-120v
Paris. gr. 928	= T,	pp. 295-299
Sinait. gr. 578	= Σc,	ff. 55v-58
Sinait. gr. 581	= Σκ,	ff. 51v-56

Traditio cd. Ea cum ceteris comparata.

῾Ο κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ Κυρίῳ*

Ἀθλητικὴν ἀνδρείαν,
δογματικὴν σοφίαν
οἱ νικηφόροι μάρτυρες
ἐπὶ τῶν παλαμναίων
στερρῶς ἐπεδείξαντο
κατὰ τῆς ἀσεβείας·
διὸ καὶ κατ' ἀξίαν αὐτοὺς
ἡ χάρις ἐστεφάνωσεν
ὡς νομίμως ἀθλήσαντας.

῾Ιερομύστα Τῖτε
καὶ θεοφόρε Κάρπε,

---

heirm. α' EE 78, n. 111, Germani trop. stellullis instructa in MR II, 599-609 invenies 1-9 trop. tantum Ea Ce praebent 9 νομίμως ἐναθλήσαντας Ce ἀθλήσαντες Ea 10-27 trop. tantum Ea profert

---

1-6 A. Papadopoulos-Kerameus, *Ἀνάλεκτα ... IV*, 232: ... οὐκ εἰδότες οἱ ἀληθῶς μωροί, ὅτι οἱ μὲν ἅγιοι διὰ τῶν τοιούτων δοκιμαστηρίων τὴν ἀληθῆ φιλοσοφίαν ἐπιδείκνυνται καὶ διὰ προσκαίρου θανάτου εἰς ἀΐδιον ζωὴν μετασχηματίζονται ...
7-9 Id., 232: ... ἡ δὲ τοῦ Θεοῦ χάρις ἐστεφάνου τοὺς ἁγίους.

οἱ ἀκλινεῖς θεμέλιοι
τῆς Κρητῶν ἐπαρχίας,
Θεῷ παριστάμενοι
σὺν πολλῇ παρρησίᾳ
ὑπὲρ ἡμῶν δεήθητε
σὺν τοῖς ἁγίοις μάρτυσι
κινδύνων λυτρωθῆναι ἡμᾶς.

Ὡς τὸν Ἡρώδην πάλαι
κατὰ βρεφῶν μανέντα
τὸν Ἰσμαὴλ κατάβαλε
κατὰ σοῦ βλασφημοῦντα
καὶ ἀντιπαράταξαι
τῇ αὐτοῦ βλασφημίᾳ
διὰ τῶν βασιλέων ἡμῶν
πρεσβείαις τῆς τεκούσης σε
καὶ τὴν ποίμνην σου φύλαττε.

τριαδ. * Ἡ ὑπὲρ νοῦν οὐσία
καὶ ἀμέριστος
τρισὶν ὑποστάσεσι
διαιρετῶς ὑμνεῖται,
μιᾷ δὲ θεότητι
ἡνωμένως τιμᾶται·
Τριὰς γὰρ καὶ μονὰς ἡ αὐτὴ
ἁπλῆ καὶ ἀδιαίρετος
ἐστὶ καὶ ὀνομάζεται.

θεοτ. Καινοτομοῦνται φύσεις
ἐν τῇ μήτρᾳ σου,
θεογεννῆτορ ἄχραντε,
ἡ κεχαριτωμένη·
f. 74 τοὺς νόμους τῆς φύσε||ως
ἐν σοὶ ἀνακαινίζει
καὶ ξένην ἀναγέννησιν
εἰσάγει τῇ γεννήσει αὐτοῦ·
ποιεῖ γὰρ ὅσα βούλεται.

12 ἀκλεινοῖς Ea   21 κατάβαλαι Ea   28-36 τριαδ. tantum Ea Σc proferunt   31 διαιρετὸς ὑμνεῖτε Ea   33 ἁπλῶς ἀδιαιρέτῳ MR   ἡνωμένος Ea   34 Τρ. γὰρ ἡ αὐτὴ καὶ μονὰς Σc MR   35 καὶ om. Ea

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ σωτὴρ τοῦ κόσμου

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ τὴν Θεοδούλου
καὶ Ζωτικοῦ συνοδείαν
τοῖς πόνοις τῆς ἀθλήσεως
στεφανώσας τοῖς θαύμασιν.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ τοὺς ἐν Κρήτῃ
στεφανηφόρους ἀθλητὰς
δοξάσας ἐν πέρασι,
κοσμήσας ἐν τοῖς θαύμασιν.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ τοὺς ἀθλοφόρους
ὁπλίσας κατὰ τοῦ ἐχθροῦ
καὶ τὰ βραβεῖα τῆς νίκης
μετὰ τὴν νίκην δοὺς αὐτοῖς.

θεοτ. Ἐγκύμονα ἄνανδρον
καὶ παρθένον θηλάζουσαν,
θαῦμα ἐπὶ θαύμασι!
Θεὸς γὰρ ἦν ὁ γεννηθείς,
παιδίον προαιώνιον
τοῦ Ἀδὰμ παλαιότερον.

heirm. β' EE 78, n. 111, Germani; heirm. integrum exscribit Ea   58-63 cfr. infra traditionem Σc, vv. 64-69

ᾠδὴ γ΄. *Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ*

Ὠφρυωμένης πάλαι τῆς ἀσεβείας
ὡς στερροὶ ὁπλῖται τῆς εὐσεβείας
ἀθλητικῶς παρετάξαντο
οἱ χριστομάρτυρες.

* Ὁ στερεώσας, Κύριε, τοὺς ἁγίους
ἐνεγκεῖν ἀφόβως τὰς ἀλγηδόνας,
ῥῦσαι κινδύνων καὶ θλίψεων
τοὺς ἀνυμνοῦντάς σε.

* Ἀθλητικὸν παγκράτιον οἱ γενναῖοι
τοῦ Χριστοῦ διήνυσαν ἀθλοφόροι,
τῶν διωκτῶν τὴν ἀπόνοιαν
καταπαλαίσαντες.

τριαδ. * Τὸν τῆς Τριάδος ἕνα ἐν τῇ γαστρί σου
δεξαμένη, ἄχραντε θεοτόκε,
ἀνερμηνεύτως ἐκύησας,
ὡς οἶδε μόνος αὐτός.

θεοτ. Ἀπειρογάμως τέτοκας, θεοτόκε,
τὸν ἐκ σοῦ ἀπάτορα ἐν σπηλαίῳ
καὶ ἐν ὑψίστοις ἀμήτορα
παρθένος μείνασα.

---

heirm. γ΄ EE 78, n. 110, Germani, sed metro stropharum minime aptatur 70-73 trop. deest in Πc T 70 Ὠφρυωμένης] Κορυφουμένης Σc 71 ὡς] οἱ Cf Ce Σc 73 Χριστοῦ οἱ μάρτυρες Cf οἱ χρ.] καὶ χρ. Σc οἱ Χριστοῦ μάρτυρες Σκ 74-77 trop. om. T Σc Σκ 77 ὑμνοῦντας MR 78 Ἀθλητικὴν MR πανκράτιον Cf 79 τοῦ] οἱ τοῦ T διοίνησαν Ea διήνοισαν Cf διήνυσας Σc διήγειραν T ἀθλοφόρον Σκ 80 ἀπόνοιαν] ἀπώλειαν Ce 81 καταπαλέσαντες Ea Cf 82-85 τριαδ. refertur ut θεοτ. in Πc T Σκ MR idem om. Cf Ce

---

87-88 Hebr. 7,3

ᾠδὴ δ΄. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

* Προεόρτιος
ἡ τῶν μαρτύρων ἐπέστη μνήμη
τὴν γενέθλιον προγράφουσα
ἑορτὴν τοῦ Κυρίου.

* Τὰ προαύλια
τῆς τοῦ σωτῆρος ἐπιφανείας
τῶν μαρτύρων ἡ ἐτήσιος
προηνέωξε μνήμη.

* Ἡ δεκάπυρσος
τῶν ἀθλοφόρων λαμπὰς ἀνήφθη
τὸν ἀστέρα προμηνύουσα
τοῦ Χριστοῦ γεννηθέντος.

Δῆμος ἅγιος,
δεκὰς μαρτύρων στεφανηφόρων,
f. 74v ἀνε||δείχθητε ἀήττητοι
τῆς Τριάδος ὁπλῖται.

θεοτ. * Μήτηρ ἄχραντε,
εὐλογημένη ἁγνὴ Μαρία,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ πάσης ἀνάγκης.

---

heirm. δ΄ EE 78, n. 110, Germani 91 ἡ om. MR 92 προγράφουσαν Ea T 93 Κυρίου Ea: σωτῆρος cett. cdd. MR 94-97 desunt in Σκ 96 αἰτήσιος (-ως Ce) Ea Ce 97 -ξεν μνήμην Ea προηνέωξε Ea: προανέωξε cett. cdd. MR: Psaltes 203/4 98-101 trop. om. Σc; idem ut θεοτ. refert T 99 λαμπὰς] δεκὰς Cf Ce 102-105 trop. om. T 103 στεφανηφόροι Σc 106-109 θεοτ. om. Σc T 106 Μήτηρ Ea: Μῆτερ cett. cdd. MR 107 Μαρία Ea: παρθένε cett. cdd. MR

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

'Αθλητικοὶ τὸ φρόνημα
καὶ τὴν ἀνδρείαν στερροὶ
καὶ ῥωμαλέοι τὴν γνώμην
ἀνεδείχθητε
ἐν μέσῳ τῶν ἀγώνων,
ἀξιύμνητοι Χριστοῦ
μεγαλομάρτυρες.

* Τὸν ἐξ ἡλίου ἥλιον
Χριστὸν οἱ μάρτυρες
ἐκ τῆς παρθένου ἡμῖν
ἐπιφανέντα
κηρύττουσι τῷ κόσμῳ
τῇ ἀθλήσει τῆς σεπτῆς
ὁμολογίας αὐτῶν.

* Οἱ τῆς εἰρήνης τρόφιμοι
καὶ τῶν πολέμων ἐχθροί,
ταῖς ἱκεσίαις ὑμῶν,
ἅγιοι μάρτυρες,
πρεσβεύσατε εἰρήνην
καὶ κακῶν ἀπαλλαγὴν
δοθῆναι πᾶσιν ἡμῖν.

τριαδ. Τριὰς ἁγία, δόξα σοι
εἰς τοὺς αἰῶνας, ἀμήν,
ἡ νικηφόρους ἁγίους
ἀναδείξασα
τῆς Κρήτης ὑπερμάχους,
οὓς ἐθρέψατο καλῶς
ἡ 'Εκκλησία σου.

---

heirm. ε' EE 78, n. 110, Germani 110-116 trop. om. T 110 'Αθλητικὸν Ea Πc 111 τῇ ἀνδρείᾳ Cf στερρὰν Πc 112 τῇ γνώμῃ Ea Cf Ce 121 τῷ] ἐν T 122 τῆς] τῇ sup. lin. in Σκ 124-130 trop. tantum Ea Ce praebent 125 τῶν πολέμων] πολεμίων MR 131-137 τριαδ. tantum Ea

θεοτ. 'Εκ σοῦ Θεὸς σαρκούμενος
ἀτρέπτως τίκτεται
καὶ σπαργανοῦται σαρκὶ
λύων τὰ σπάργανα,
δεικνύων σε παρθένον
μετὰ [τὸν] τόκον ὡς πρὸ [τοῦ] τόκου,
θεοτόκε ἁγνή.

ᾠδὴ ς'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Κρήτη τῶν νήσων ἡ μεγίστη,
ὀρθοδόξων ἡ εὐγένεια,
φυτεία Τίτου ἐν Χριστῷ,
ἀρδευθεῖσα ὑπὸ Παύλου τὸ πρίν,
ἀξίως μακαρίζει
δέκα φαιδροὺς
ἀστέρας λαμπαδουχοῦσα τὴν κτίσιν.

* Κυμαινομένης ὡς θαλάσσης
κατὰ τῆς ὁμολογίας Χριστοῦ
τῆς τυραννίδος τοῦ ἐχθροῦ
ὡς φιλεύδιοι λιμένες αὐτῇ
ἐπέστησαν ἀθρόως
οἱ ἀθληταὶ
ὡς ναῦν τὴν πίστιν αὐτῶν συντηροῦντες.

Καθάπερ ἄνθη τοῦ πεδίου
καὶ ὡς κρίνα τῶν κοιλάδων
f. 75 ‖ τῶν ἀθλοφόρων ἡ δεκὰς
μυστικῶς εὐωδιάζουσα

---

143 τόν, τοῦ expunxi metri causa
heirm. ς' EE 78, n. 110, Germani 147 φοιτία Ea 152-158, 159-165 trop. om. T 152 Λυμαινομένης Ce ὡς] τῆς Ea 153 Χριστοῦ] ὑμῶν Ea ἡμων Σc MR 155 αὐτῇ] αὐτοῦ Ea αὐτοὶ Cf Πc 158 ναῦ Ea Cf Ce Πc Σc αὐτῶν MR: αὐτοῖς Ea αὐτῆς cett. cdd. συντηροῦντες] συναιροῦντες MR 159-165 trop. deest in Σκ

159-160 Cant. 2,1

ὀσμὴ γίνονται μύρου
καὶ εἰς ὀσμὴν
γνωρίζονται τῶν Χριστοῦ ἀρωμάτων.

τριαδ.

Ὡς ἐν τριάδι τρισσουμένη
καὶ μονάδι πληρουμένη
τῶν ἀθλοφόρων ἡ δεκὰς
δυσωπεῖ σε, παναγία Τριάς·
εἰρήνευσον τὸν κόσμον,
θραῦσον ἐχθρῶν
Ἀγαρηνῶν τὴν ὀφρῦν ἐπαρθεῖσαν.

θεοτ.

Ἡ ἐκ μαζῶν γάλα, παρθένε,
νηπιάσαντα, τὴν πάντων τροφήν,
παιδοτοκήσασα σαρκί,
ὃν οὐκ ἔσπειρε πατὴρ ἐν γαστρί,
θηλάζουσα ὡς βρέφος
τρέφεις υἱόν,
τὸν θρέψαντα τὸν λαὸν ἐν ἐρήμῳ.

ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Μὴ κάμψαντες τὸ γόνυ,
ἀθλοφόροι ἀήττητοι,
καὶ τῇ εἰκόνι τῇ χρυσῇ
μὴ προσκυνήσαντες,
τῷ πυρὶ τῶν βασάνων
ἐδοκιμάσθητε στερροί,
ὡς ἐν χωνείᾳ χρυσός.

---

163 γίνεται Cf Ce Πc 165 ἐπήγεται τῶν Χρ. γενεθλίων Cf Ce ἐπείγονται τῶν Χρ. ἀρ. Σc ἐπάγονται τοῦ Χρ. ἀρ. Πc τῶν] τοῦ Ea Πc 166-172 τριαδ. tantum Ea Σc praebent 167 μονάδα Ea 169 δυσωπῆσαι Ea 172 τὰ θράση καὶ τὴν ὀφρῦν τῶν τῆς Ἄγαρ Σc
heirm. ζ' ΕΕ 79, n. 111, Germani 180-186 trop. om. Πc T 186 χωνεὶ Ea

---

179 II Esdr. 19,21 184-186, 187-189 Sap. 3,6; Sir. 2,5

Ὡς δόκιμον χρυσίον
πυρωθέντες οἱ ἅγιοι,
οὐ χωνευθέντες τῷ πυρὶ
τῶν ἀφορήτων αἰκισμῶν,
εὐριζωτέραν τὴν πίστιν
τὴν εἰς τὸν κτίστην καὶ Θεὸν
καθυπεδείξαντο.

Τὸ ἄφραστόν σου κάλλος
οἱ ἀήττητοι μάρτυρες
ἐπιποθήσαντες, Χριστέ,
πάντα ὑπέμειναν,
ἵνα τῆς δόξης ἐκείνης
καὶ τῆς ἀφράστου σου χαρᾶς
ἀξιωθῶσι τυχεῖν.

Ὡς δῶρα βασιλέων
τὰς βασάνους ἡγήσασθε
καὶ πλουσίας παροχὰς
τῶν διωκτῶν τὰς ἀπειλάς,
στεφανηφόροι, βοῶντες·
« μὴ προσκυνήσωμεν γλυπτοῖς·
Χριστοῦ γὰρ δοῦλοι ἐσμέν ».

θεοτ.

Τὸ βρέφος σου, Μαρία,
τὸν Ἀδὰμ ἀνεμόρφωσε
καὶ τὴν ἀείζωον Ἐδὲμ
πᾶσιν ἀνέῳγε·
ζωῆς γὰρ ξύλον ὑπάρχον
« γεύσασθε » πᾶσιν ἐκβοᾷ
« τῆς ἀκενώτου τρυφῆς ».

187-193 trop. om. Σκ 191 εὐρυζοτέραν Cf Ce Πc T Σc 193 ἀντεπεδείξαντο Cf Ce Πc T Σc 194-200 trop. om. Cf T Σc Σκ 196 Χριστὸν Ea 199 σου om. Ce 201-207 trop. tantum Ea Σκ servant 201 δῶρα] ὄναρ Σκ 202 τούς cdd. ἡγήσασθαι Ea 205 στεφανοιφόροι Ea βοῶτες Ea 206-207 εὐλο(γητὸς) εἶ... Σκ

206-207 Id., 232: ... Χριστιανοί ἐσμεν· οὐ πειθόμεθα θυσίαν νεκροῖς καὶ ἀψύχοις θεοῖς προσενέγκαι ...

ᾠδὴ η΄. *Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς*

Στεφανηφόροι ἀθληταί,
οὐχ ἡ γῆ ὑμᾶς κατέκρυψε
μεταναστάντας
ζωῆς τῆς προσκαίρου,
ἀλλ' οὐρανὸς ἐδέξατο
καὶ ἅγιοι ἄγγελοι
προσελάβοντο ὑμᾶς
ὑμνοῦντας, εὐλογοῦντας
καὶ ὑπερυψοῦντας
αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν στρατευσάμενον ὑμᾶς
τῷ στρατῷ τῆς ἄνω κλήσεως
καὶ πρὸς ἀγῶνας
τοὺς πρὸς τοὺς τυράννους
κράτος δωρησάμενον
Χριστὸν τὸν Θεὸν ἡμῶν,
σεβάσμιοι μάρτυρες,
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

« Μὴ φοβηθῆτε » ὁ Χριστὸς
« ἀπὸ τῶν ἀποκταινόντων », φησί,
« τὸ σῶμα τοῦτο
εἰς ἀφθαρσίαν »
ἐκδιδάσκων συμφώνως

heirm. η΄ EE 79, n. 111, Germani 215 Στεφανοιφόροι Ea 217 μεταναστάντες Ea 219 οὐρανοὺς Ea 222 manus recentior ὑμνοῦμ(εν) εὐλογοῦμ(εν) scripsit 232 post εὐλογοῦμ(εν) orat. detruncatur in cd.

235-238 II Cor. 3,6

ἀθλεῖν ἐν τοῖς ἀγῶσιν
f. 75v ‖ ⟨— — ΄ — — — ΄
— ΄ — — — ΄ —
— — — — ΄ —
— ΄ — — — ΄ —⟩.

θεοτ. Σὲ μακαρίαν ἀληθῶς
ἐκ πασῶν τῶν γενεῶν ὁ Χριστὸς
προεκλεχθεῖσαν
μητέρα παρθένον
ἄνανδρον ἀπέδειξεν,
ἀσπόρως κυήσασαν
καὶ τεκοῦσαν ἀπαθῶς·
ὢ θαῦμα! ὁ ἀμήτωρ
ἐτέχθη! ἀχρόνως
ἐν χρόνῳ ὁ ἀπάτωρ!

ᾠδὴ θ΄. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Πύργοι τῆς οἰκείας πατρίδος
καὶ ἀπόρθητον τεῖχος,
τῶν μαρτύρων ἡ δεκάς,
καὶ τῆς ἄνω δόξης
κατὰ τοῦ πονηροῦ
ἰσχυροὶ ἀνεδείχθητε.

Εἴ τις τῶν μαρτύρων τὸν ἕνα
ἢ ἑνὸς τῶν λειψάνων
θησαυρίσει ἑαυτῷ
ὡς πάντας ἔχων
οὗτος ἔσται ἀεὶ
ἀσφαλὴς καὶ ἀκίνδυνος.

240 ἀθλὴν Ea 241-244 quattuor vv. desiderantur in cd. 249 ἀνάνδρων Ea 252 ὦ ἀμήτωρ Ea
heirm. θ΄ EE 79, n. 111, Germani; heirm. integer exhibetur in cd. 260 ἀνεδείχθηται Ea 261, 267 Ἤ τις Ea 261 τὸν] τῶν Ea 263 ἑαυτῶν Ea

Εἴ τις τῶν λειψάνων τῆς θήκης
τῶν ἁγίων μαρτύρων
προσεγγίσει τῶν πιστῶν
εὐθὺς ἐκεῖθεν
τὰς ἰάσεις ἀντλῶν
τῶν παθῶν ἀπαλλάττεται.

f. 76 θεοτ. * ‖ Χαῖρε, τῶν εἰς σὲ προστρεχόντων
τὸ ἀπόρθητον τεῖχος·
χαῖρε, εὔδιε λιμὴν
τῶν σὲ σεβόντων·
χαῖρε, μήτηρ Χριστοῦ
τοῦ Θεοῦ ἀειπάρθενε.

273-278 θεοτ. Pent[II] λζ'; AHG III, 406

IN SANCTOS X MARTYRES CRETENSES

Crypt. Δ.α. XIV	= Cf,	ff. 202-208ᵛ
Crypt. Δ.α. IV	= Ce,	ff. 167ᵛ-173
Patm. 197	= Πc,	ff. 117-120ᵛ
Paris. gr. 928	= T,	pp. 295-299
Sinait. gr. 578	= Σc,	ff. 55ᵛ-58
Sinait. gr. 581	= Σx,	ff. 51ᵛ-56

Traditio cd. Cf cum ceteris comparata

Ὁ κανὼν τῶν μαρτύρων.

Ἦχος γ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ Κυρίῳ*
τῷ ποιήσαντι

* Ἄσωμεν τῷ Κυρίῳ
τῷ συνάψαντι
τοὺς ἁγίους μάρτυρας
τῇ ἀμωμήτῳ πίστει
καὶ τούτους ὁπλίσαντι
ἐν μιᾷ τῇ ἐλπίδι
κατὰ τοῦ ἀρχεκάκου ἐχθροῦ
καὶ τῷ συνδέσμῳ πάντας αὐτοὺς
τῆς ἀγάπης ἑνώσαντι.

---

tit. Ὁ κανὼν τῶν ἁγίων ἱερομαρτύρων· ποίημα Ἀνδρέου Ce Ἕτερος κανὼν εἰς τοὺς ἁγίους μάρτυρας Πc Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τῶν ἁγίων T nomen melodi Ἀνδρέου in marg. ostentant Cf Πc

heirm. α' EE 78, n. 111, Germani; heirm. integrum profert Ce trop. stellullis instructa in MR II, 599-609, invenies 7 ἀρχεκάκου] ἀοράτου Πc 9 ἑνώσαντος Cf ἐρώσαντα Σc

---

8-9 Col. 3,14

* Οἱ ἀπλανεῖς ἀστέρες
τοῦ νοητοῦ ἡλίου
ὡς ἐξ ἑῴας λάμποντες
τὸν τοῦ ἀστέρος δρόμον
πιστῶς προηγήσαντο
τοῦ Χριστοῦ γεννηθέντος,
ἑορτὴν προεισόδιον
τὴν μνήμην τῆς αὐτῶν τελευτῆς
φαιδρῶς προεισενέγκαντες.

* Οἱ ἐκ Περσίδος μάγοι
ἐν Βηθλεὲμ τεχθέντι
δῶρα Χριστῷ προσήγαγον·
νῦν δὲ οἱ ἀθλοφόροι
ὡς σμύρναν τὰ αἵματα,
ὡς χρυσὸν δὲ τὴν πίστιν
f. 202v || ὡς λίβανον τὰ πνεύματα
θυσίαν προεόρτιον
τῷ τεχθέντι προσήνεγκαν.

* Τῇ Θεοδούλου πίστει
καὶ Ζωτικοῦ ἀνδρείᾳ
συνανεκράθη Πόντιος
καὶ Σατουρνῖνος ἅμα
καὶ συνεστεφάνωται
Εὔπορος, Ἀγαθόπους,
Γελάσιος, Εὐάρεστος
καὶ Εὐνικιανὸς σὺν αὐτοῖς,
Βασιλίδης ὁ σύναθλος.

---

10 Οἱ om. Πc 12 ἐξ ἑῴας] ἑωσφόροι Πc λάμψαντες Πc T Σc Σκ MR 13 τῷ ... δρόμῳ Πc ἀστέρους Σc 17 τελετῆς Cf Σκ 18 φαιδρῶς νυνὶ Πc Σc προσεινέγκαντες Σκ προσενέγκαντες MR 20 ἐμβηθλεὲμ Σκ 23 ὡσμύρναν Cf Σκ 24 ὡς om. MR 27 τεχθέντι] δεσπότῃ Πc 28-36 trop. om. T 29 ἀνδρείᾳ] ἀγάπῃ MR 30 συνεκράθη Πόμπιος MR Πόντιος] Πόμπιος Σκ 31 Σατορνῖνος MR 36 Βασιλίδης] καὶ Β. – MR post trop. quod incipit « Τῇ Θεοδούλου » Ce trop. « Ἀθλητικὴν ἀνδρείαν » collocat, quod antem primum ponit Ea

---

19-21 Matth. 2,1-12

* Ὦ μακαρία Κρήτη,
ἡ θησαυροὺς ἐμψύχους
τοὺς νικηφόρους μάρτυρας
εἰς ἓν συναγαγοῦσα
καὶ πλοῦτον ἀνέκλειπτον
τούτους ἀποθεμένη
πολίτας καὶ οἰκήτορας
καὶ ἰατρεῖον ἄμισθον
καὶ κλέος ἀναφαίρετον.

θεοτ. * Ἐν Βηθλεὲμ γεννᾶται
καὶ τὴν Ἐδὲμ ἀνοίγει
ὁ ἐκ παρθένου Κύριος
τεχθεὶς ἀνερμηνεύτως·
φάτνη ἑτοιμάζεται
καὶ σπήλαιον τῷ κτίστῃ
καὶ μάγοι εὐτρεπίζουσι
τὰ δῶρα τῷ δεσπότῃ Χριστῷ
καὶ ἀστὴρ προκηρύττει τὸ φῶς.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

f. 203 || Ἡ ἄθλησις
τῆς τῶν μαρτύρων δεκάδος
προϋπογράφει τὴν γένναν τοῦ σωτῆρος.

Γενέθλιος
τῶν ἀθλοφόρων ἡ μνήμη
τῆς θεοτόκου κηρύττουσα τὸν τόκον.

37-45 trop., quod om. Πc T Σc Σκ, in E. FOLLIERI, *Santi Cretesi nell'innografia*, « Πεπραγμένα τοῦ Β' Διεθνοῦς Κρητολογικοῦ Συνεδρίου » III, Ἀθῆναι 1968, p. 277, ed. est 41 ἀνέκλειπον Ce 50 φάτνῃ T 52 καὶ om. MR 53 τὰ om. Πc Χριστῷ] Θεῷ Πc T MR 54 προκηρύττει] προμηνύει Πc

heirm. β' EE 78, n. 110, Germani; heirm. integrum praebent cdd. 55-75 ode β' desideratur in Πc T Σκ MR 56 μαρτύρων] ἁγίων μαρτύρων Ce 57 γέννα Σc

Χορεύουσιν
αἱ τῶν μαρτύρων ἀγέλαι
ἐπὶ τῇ μνήμῃ τῆς ἱερᾶς δεκάδος.

Τὰ ἔνεδρα
τοῦ ἀρχεκάκου λαθόντες,
Χριστοῦ ὁπλῖται, ἡρπάσατε τὴν νίκην.

Πυρσεύουσι
τοῖς ἐν θαλάσσῃ τοῦ βίου
χειμαζομένοις Χριστοῦ οἱ ἀθλοφόροι.

Εἰρήνευσον
ὁ Θεὸς ὡς οἰκτίρμων
τὴν οἰκουμένην πρεσβείαις τῶν ἁγίων.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
ὑπὲρ τοῦ κόσμου ἱκέτευε ἀπαύστως.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου*

76-79 Ἀθλητικὸν παγκράτιον οἱ γενναῖοι
.... = Ea 78-81

* Οἱ νοεροὶ φωστῆρες τῆς Ἐκκλησίας
λογικὰς ἀστράπτοντες λαμπηδόνας
τὴν ἀβλεψίαν φωτίζουσι
τῶν καρδιῶν ἡμῶν.

84-87 Ὁ στερεώσας, Κύριε, τοὺς ἁγίους
.... = Ea 74-77

post trop. « Χορεύουσιν » Σc heirm. β' ἄλλον profert; quem vide infra in tertia traditione; Ce autem pro trop. « Εἰρήνευσον » hoc profert: Ἰσάριθμος / τῆς τῶν ταλάντων δεκάδος / ἡ τῶν μαρτύρων δεκὰς ἀνευφημείσθω. 73-75 θεοτ. MR VI, 113; AHG V, 313

heirm. γ' EE 78, n. 110, Germani; heirm. integrum obfert Ce et in marg. Πc 76 Ἀθλητικὴν MR πανκράτιον Cf 80 Ἐκκλησίας] Οἰκουμένης Ce οἰμένης Σκ 81 οἱ λογικὰς Cf 84-87 trop. om. T Σc Σκ

88-91 Ὠφρυωμένης πάλαι τῆς ἀσεβείας
.... = Ea 70-73

Οἱ τὴν δεκάδα λείπουσαν τῶν παρθένων
εἰς διπλῆν πεντάδα λαμπαδηφόρον
ἀναπληρώσαντες μάρτυρες
ἐστεφανώθησαν.

Οἱ τὴν ψυχὴν ἀήττητοι καὶ τὸ σῶμα
πρὸς τυράννους ἔστησαν κακουργοῦντας
καὶ τῇ σαρκὶ θανατούμενοι
ἔζων τῷ πνεύματι.

Ὡς νοεροὶ λιμένες τῶν ἐν θαλάσσῃ
f. 203v τῆς τοῦ || βίου ζάλης κυμαινομένης
τὴν ἑαυτῶν διασώζουσι
νῆσον οἱ ἅγιοι.

Ἡ Βηθλεὲμ ἡ πόλις τοῦ βασιλέως
τοῦ Χριστοῦ τὰ σπάργανα εὐτρεπίζει
καὶ τὴν φάτνην ἡ ἔρημος,
γῆ δὲ τὸ σπήλαιον.

Κάθισμα.

Ἦχος α'. Πρός· *Χορὸς ἀγγελικὸς*

(α') Τῆς Κρήτης οἱ λαμπροὶ
....

88-91 trop. om. Πc T 88 Ὠφρυωμένης] Κορυφουμένης Σc 92-95 trop. om. Πc Σc 92 λίπουσαν T λειποῦσαν Σκ 94 μάρτυρες] οἱ μ. T 96-99, 100-103 trop. tantum Cf profert 99 ἔζουν Cf 104-107 hoc trop. exstat in Cf Ce; cett. cdd. θεοτ. praebent quod in traditione Ea invenies

Κάθ. (α') MR II,600; idem post oden ς' profert Ce, om. Πc Σc Σκ

92-95 Matth. 25,1-13

Ἄλλο.

Ἦχος γ'. Πρός· *Τὴν ὡραιότητα τῆς παρθενίας σου*

(β') Τὴν πολυθαύμαστον Κρήτην, φιλέορτοι,
....

f. 204 Ἄλλο.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

(γ') Ἀναλάμψαντες γνώσει τῇ θεϊκῇ
ὡς ἀστέρες τὴν κτίσιν πᾶσαν ἀεὶ
φωτίζετε, μάρτυρες,
ταῖς τῶν ἄθλων λαμπρότησι
τῶν δαιμόνων τὸ σκότος
μακρὰν ἀπελαύνοντες
καὶ παθῶν ὁμίχλην
ἐξαίροντες πάντοτε·
ὅθεν τὴν φωσφόρον
καὶ σεπτὴν ὑμῶν μνήμην
καρδίας εὐθύτητι
ἑορτάζομεν χαίροντες
καὶ βοῶμεν γηθόμενοι·
« πρεσβεύσατε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σας ».

Κάθ. ἄλλο (β'), quod in principio acoluthiae collocat Σc et om. Ce Πc T Σx, id in MR II, 596, ut ἀπολυτίκιον invenies Ἄλλο (β') 1 φιλέορτοι] τιμήσωμεν MR
Ἄλλο (γ') in principio acoluthiae ponit Πc, om. Ce T Σc; T autem κάθ. « Ἐκ τῆς Περσίδος βασιλεῖς », MR II, 598 refert 8 εὐτόνως σκεδάζοντες Πc Σx 12 χαίροντες] σήμερον Πc 14 post Χριστῷ orat. varie detruncant cdd.

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην*

108-111 Προεόρτιος
.... = Ea 90-93

112-115 Τὰ προαύλια
.... = Ea 94-97

116-119 Ἡ δεκάπυρσος
.... = Ea 98-101

120-123 Δῆμος ἅγιος
.... = Ea 102-105

Κατεπάτησαν
τὴν τῶν εἰδώλων ματαίαν πλάνην
οἱ λατρεύσαντες δι' αἵματος
τὴν ἁγίαν Τριάδα.

θεοτ. 128-131 Μῆτερ ἄχραντε
.... = Ea 106-109

f. 204v ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

132-138 Τὸν ἐξ ἡλίου ἥλιον
.... = Ea 117-123

* Νυκτομαχούσης, ἅγιοι,
τῆς Ἐκκλησίας Χριστοῦ
ὡς φαεινοὶ τοῖς ἐν γῇ
φωστῆρες ὤφθητε,

---

heirm. δ' EE 78, n. 110, Germani; heirm. integer legitur in Ce 108-111, 112-115 trop. inverso ordine collocata in Πc 112-115 om. Σx 116-119 trop. om. Σc; idem ut θεοτ. refert T 116-119, 120-123 trop. inverso ordine disposita in Πc 120-123 trop. om. T 124-127 trop. tantum Cf profert 128-131 θεοτ. om. T Σc Σx
heirm. ε' EE 78, n. 110, Germani 139-145, 146-152 trop. om. T

τὴν νύκτα τῆς ἀγνοίας
ἀπελαύνοντες τῇ αἴγλῃ
τῶν θαυμάτων ὑμῶν.

146-152 Ἀθλητικοὶ τὸ φρόνημα
.... = Ea 110-116

* Τίτου καὶ Κάρπου κλήματα
ὤφθητε, μάρτυρες,
ὡς ἐκ τῆς Παύλου φυτείας
ἀναθήλαντες,
καρποὺς ὁμολογίας
ἐκ χειλέων τῷ Χριστῷ
προσανενέγκαντες.

Λαμπαδηφόροι δράμετε,
μάρτυρες δέκα Χριστοῦ·
τὸν γὰρ νυμφῶνα αὐτοῦ
ὑμῖν ἀνέῳγε
καὶ δεῦρο εἰσελθόντες
τὰ βραβεῖα παρ' αὐτοῦ
τῆς νίκης δέξασθε.

θεοτ. * Ἐν Βηθλεὲμ ἀνέτειλε
Χριστός, ἡ πάντων ζωή,
ἐκ τῆς παρθένου μητρός,
λάμψας τῷ κόσμῳ τὸ φῶς
καὶ ὥσπερ ἐν ἡμέρᾳ
καταλάμπει τοῖς πιστοῖς
ὡς καὶ τοῖς μάγοις ἀστήρ.

---

146 Ἀθλητικὸν Πc post trop. « Ἀθλητικοὶ τὸ φρόνημα » Ce praebet trop. « Οἱ τῆς εἰρήνης τρόφιμοι », quod vide supra in traditione Ea, vv. 124-130 153-159 trop. om. Ce Σκ 153 κλήματα] μάρτυρες Πc 154 ὤφητε Πc μάρτυρες] κλήματα Πc 155 φοιτείας Cf T 156 ἀνατείλαντες T Σc ἀναθάλλοντες MR 159 προσενηνόχατε Cf προσενέγκαντες Σc MR tantum προσενέ legitur in T 160-166 trop. tantum in Cf exstat 163 ἡμῖν Cf 166 δέξασθαι Cf pro trop. « Λαμπαδηφόροι » hoc praebet T: idem post « Ἀθλητικοί » ponit Σκ: Ζῆλος καὶ πῦρ (καὶ πῦρ] πυρὸς Σκ) κατέδεται / τοὺς ἐναντίους, Χριστέ, / τοὺς ἐκ τῆς Ἄγαρ υἱοὺς / τῇ τῶν μαρτύρων εὐχῇ / καὶ λάμψει τῇ (τῶν T) Ῥωμαίων / πολιτείᾳ φῶς εἰρήνης / ἀνεκλάλητον (μαχητ ... T). 168 ζωὴ] αὐγὴ Πc T Σc Σκ MR 170 τὸ φῶς om. T 173 τοῖς] τοὺς T

f. 205v *ᾠδὴ ς'. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

* Μάγοι τὰ δῶρά σοι προσήνεγκαν,
οἱ δὲ μάρτυρες τὰ αἵματα
τῷ γεννηθέντι ἐπὶ γῆς
ἐκ παρθένου ἐν τῇ πόλει Δαβὶδ
καὶ πάσχοντες ἐβόων·
« σῶσον, σωτήρ,
τοὺς προσκυνοῦντας τὴν σὴν βασιλείαν ».

181-187 Κυμαινομένης ὡς θαλάσσης
.... = Ea 152-158

188-194 Καθάπερ ἄνθη τοῦ πεδίου
.... = Ea 159-165

* Ἡ Θεοδούλου παρρησία
τὴν ὁμόζηλον ἀνδρείαν
τῶν συνομίλων ἀθλητῶν
στερροτέραν ἀπειργάσατο·
διὸ καὶ ἀνεβόων·
« σῶσον, σωτήρ,
τοὺς προσκυνοῦντας τὴν σὴν βασιλείαν ».

---

heirm. ς' EE 78, n. 110, Germani 174 προσήνεγκαν] προσῆγον T Σc MR προσήγαγον Πc 175 οἱ δὲ] καὶ οἱ Πc 178 ἐβόουν Cf 180 ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην Πc T MR 181-187, 188-194 trop., quae inverso ordine profert Πc, om. T 181 Λυμαινομένης Ce 188-194, 195-201 trop. inverso ordine praebet Σc; prius autem om. Σκ 199 ἀνεβόουν Cf 201 ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην Πc MR; cfr. supra v. 180 post trop. « Ἡ Θεοδούλου » hoc profert T: Μάγοι Χριστῷ δῶρα προσῆγον / τῷ ἀστέρι ὁδηγούμενοι / τῶν δὲ μαρτύρων ἡ δεκὰς / τιμιώτερα προσήνεγκε / τὸ σῶμα καὶ τὸ αἷμα / καὶ τὴν ψυχὴν ὡς λίβανον, / ὡς χρυσὸν καὶ ὡς σμύρναν.

174-176 Cfr. sup. canon. XLVII, vv. 41-46.

195-201 PG 116,572: ... ἐφιλονείκουν τίς ἂν αὐτῶν πρῶτος ὑπέλθοι τὸ ξίφος καὶ πρῶτος ἄρῃ τὸν στέφανον. Παύει δὲ τὴν ἔριν ταύτην Θεόδουλος, εἷς ὢν τοῦ θείου τοῦδε χοροῦ ἐπειπὼν ὡς οὗτος ἂν εἴη μᾶλλον ἐνταῦθα πρῶτος ὃς ἂν ἀπέλθοι τῶν πάντων ἔσχατος, μηδὲν ἀγεννὲς ὑποστὰς ἐκ τῆς τῶν ἄλλων θέας ... διὰ τοῦτο καὶ πλειόνων ἄρα στεφάνων ἄξιος. Ἤρεσε τοῖς πᾶσιν ὁ λόγος· καὶ πρῶτα μὲν κοινὴν ποιοῦνται πρὸς θεὸν τὴν ᾠδήν, « Εὐλογητὸς εἶ, Κύριε, » ψάλλοντες...

θεοτ.

* Ἐν Βηθλεὲμ ἀστὴρ ἐφάνη
ὁδηγῶν τοὺς ἐκ Περσίδος
δῶρα κομίζοντας Χριστῷ
τῷ τεχθέντι ἐκ παρθένου μητρός·
αὐτὸν πᾶσα ἡ κτίσις
καὶ προσκυνεῖ
καὶ ὡς Θεὸν ἀνυμνεῖ καὶ δεσπότην.

f. 206

Κοντάκιον.

Ἦχος γ'. Πρός· *Ἡ παρθένος σήμερον*

Ἡ φωσφόρος ἔλαμψε
τῶν ἀθλοφόρων ἑστία
καὶ ἡμᾶς τῇ σήμερον
πρὸς εὐωχίαν προτρέπει·
δεῦτε οὖν ἑστιαθῶμεν σὺν τοῖς ἁγίοις
ἅπαντες μετ' εὐφροσύνης
Χριστῷ βοῶντες·
« μὴ εἰς τέλος ἐπιλάθου,
οἰκτίρμον Λόγε,
τοῦ οἰκτειρῆσαι ἡμᾶς ».

Ὁ οἶκος.

Πρός· *Τὴν Ἐδὲμ Βηθλεὲμ*

Τῶν Κρητῶν οἱ πιστοὶ
ἅπαντες χώραν σήμερον
ὡς ἐν γῇ οὐρανὸν

202 ἐφάνει Ce 204 Χριστῷ] αὐτῷ Πc 206 αὐτῷ Πc T Σc Σκ 208 δεσπότην] δοξάζει Πc T MR
heirm. κοντ. HR 164; κοντ. et οἶκ. tantum Cf servat; T autem κοντ. « Ὁμόψυχοι τῇ πίστει » et οἶκ. « Ἔλαμψεν ἐν τῷ κόσμῳ » praebet, quae vide in TRM II, ρια' κοντ. 2 ἐσθία Cf 3 τῆς σήμερον Cf 5 ἐσθιαθῶμεν Cf
heirm. οἶκ. MR II, 667

202-205 Matth. 2,1-12

ἴδωμεν ἄλλον φέροντα
ἀστέρας μεγίστους,
φαιδροὺς καὶ ἀστείους,
τῶν ἀθλοφόρων δέκα τὰ σώματα,
τὰ ὄντως ἀγώγιμα,
τὰ τὸν Βελίαρ μόνον αἰσχύναντα
καὶ τὸν δι' ἡμᾶς τεχθέντα Κύριον
ἀδήλῳ τῇ γνώμῃ τοῖς τυραννοῦσι
Θεὸν κηρύξαντας ὁμοῦ
καὶ ποιητὴν τὸν τοῦ Ἀδάμ·
ὅθεν τούτων πρεσβείαις
« μὴ μακρύνῃς », σοὶ βοῶμεν,
« οἰκτίρμον Λόγε,
τοῦ οἰκτειρῆσαι ἡμᾶς ».

Ἄλλο.

Ἦχος δ'. Πρός· *Ἐπεφάνης σήμερον*

Ἑωσφόρος ἔλαμψεν
....

f. 206v

Ὁ οἶκος.

Πρός· *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Τὸν ἐκ παρθένου δι' ἡμᾶς
....

ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

* Ἐφέστηκεν ἡ μνήμη
τῶν μαρτύρων κηρύττουσα
τὴν γενέθλιον ἡμέραν

οἶκ. 12 κηρύξαντες Cf 15 σὺ Cf 16 post Λόγε orat. detruncat cd.
Ἄλλο κοντ. et οἶκ., quae tantum Cf profert, in MR II, 604 invenies
οἶκ. 1 ἐκ παρθένου] ἐν σπηλαίῳ MR
heirm. ζ' EE 79, n. 111, Germani

τοῦ σωτῆρος Χριστοῦ
καὶ τῇ ἐκείνων ἀθλήσει
προοιμιάζεται ἡμῖν
δεσποτικὴν ἑορτήν.

216-222 Μὴ κάμψαντες τὸ γόνυ,
.... = Ea 180-186

223-229 Ὡς δόκιμον χρυσίον
.... = Ea 187-193

θεοτ. * Ποιμένες μετὰ μάγων
τὸν ἀστέρα θεώμενοι
μετ' ἀγγέλων ἐπὶ γῆς
θεολογοῦσι τὸν ἐκ σοῦ
ἀνερμηνεύτως τεχθέντα,
θεογεννῆτορ, ὡς Θεὸν
διὰ τὸ σῶσαι ἡμᾶς.

f. 207 ᾠδὴ η'. *Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων*

* Κατὰ ξιφῶν
καὶ πυρὸς καὶ θανάτου
ἀντικατέστη
ἡ δεκὰς τῶν μαρτύρων
καὶ τὴν νίκην ἤρατο

212 τοῦ δεσπότου καὶ Θεοῦ (καὶ om. T) T Σc τοῦ δεσπότου Χρ̄. Πc Σϰ Χριστοῦ om. MR 213 ἐκείνων] τούτων MR 215 δεσποτικῇ ἑορτῇ Cf Ce -κὴ -τὴ T Σc MR 216-222 trop. om. Πc T

pro trop. « Ὡς δόκιμον χρυσίον » Σϰ trop. « Ὡς δῶρα βασιλέων » profert, quod vide supra in traditione Ea, vv. 201-207; Ce Πc autem post supra dictum trop. « Τὸ ἄφραστόν σου κάλλος » ostentant, quod vide supra in traditione cd. Ea, vv. 194-200; T autem hoc ponit: Τὸ αἷμα τῶν μαρτύρων / ὡς τοῦ Ἄβελ κραυγάζει σοι· / « Ῥῦσαι βαρβάρων καὶ φθορᾶς / καὶ τῶν τῆς Ἄγαρ χειρῶν / βασιλεύουσαν πόλιν / ὡς βασιλεὺς / καὶ Θεὸς / καὶ λυτρωτὴς τοῦ παντός ». 233 θεολογοῦσι] δοξολογοῦσι T ἀνεκήρυττον MR v. 234 γεννηθέντα MR 235 ὡς Θεὸν] δι' ἡμᾶς Πc T Σc Μαριὰμ MR 236 ἵνα θεώσῃ ἡμᾶς Πc T Σc

heirm. η' EE 78, n. 110, Germani 239 ἀντεκατέστη Cf Ce Πc T Σϰ 241 ἤραντο Σϰ

κατὰ τῆς ἀσεβείας
καὶ συμβασιλεύει
Χριστοῦ τῇ Ἐκκλησίᾳ.

* Νεανικῶς
τὴν Χριστοῦ παντευχίαν
ἀναλαβόντες
κατὰ τῶν ἀοράτων
καὶ τοῦ κοσμοκράτορος
οἱ γενναῖοι μάρτυρες
τοὺς ἐπινικίους
ἐπεδείξαντο ἄθλους.

Τῇ τοῦ Χριστοῦ
πυρωθέντες ἀγάπῃ
καὶ λιπανθέντες
τῇ ἀθραύστῳ ἐλπίδι
καὶ τῇ πίστει, ἅγιοι,
στομωθέντες τὴν γνώμην
ὅπλον σωτηρίας
ἐχαλκεύθητε κόσμῳ.

* Οἱ ἀρραγεῖς
πύργοι τῆς Ἐκκλησίας
καὶ τῆς πατρίδος
τῆς οἰκείας λιμένες,
ἐκτενῶς πρεσβεύσατε
ὑπὲρ τῆς οἰκουμένης
καὶ τῶν ἐκτελούντων
τὴν σεπτὴν ὑμῶν μνήμην.

243 σὺνβασιλεύει Σc 244 τῇ Χριστοῦ βασιλείᾳ Πc T Σc Σϰ MR Χρ. τῇ βασιλείᾳ Ce 245-252 trop. om. T 246 παντευχίαν] πανοπλίαν MR 250 μάρτυρες] ὁπλῖται MR trop. « Τῇ τοῦ Χριστοῦ », « Οἱ ἀρραγεῖς » inverso ordine disponit T 253-260 trop. om. Σϰ 258 τῇ γνώμῃ T 261-268 trop. om. Πc 262 Ἐκκλησίας] εὐσεβείας Σc Σϰ MR 263-264 καὶ τῶν ἐν ζάλῃ / φερομένων λιμένες T Σc MR 264 οἰκίας Ce Σϰ 265-267 ὑπὲρ πάσης κτίσεως / ἐκτενῶς δυσωπεῖτε / ὑπὲρ τῶν βασιλέων MR 267 ἐκτελούντων] βασιλέων T Σc 268 καὶ εἰρήνης τοῦ κόσμου T Σc MR

253-260 I Cor. 13,13

f. 207v θεοτ.

|| Χαῖρε, σεμνή,
δυσανάβατον ὕψος
τοῖς τῶν βροτῶν ὀφθαλμοῖς·
χαῖρε, ὄμμασι νόων
βάθος δυσθεώρητον·
χαῖρε, μῆτερ παρθένε
καὶ θεοκυῆτορ,
εὐλογημένη Μαρία.

f. 208v

ᾠδὴ θ'. *Σὲ τὴν ἀθάνατον πηγὴν*

* Οἱ νοητοὶ τοῦ Κυρίου θησαυροὶ
ἀνευφημείσθωσαν σήμερον,
οἱ πολλοὺς θησαυροὺς ἡμῖν βλύσαντες
τὰ [τοῦ] Χριστοῦ ἐπιφάνια
καὶ τὰ πλήθη τῶν θαυμάτων αὐτῶν.

* Οἱ ἀσφαλεῖς τῶν πιστῶν προασπισταὶ
καὶ τοῦ κόσμου ὑπέρμαχοι
καὶ ἀπόρθητοι πύργοι τῆς πίστεως,
ἐκτενῶς ἱκετεύσατε,
ἀθλοφόροι, τοῦ σωθῆναι ἡμᾶς.

Μετὰ πολλοὺς τῶν βασάνων αἰκισμοὺς
οἱ τῆς Τριάδος ὑπέρμαχοι
θαρσαλέοι τῇ γνώμῃ ἀπήγοντο
πρὸς σφαγὴν ἀνυμνοῦντές σε
τὸν σωτῆρα καὶ δεσπότην Θεόν.

269-276 θεοτ. « Ὅλον ἐκ σοῦ » praebent Πc T Σc Σκ, quod vide infra in traditione cd. Σc, vv. 331-338 272 νοῶν Cf 274 μήτηρ Ce

heirm. θ' EE 78, n. 110, Germani; heirm. integrum servat Ce et in marg. manu posteriore exaratum Πc 279 οἱ π. ὀλβιοῦντες καὶ βλύζοντες MR ἡμῖν om. Cf 280 πιστοῖς τὰ ἰάματα MR τῇ Χριστοῦ ἐπιφανείᾳ Ce τοῦ metri causa expunxi 281 τὰ πλήθη] τοὺς ἄθλους Πc θαυμάτων] παθημάτων Σc αὐτῶν] αὐτοῦ Σc αὐτῶν MR 283 τοῦ κόσμου] τῆς Τριάδος T Σc MR τῆς οἰκουμένης Σκ 285 ἐκτενῶς] ὑπὲρ ἡμῶν Πc T ἡμῶν Σc Χριστὸν MR 287-296 trop. om. Σκ 288 τῆς om. T Σc Τριάδος] εὐσεβείας Πc T Σc 289 θαρσαλαίᾳ T τὴν γνώμην Πc 290 πρὸσφαγὴν Ce πρὸς τὴν σφαγὴν Πc T Σc 291 Θεὸν] καὶ Θ. T Χριστὸν Σc

Οἱ τὴν ζωὴν τὴν ἐν σώματι μηδὲν
πρὸς τὴν ἐν πνεύματι ἅγιοι
ἡγησάμενοι πάντα κατέλιπον,
ἵνα Χριστῷ τῷ Θεῷ ἡμῶν
προσαχθῶσι δεκτὰ θύματα.

τριαδ. * Ὁ ἱερὸς τῶν μαρτύρων σου χορὸς
ὑπὲρ ἡμῶν ἱκετεύει σε
τὴν ἁγίαν Τριάδα δωρήσασθαι
ἡμῖν τὴν εἰρήνην σου
εἰς αἰῶνας τῶν αἰώνων· ἀμήν.

θεοτ. * Ἡ Βηθλεὲμ προανοίγει τὴν Ἐδὲμ
καὶ ὁ ἐκ σοῦ προσλαβόμενος
τὸν Ἀδὰμ ἀναπλάττει σαρκούμενος
καὶ τοὺς ἐξ Ἀδάμ· ὃν ἱκέτευε,
θεοτόκε, τοῦ σωθῆναι ἡμᾶς.

292-296, 297-301 trop. om. Πc T 292 μηθὲν Cf Ce 294 κατέλειπον Σc 297 σου om. Ce 303 ὁ om. Σc προσλαβόμενος] προερχόμενος Σκ MR 304 σαρκούμενος om. Cf Ce Πc 305 καὶ σαρκούμενος τοὺς ἐξ Ἀδὰμ Πc καὶ τοὺς ἐξ Ἀδὰμ] ὑπερφυῶς MR καὶ om. Σc ἐξ, ὃν ἱκέτευε om. Σκ

23 DEC. *CANON* XLVIII (3)

IN SANCTOS X MARTYRES CRETENSES

Sinait. gr. 578 = Σc, ff. 55v-58
Sinait. gr. 581 = Σx, ff. 51v-56

Ὁ κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ Κυρίῳ*
τῷ ποιήσαντι

1-9 Ἄσωμεν τῷ Κυρίῳ
.... = Cf 1-9

10-18 Οἱ ἀπλανεῖς ἀστέρες
.... = Cf 10-18

19-27 Οἱ ἐκ Περσίδος μάγοι
.... = Cf 19-27

28-36 Τῇ Θεοδούλου πίστει
.... = Cf 28-36

f. 56 τριαδ. 37-45 ‖ Ἡ ὑπὲρ νοῦν οὐσία
.... = Ea 28-36

θεοτ. 46-54 Ἐν Βηθλεὲμ γεννᾶται
.... = Cf 46-54

---

tit. Κανὼν τῶν ἁγίων ἱερομαρτύρων τῶν ἐν Κρήτῃ· Ἀνδρέου Σc Ἕτερος κανὼν εἰς τοὺς ἁγίους μάρτυρας Σx
heirm. α' EE 78, n. 111, Germani heirm. integrum praebet Ce troparia stellullis instructa in MR II, 599-609, invenies 10 Οἱ om. Πc τριαδ. omnia om. Σx

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

55-57 Ἡ ἄθλησις
.... = Cf 55-57

58-60 Γενέθλιος
.... = Cf 58-60

61-63 Χορεύουσιν
.... = Cf 61-63

Εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ σωτὴρ τοῦ κόσμου

64-69 Ἴδετε, ἴδετε
.... = Ea 58-63

Γνῶτε καὶ ἴδετε
ὅτι ἐγὼ Θεός εἰμι,
ὁ σὺν τοῖς ἁγίοις
καταπαλαίσας τῷ ἐχθρῷ
καὶ στεφανίτας νομίμως
ἀναδείξας τοὺς μάρτυρας.

Δεκὰς ἁγιόλεκτος,
ὁ τῶν μαρτύρων σύλλογος
σὲ τὸν εὐεργέτην
καὶ ζωοδότην δυσωπεῖ
ὑπὲρ εἰρήνης τοῦ κόσμου
καὶ σκέπης τῶν ψυχῶν ἡμῶν.

---

heirm. β' EE 78, n. 110, Germani 55-93 ode β' desideratur in Σx
heirm. β' ἄλλος EE 78, n. 111, Germani

τριαδ. Τριάδα δοξάσωμεν
ἐν μονάδι θεότητος,
Θεὸν Πατέρα ἄναρχον,
Θεὸν Υἱὸν συνάναρχον
καὶ Θεὸν ἅγιον Πνεῦμα
ἐν μιᾷ οὐσιότητι.

θεοτ. Ἔγνωμεν, ἔγνωμεν
ὅτι σὺ εἶ Θεὸς ἡμῶν,
ὁ ἐκ τῆς παρθένου
ἀνερμηνεύτως γεννηθεὶς
καὶ ἀναπλάσας τὸν Ἀδὰμ
καὶ σώζων τὰ σύμπαντα.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου*

94-97 Ἀθλητικὸν παγκράτιον οἱ γενναῖοι
.... = Ea 78-81

98-101 Οἱ νοεροὶ φωστῆρες τῆς Ἐκκλησίας
.... = Cf 80-83

102-105 Κορυφουμένης πάλαι τῆς ἀσεβείας
.... = Ea 70-73

Ὡς ἐκ πυρὸς σπινθῆρες οἱ ἀθλοφόροι
μυστικῶς ἀνάψαντες δᾳδουχοῦσι
τῆς Ἐκκλησίας τὸ πρόσωπον
ἐν τῇ ἀθλήσει αὐτῶν.

f. 56v τριαδ. * ‖ Σεραφικῶς ὑμνήσωμεν τὴν Τριάδα
σὺν ἀγγέλοις κράζοντες ἀσιγήτως·
« ἅγιος, ἅγιος, ἅγιος,
Τριὰς μονὰς ὁ Θεός ».

θεοτ. 114-117 Τὸν τῆς Τριάδος ἕνα ἐν τῇ γαστρί σου
.... = Ea 82-85

heirm. γ' EE 78, n. 110, Germani 94 Ἀθλητικὴν MR 98 Ἐκκλησίας] Οἰκουμένης Ce Σx 102 Κορυφουμένης Σc: Ὠφρυωμένης cett. cdd. 106-109 trop. om. Σx 113 ἡ Τριὰς καὶ Μονὰς ὁ Θεὸς MR

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

118-121 Προεόρτιος
.... = Ea 90-93

122-125 Τὰ προαύλια
.... = Ea 94-97

126-129 Δῆμος ἅγιος
.... = Ea 102-105

Εἱρμὸς ἄλλος. *Τί ἐξέστη Ἀμβακοὺμ*

Ἡ πολύφωτος λαμπάς,
τῶν ἀθλοφόρων ἡ δεκὰς
τὴν τοῦ Χριστοῦ γέννησιν ἡμῖν
σαφῶς προοιμιάζεται
καὶ τὴν ἄθλησιν ἑαυτῆς
ἱερομηνίας σάλπιγγι
σαλπίζει πάσῃ τῇ γῇ.

Τῶν μαρτύρων ἡ δεκὰς
δύο φωσφόρους ἑορτὰς
τὴν τοῦ Χριστοῦ γέννησιν ἡμῖν
ἐνθέως προκηρύττουσα
καὶ τὴν ἄθλησιν ἑαυτῆς
προϋποφαίνουσα
διττῶς εὐφραίνει ἡμᾶς.

Ἐθωράκισεν ὑμᾶς
ἡ ὑπερούσιος Τριὰς
τοὺς κραταιοὺς μάρτυρας αὐτῆς

heirm. δ' EE 78, n. 110, Germani pro trop. « Τὰ προαύλια » Σx trop. « Ἡ δεκάπυρσος » praebet; cfr. supra in traditione Ea, vv. 98-101
heirm. δ' ἄλλος EE 69, n. 99, Joannis 134 cfr. v. 141 136 πᾶσι Σx 141 cfr. v. 134 146 κραταίους Σx

ὡς κράτος τὴν εὐσέβειαν,
τὸν σταυρὸν δὲ ὡς θυρεὸν
καὶ ὡς πανοπλίαν
τὴν καρτερίαν ὑμῶν.

τριαδ. Τρισυπόστατος μονὰς
καὶ ὑπερούσιε Τριάς,
ῥῦσαι ἡμᾶς πάσης ἀπειλῆς
πρεσβείαις τῶν ἁγίων σου
καὶ ἁγίασον τοὺς πιστῶς
σὲ θεολογοῦντας
εἰς τοὺς αἰῶνας· ἀμήν.

θεοτ. Τοῦ ποιμένος ἡ ἀμνὰς
καὶ τοῦ ἡλίου ἡ λαμπὰς
ἐν Βηθλεὲμ τίκτουσα τὸ φῶς
ποιμένας συνεκάλεσε
καὶ ἀγγέλους πλήρεις φωτός,
μάγους μετὰ δώρων δὲ
θεολογοῦντας Χριστόν.

ᾠδὴ ε΄. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν*

165-171 Τὸν ἐξ ἡλίου ἥλιον
............................= Ea 117-123

172-178 Τίτου καὶ Κάρπου κλήματα
.... = Cf 153-159

f. 57 179-185 ‖ Νυκτομαχούσης, ἅγιοι,
.... = Cf 139-145

186-192 Ἀθλητικοὶ τὸ φρόνημα
.... = Ea 110-116

---

151 nominativus pro vocativo non rarus est apud Byzantinos 160 ἐμβηθλεὲμ Σκ 162 πλήρης cdd. 163 δὲ] τε Σκ
heirm. ε΄ ΕΕ 78, n. 110, Germani 172-178 om. Σκ 186 Ἀθλητικὸν Πc

τριαδ. Φῶς ὁ Πατὴρ ἀγέννητος,
φῶς ὁ Υἱὸς γεννητός,
φῶς καὶ τὸ Πνεῦμα τὸ ζῶν,
τὸ ἐν Πατρὶ καὶ Υἱῷ
οὐ κτίσμα οὐδὲ δοῦλον,
ἀλλ' εὐθὲς καὶ ἀγαθὸν
καὶ ὁμοούσιον.

θεοτ. 200-206 Ἐν Βηθλεὲμ ἀνέτειλε
.... = Cf 167-173

ᾠδὴ ϛ΄. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

207-213 Μάγοι τὰ δῶρά σοι προσῆγον
.... = Cf 174-180

214-220 Κυμαινομένης ὡς θαλάσσης
.... = Ea 152-158

221-227 Ἡ Θεοδούλου παρρησία
.... = Cf 195-201

228-234 Καθάπερ ἄνθη τοῦ πεδίου
.... = Ea 159-165

τριαδ. 235-241 Ὡς ἐν Τριάδι τρισσουμένη
.... = Ea 166-172

θεοτ. 242-248 Ἐν Βηθλεὲμ ἀστὴρ ἐφάνη
.... = Cf 202-208

ᾠδὴ ζ΄. *Τρεῖς παῖδες ἐν καμίνῳ*

249-255 Ἐφέστηκεν ἡ μνήμη
.... = Cf 209-215

---

heirm. ϛ΄ ΕΕ 78, n. 110, Germani 207 προσῆγον] προσήνεγκαν Cf Ce Σκ προσήγαγον Πc 214 Λυμαινομένης Ce 228-234 trop. om. Σκ 242 ἐφάνει Ce
heirm. ζ΄ ΕΕ 79, n. 111, Germani

f. 57v 256-262 Μὴ κάμψαντες τὸ γόνυ
.... = Ea 180-186

263-269 Ὡς δόκιμον χρυσίον
.... = Ea 187-193

* Ἐν μέσῳ τοῦ σταδίου
ἐναθλοῦντες οἱ ἅγιοι
βασανηφόροι ὁμαδὸν
περιχορεύοντες
μετὰ τῶν παίδων ἐβόων·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

τριαδ. Τὴν ἄκτιστον Τριάδα
οἱ πιστοὶ προσκυνήσωμεν,
τὸν Πατέρα καὶ Υἱὸν
καὶ Πνεῦμα ἅγιον
μετὰ τῶν παίδων βοῶντες·
« εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. 284-290 Ποιμένες μετὰ μάγων
.... = Cf 230-236

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ*
τοῖς παισὶ τῶν Ἑβραίων

291-298 Κατὰ ξιφῶν
.... = Cf 237-244

299-306 Νεανικῶς
.... = Cf 245-252

---

pro trop. 263-269 trop. « Ὡς δῶρα βασιλέων » ponit Σx; cfr. supra in traditione Ea, vv. 201-207 270-276 trop. om. Σx 272 βασανηφόροι] στεφηφόροι MR ὁμαδῶν Σc 273 συγχορεύοντες MR
heirm. η' EE 78, n. 110, Germani

270-276 Cfr. sup. canon. XLVIII (2), vv. 195-201.

307-314 Τῇ τοῦ Χριστοῦ
.... = Cf 253-260

315-322 Οἱ ἀρραγεῖς
.... = Cf 261-268

τριαδ. * Σὺν τῷ Πατρὶ
τὸν Υἱὸν προσκυνοῦμεν
καὶ Πνεῦμα ἅγιον
ἐν Τριάδι μονάδα
σὺν ἀγγέλοις κράζοντες
τοῖς πηλίνοις στόμασι·
« δόξα ἐν ὑψίστοις
Θεῷ τῷ ἐν Τριάδι ».

f. 58 θεοτ. * ‖ Ὅλον ἐκ σοῦ
τῆς Τριάδος τὸν ἕνα,
θεογεννῆτορ, θεϊκῶς
συλλαβοῦσα
ἐξ ἁγίου Πνεύματος,
σαρκωθέντα τέτοκας,
μείνασα παρθένος,
ὥσπερ ἧς πρὸ τοῦ τόκου.

ᾠδὴ θ'. *Σὲ τὴν ἀθάνατον πηγὴν*

339-343 Οἱ νοητοὶ τοῦ Κυρίου θησαυροὶ
.... = Cf 277-281

344-348 Οἱ ἀσφαλεῖς τῶν πιστῶν προασπισταὶ
.... = Cf 282-286

349-353 Μετὰ πολλοὺς τῶν βασάνων αἰκισμοὺς
.... = Cf 287-291

307-314 trop. om. Σx 323-330 τριαδ. cfr. sup. in canon. XXIX, vv. 402-409 328 στόμασι τοῖς πηλίνοις MR
heirm. θ' EE 78, n. 110, Germani 349-358 trop. om. Σx

354-358 Οἱ τὴν ζωὴν τὴν ἐν σώματι μηδὲν
.... = Cf 292-296

359-363 Ὁ ἱερὸς τῶν μαρτύρων σου χορὸς
.... = Cf 297-301

τριαδ. Φῶς καὶ Θεὸν τὸν Πατέρα προσκυνεῖν,
φῶς καὶ Θεὸν τὸν Υἱὸν αὐτοῦ,
φῶς Θεὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον
ὑμνεῖν ἀνεδίδαξαν
τοὺς ἀνθρώπους οἱ Χριστοῦ μάρτυρες.

θεοτ. 369-373 Ἡ Βηθλεὲμ προανοίγει τὴν Ἐδὲμ
.... = Cf 302-306

354 μηθὲν Cf Ce 359 σου om. Ce 367 ὑμνεῖ Σx

23 DEC. *CANON* XLIX

IN SANCTUM NIPHONEM EPISCOPUM CONSTANTIANAE IN AEGYPTO

Crypt. Δ.δ. II = De, ff. 23v-26

f. 23v || Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε*

Ψυχαὶ δικαίων χειρὶ Θεοῦ ἔχονται
καὶ φῶς Θεοῦ ἐν αὐλαῖς
ὅπου κατοικίζονται
ὑπάρχει καθαρὸν
καὶ δρόσος τῆς θεότητος
† καὶ μέλη τὸ ἐκ πνεύματος ἠδὺν †
σαυτόν, πάτερ, ἐπέτρεφες
[μεθ' ὧν καὶ ἠξιώθης ψάλλειν σὺν αὐτοῖς·]
« τῷ Κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται ».

Ἐκ καρδίας ποθήσας τὸν Κύριον,
Νήφων μακάριε,
διὰ τὴν ἀγάπην αὐτοῦ
ἠρνήσω τὸν χρυσόν,
τὸν ἄργυρον, τοὺς λίθους
τοῦ ματαίου καὶ φθαρτοῦ
καὶ εἵλου μάστιγας
καὶ σταυρὸν καὶ θάνατον
διὰ τὴν ὄντως, πάτερ, ζωήν.

heirm. α' EE 220, n. 316, Joannis 6 ss. trop. valde corruptum v. 8 expunxi 9 post ᾄσωμεν orat. detruncatur in cd. 17 ἤλου 19 ὄντος

θεοτ. Ἡ ἀγαθή μου κυρία καὶ δέσποινα,
τὸ φῶς τοῦ Θεοῦ καὶ γλυκὺ
δρόσον τε τὴν ἄχραντον
θησαύρισον ἐμῇ
καρδίᾳ, ἀπειρόγαμε,
ἐλέησον, ἁγίασον ψυχὴν
δεινῶς ἀεὶ συγκόπτουσα
εἰς βάραθρον φάλαγγας
ἐκ συνηθείας ὄντως κακῆς.

ᾠδὴ γ΄. *Σὺ εἶ τὸ στερέωμα*

Πρὸ τοῦ ἐκδημῆσαί σε
ἀπὸ τῆς γῆς Θεὸς ἔδειξε
f. 24 ‖ τῇ σῇ ψυχῇ,
πάτερ, τοὺς θαλάμους,
ὅπου νῦν κατεσκήνωσας.

Μέλι τῶν χειλέων σου
διὰ τοῦ βίου σου, ἅγιε,
ῥέων ἡμῖν
γλυκασμὸν εἰσπράττει
καθ᾽ ἑκάστην δοξάζειν σε.

Πρέσβευε, ὡς ἔφησας
τοῖς ἀγαπῶσί σε, ὅσιε,

---

21 καί: fort. τὸ γλυκοῖ   22 ται   23 ἐμοῖ   28 ὄντος
heirm. γ΄ EE 224, n. 321, Joannis   31 τὴν σὴν ψυχὴν

29-33 S. Eustratiadis, *Ὁ ὅσιος Νήφων ἐπίσκοπος Κωνσταντιανῆς τῆς κατὰ Ἀλεξάνδρειαν*, EPh 35 (1936), 228-229: . . . καὶ αὐτίκα ἀπείρῳ συσχεθεὶς ἐκστάσει ὁρῶ ὅτι εἰσῆλθον εἰς βασίλεια εὐπρεπῆ καὶ ὡραῖα σφόδρα . . . ὁ δὲ ὁδηγῶν με λέγει μοι· « ὧδέ ἐστιν ἡ κατάπαυσίς σου προνοίᾳ τοῦ ἐλεήσαντος τῇ ἀφάτῳ φιλανθρωπίᾳ ».
39-43 Id., 228: . . . καὶ λέγει μοι· « μὴ φοβοῦ τέκνον. ἐὰν γὰρ εὕρω παρρησίαν πρὸς τὸν Θεόν, γνώσῃ τοῦτο καὶ σύ. ταχὺ γὰρ ἄξω καὶ σὲ ὅπου εἰμὶ ἐγώ ».

σὺν σοὶ φαιδρῶς
μένειν ἐν ὑψίστοις
τῷ Θεῷ καὶ σωτῆρί σου.

θεοτ. Δέσποινά μου, δέσποινα,
ἡ προστασία μου σῶσόν με,
μήτηρ Θεοῦ·
σὲ γὰρ καθ᾽ ἑκάστην
προσκαλοῦμαι βοήθειαν.

ᾠδὴ δ΄. *Εἰσακήκοα, Κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ὥσπερ οἶνον ἀπόρρητον
ἔχων τὰς δεήσεις σου, πάτερ ὅσιε,
θεραπεύω τὴν καρδίαν μου
τὴν ψυχὴν λιπαίνων,
παμμακάριστε.

Ὥσπερ μέλι γλυκύτατον
ἔδειξε Θεὸς ψυχὴν τὴν ἁγίαν σου·
ὅθεν τίς σε οὐκ ἠγάπησεν
ὡσεὶ ἄνθος κηρίου,
πάτερ ὅσιε;

θεοτ. Ἡ ἁγία, ἡ ἄμεμπτος,
f. 24v ἡ εὐλ⟨ογη⟩μένη καὶ ὑπεράγ‖αθος
σῶσον, οἴκτειρον τὸν δοῦλόν σου
τὸν εἰς σὲ προθύμως
νῦν ἐλπίζοντα.

---

42 μένειν ἐν scripsi: μένηεν cd.
heirm. δ΄ EE 225, n. 322, Cosmae   50 δεήσις   51 θεραπεύων
57 κήριον   59 ἄμεπτος   61 δούλων

54-55 Id., 231: . . . καὶ τοῦτο εἰπὼν ἐσίγησε. καὶ μετ᾽ ὀλίγον ἰδοὺ εὐωδία τις διεδόθη θεία ἄφραστος καὶ μελίρρυτος. . .

ᾠδὴ ε΄. *Φώτισον ἡμᾶς*
τοῖς προστάγμασί σου, Κύριε·

Ἄγγελοι, σοφέ,
ἐν ὑψίστοις σὲ ἠγάπησαν
καὶ ἐννοίᾳ σοὶ ἐγένοντο
παρὰ Ὑψίστου
εἰληφότες μακαρίζειν σε.

Ὕδωρ καθαρὸν
τὰς εὐχάς σου, πάτερ, ἔλιπες
τοῖς διψῶσι καὶ ζητοῦσι μαθεῖν
πῶς δεῖ ἐν φόβῳ
ὁμιλεῖν τῷ θείῳ Πνεύματι.

Ὦτα ὁ γλυκὺς
ἐν ἐλέει σοὶ ὑπέκλινεν
ὁπηνίκα καθωμίλεις αὐτῷ
μετὰ δακρύων
τὴν αὐτοῦ ζητῶν βοήθειαν.

θεοτ. Δρόσον ὁ γλυκὺς
ἐν τῇ μήτρᾳ σου ἐστάλαξε
καὶ συνέλαβες τὸ φῶς τὸ ἡδύ,
ἁγία μήτηρ,
θεοτόκε καὶ πανάχραντε.

---

heirm. ε΄ EE 224, n. 321, Joannis 68 ἠλειφότες 79 Δρόσος

64-68 Id., 229: ... καὶ ἰδοὺ φῶς ἄπειρον μετὰ φρικτῶν ἀρωμάτων ὑπήντησεν ἡμῖν καὶ πολλοὶ λευχείμονες ἦλθοσαν πρὸς ἡμᾶς ζητοῦντές με τάχιον ἐκεῖ. ἔλεγον δὲ τῷ ὁδηγοῦντί με· « Δέσποτα Μιχαὴλ ἕως τίνος οὐκ ἀποδίδως ἡμῖν τὸν ἀγαπητὸν ἡμῶν, ὃν ὁ Θεὸς ἐχαρίσατο ἡμῖν εἰς αἰῶνα αἰῶνος; ».

74-78 Id., 223: ...καὶ βλέπω ... τὸν Κύριον ... καὶ τοῦτον ἰδὼν ἐκτείνας τὰς χεῖρας πρὸς αὐτὸν ηὐχόμην λέγων· « ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου » ... ὁ δὲ Κύριος ἔκλινε τὴν κεφαλὴν τὴν προσευχὴν δεχόμενος.

ᾠδὴ ς΄. *Ἱλάσθητί μοι, σωτήρ,*

Ἑώρας τὸν Ἰησοῦν
τὸ καθ' ἑκάστην, μακάριε,
ἐν πνεύματι τῷ αὐτοῦ
φιλήματι θείῳ σε
πόθῳ ἀσπαζόμεν(ον)
⏑́ — — — βάλλον
f. 25 ‖ πειρασμοῖς προσεκαρτέρησας.

Τὸ αἷμα τὸ θαυμαστὸν
μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ
τοὺς ὀφθαλμοὺς καὶ τὴν σὴν
καρδίαν ἐπέχρισε,
καθαγιαζόμενος,
Νήφων πάτερ, θείως·
διὰ τοῦτό σε γεραίρομεν.

θεοτ. Ἡ δέσποινα ἡ καλή,
ἡ ἄμωμος καὶ ὁλόφωτος,
ἡ ἄσπιλος, ἡ φαιδρά,
ἡ ἄχραντος τράπεζα,
ἡ ἁγνή, ἡ ἄμεμπτος,
ἡ πλουσία δόξα
διαφύλαξόν με ἄτρωτον.

ᾠδὴ ζ΄. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Εἶδες τὰ πλήθη τῶν ἀγγέλων
μυριάσι χιλιάσι παρεστῶτα

---

heirm. ς΄ EE 220, n. 315, Joannis 89 quattuor syllabae desiderantur in cd. 95 καθαγιαζόμενος: nomin. absol., constructio non rara apud Byzantinos 102 ἄμεπτος

heirm. ζ΄ EE 220, n. 315, Joannis

105-110 Id., 228-229: ... χίλιαι γὰρ χιλιάδες παρειστήκεισαν αὐτῷ [scil. τῷ θρόνῳ πυρὸς] καὶ μύριαι μυριάδες ἐλειτούργουν αὐτῷ.

---

101 Ez. 41,22

καὶ προθύμως Χριστῷ
βοῶντα γεγηθότως·
« εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς εἰς τοὺς αἰῶνας ».

Οὕτως ἠγάπησέ σε, μάκαρ,
ὁ δεσπότης σου ὡραίως καὶ ἐνθέως·
καθ' ἓν ἄγων καὶ γὰρ
παρέδειξέ σοι πάντα
τὰ τῆς αὐτοῦ θεότητος
καὶ συνέσεως καὶ δόξης.

Εἶδες ἀγγέλους παρεστῶτας
τοῖς ἐσθίουσι τὸν ἄρτον τὸν γεώδη·
καὶ γὰρ οὕτως Θεὸς
f. 25v ἐκέ||λευσε καὶ πόθῳ
ἐξεστηκὼς ἐκραύγαζες·
« ὁ Θεὸς εἰς τοὺς αἰῶνας ».

θεοτ. Μήτηρ ἁγία θεοτόκε,
σωτηρία μου, χαρὰ καὶ προστασία,
ἀγαθή μου, ἁγνή,
ἐλέησον καὶ σῶσον
τὴν ταπεινὴν καρδίαν μου,
ὅτι τέθρυπται ἀθλίως.

ᾠδὴ η'. *Νικηταὶ τυράννου*

Ὀφθαλμὸς ἐγένου
τοῦ ἁγίου Πνεύματος ἐν θαυμασίοις·
τῶν ψυχῶν γάρ, πάτερ,
ἑώρας τὴν πάροδόν τε καὶ τὴν κρίσιν
καὶ ἐβόας φόβῳ·

---

108 βοῶτα 111 Οὔτος 117 Ἴδες 118 αἰσθίουσι 119 οὗτος
128 τέθρυπτε
heirm. η' EE 221, n. 316, Joannis

117-118 Id., 220: Καὶ ἐπὶ τῆς τραπέζης ὅταν ἐσθίωμεν ἄγγελοι παρίστανται·

« ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ἡνίκα τοῦ βίου
ἀπολείπειν ἔμελλες, πάτερ, ἑώρας
τάξεις τῶν ἁγίων
καὶ αὐτὸν τὸν Κύριον ἐληλυθότα
ἐπὶ σοί, τρισμάκαρ,
σὺν ἀγγέλων πλήθεσιν,
οἷσπερ συναστράπτων
ἀνῆλθες εἰς τὰ ὕψη.

θεοτ. Δέσποινα τοῦ κόσμου,
σὺ εἶ ἡ προστασία μου, ἐλέησόν με,
δέσποινα παρθένε,
σὺ εἶ ἡ κυρία μου, βοήθησόν μοι,
ὑμνῶ, προσκυνῶ σε,
θεοτόκε ἄχραντε,
μή με ἀπορρίψῃς,
ἁγνή, τοῦ σοῦ προσώπου.

f. 26 || ᾠδὴ θ'. *Κυρίως θεοτόκον σὲ ὁμολογοῦμεν*

Χορεύων ἐν ὑψίστοις
νῦν σὺν ἀσωμάτοις
ὑπὲρ ἡμῶν τῷ δεσπότῃ ἱκέτευε,
Νήφων τρισμάκαρ, ῥυσθῆναι
ἐκ πάσης θλίψεως.

---

134 post Κύριον orat. abrumpitur in cd.
heirm. θ' EE 224, n. 321, Joannis

137-144: Cfr. sup. vv. 64-68.

151-152 Ps. 50,13

Ἡ σὲ νῦν θρεψαμένη
πόλις ἡ μεγάλη
νῦν γεγηθότως εὐφραίνεται σήμερον
ἐπὶ τῇ μνήμῃ σου, μάκαρ,
θείως τιμῶσά σε.

Ἐπίφανον ὁ μέγας
ἥλιος, ὁ λάμψας
ἐν τῇ κοιμήσει σου δόξῃ Χριστοῦ τοῦ Θεοῦ,
καὶ καταφαίδρυνον πάντας
ταῖς προστασίαις σου.

Προεῖδες τὰς σκηνώσεις
ὅπου κατῳκίσθης
καὶ τὰ θειότατα, μάκαρ, παλάτια,
ἅπερ οἰκῶν ἐκδυσώπει
εἰς τὸ σωθῆναι ἡμᾶς.

θεοτ. Ὦ πάντων τῶν ἁγίων
παναγιωτέρα,
ὡς βασιλὶς τῶν ἁπάντων, θεόνυμφε,
σὺ ὡς τῶν πάντων κυρία
σῶζέ με, πάναγνε.

---

159 πόλεις   160 γεγηθότες   175 βασιλεῖς

168-172: Cfr. sup. vv. 29-33.

IN NATIVITATEM IESU CHRISTI

Synaxarium, 343-344: Ἡ εἰκὰς πέμπτη τοῦ δεκεμβρίου μηνὸς τὸ μέγα μυστήριον τῆς πρὸς ἡμᾶς μετὰ σαρκὸς ἐκ τῆς Θεοτόκου ἐπιδημίας τοῦ υἱοῦ καὶ λόγου τοῦ Θεοῦ καὶ πατρὸς γνωρίζει. Ἐν ταύτῃ γὰρ ἡ ἀπ' αἰῶνος βουλὴ τοῦ μεγάλου Θεοῦ καὶ πατρὸς πεφανέρωται· ἡ δὲ ἦν αὐτὸν τὸν κύριον καὶ Θεὸν ἡμῶν καὶ υἱὸν αὐτοῦ μεθ' ἡμῶν γενέσθαι καὶ ἄνθρωπον τὸν πρωτότοκον τῆς κτίσεως χρηματίσαι ἐκ παρθένου ἁγίας, ὃ ἐδημιούργησε μὴ ἀπαξιώσαντα λαβεῖν καὶ ἴσον ἡμῖν κατὰ πάντα φανῆναι, μόνης ἁμαρτίας χωρίς. Ἵνα γὰρ ἐν ἑαυτῷ ἀνακεφαλαιώσῃ τὰ πάντα διὰ τῆς τοιαύτης συγκαταβάσεως καὶ Θεὸς ὁ θνητὸς γένηται καὶ οὐράνιος ὁ χοϊκός, καὶ ὁ χρόνιος λυθῇ πόλεμος καὶ μία ἐκκλησία ἐν οὐρανῷ καὶ γῇ δοξάζουσα τὸν εἰρηνοποιήσαντα τὰ πάντα διὰ τῆς ἐπὶ γῆς αὐτοῦ παρουσίας, ἐκ παρθενικῆς μήτρας σήμερον παιδίον γεννᾶται, οὗ καὶ τὴν ἁγίαν γέννησιν τὴν ἀπόρρητον, ἀγγέλοις τε καὶ ἀνθρώποις ἀνερμήνευτον, οὐ μόνον παγκόσμιον ἑορτὴν ἄγομεν οἱ τυχόντες πάντες ἄνθρωποι διὰ τῆς μετὰ σαρκὸς αὐτοῦ θεοφανείας κρείττονος ἀναπλάσεως καὶ τῆς προτέρας πολὺ θεοειδεστέρας, ἀλλὰ καὶ πρώτην καὶ περιεκτικωτέραν ταύτην πασῶν τῶν τοῦ Χριστοῦ πανηγύρεων εἰκόσι λογισμοῖς καὶ κριτηρίοις ἀπταίστοις νοὸς ψηφιζόμενοι λαμπρότερον διατιθέμεθα καὶ φαιδρότερον, ὡς τοῦ κεφαλαίου τοῦ μυστηρίου παντὸς κατ' αὐτὴν πεπραγμένου καὶ τῆς ἀληθοῦς θεώσεως καὶ ἀσφαλοῦς σωτηρίας ἡμῶν περιοχήν τε καὶ ὑπογραφὴν ἐμπεριέχουσάν τε καὶ ὑπογράφουσαν.

Crypt. Δ.α. XIV	= Cf,	ff. 243-250v
Crypt. Δ.α. IV	= Ce,	ff. 187-191
Mess. gr. 135	= N,	ff. 273v(277v)-279(283)
Vallic. gr. E 54	= Ea,	ff. 87v-88v
Paris. gr. 928	= T,	pp. 318-322
Sinait. gr. 578	= Σc,	ff. 70v-72v

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Ἀγαλλιάσθω ἡ κτίσις·
ὁ γὰρ Θεὸς σήμερον
ἐφανερώθη ἐν σαρκὶ
ἐν τῷ σπηλαίῳ γεννώμενος,
ἐν Βηθλεὲμ σπαργανούμενος,
σῴζει δὲ
τοὺς γηγενεῖς ἐκ τῆς φθορᾶς
καὶ καταλάμπει τὸ φῶς.

Ὢ παραδόξων πραγμάτων!
ὢ τῆς καινῆς μείξεως!
ὁ ἀναλλοίωτος Θεὸς
ὅλον φορεῖ τὸ ἡμέτερον
καὶ βρεφουργεῖται καὶ πλάττεται,
μένει δὲ
ὅπερ προῆν καὶ γεγονὼς
ὅπερ οὐκ ἦν δι' ἡμᾶς.

---

tit. Ποί(ημα) Ἀνδρ(έου) in marg. Cf   Τῇ ἑσπέρᾳ κανὼν ... ποίημα Ἀνδρέου Ce   Κανὼν εἰς τὸ μεσονύκτιον εἰς τὴν Γέννησιν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ· ποίημα Ἀνδρέου Κρήτης N   Ἕτερος κανὼν εἰς τὸ γενέθλιον τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ Ea   Ὁ κανὼν τῆς θεοτόκου T   Κανὼν ἕτερος εἰς τὴν γέννησιν τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ Σc

heirm. α' EE 106, n. 149, Andreae   2 γὰρ om. N   4 γενόμενος T γεννόμενος Cf N Ea   5 σπαργανούμενος] καθὼς γέγραπται T Σc   7 καὶ καταλάμπει (σου N) τὸ φῶς Cf N   τοὺς ἐξ Ἀδὰμ ὡς δυνατὸς T   τοὺς ἐξ Ἀδὰμ καὶ τὸν Ἀδὰμ Σc   γηγενεῖς] ἐξ Ἀδὰμ Ea   8 τῷ γένει τῶν ἀνθρώπων Cf N   9-16 trop. om. T   15 προῆν] ἐστιν Ea Σc   καὶ] ὁ N

post trop. « Ὢ παραδόξων » hoc profert Ea: Πῶς, εἰπέ, τίκτεις, παρθένε; / πῶς δὲ τὸ πῦρ φέρουσα / οὐ κατεφλέχθης τὴν νηδύν, / ἢ ὡς ἡ βάτος ἐκαίετο / ἀκαταφλέκτως τυποῦσά σε; / ὄντως γὰρ / τοῦ τοκετοῦ σου μυστικῶς / ἐκείνη τύπον δηλοῖ. T autem eodem loco haec trop. praebet: Πῶς, εἰπέ, τίκτεις, παρθένε; / πῶς ἐν γαστρὶ φέρουσα / τὸν ἀπερίγραπτον Θεὸν / οὐ κατεφλέχθης, ἀμώμητε; / πῦρ γάρ / ἐστιν ὁ Θεὸς ἡμῶν / πάντας ὡς ἠβουλήθη ἐν Σινᾶ / τὴν βάτον φέρον τὸ πῦρ. (Τ)ί τὸ ὁρώμενον θαῦμα; / Θεὸς σαρκὶ τίκτεται / καὶ νηπιάζει δι' ἐμὲ / καὶ νεουργεῖται / καὶ πλάττει με / ὑπερφυῶς μοι ἑνούμενος / μένει δὲ ὅπερ ἦν / δίχα τροπῆς καὶ συγχύσεως.

2-3 I Tim. 3,16

Ἡ Βηθλεὲμ εὐφραινέσθω·
ἡ γὰρ Ἐδὲμ σήμερον
τοῦ παραδείσου τῆς τρυφῆς
παραχωρεῖ μοι τὴν εἴσοδον
καὶ τὴν ζωὴν ἐξανοίγει μοι·
ξύλον γὰρ
ἐστὶ ζωῆς ὁ γεννηθεὶς
ἐκ τῆς παρθένου Θεός.

Ὢ βάθος πλούτου σοφίας!
ἡ Βηθλεὲμ σήμερον
πόλις ἐδείχθη τοῦ Θεοῦ
καὶ οὐρανὸς μὲν τὸ σπήλαιον,
περιβολὴ δὲ τὰ σπάργανα,
θρόνος δὲ
χερουβικὸς ὤφθη Θεοῦ
φάτνη ἀλόγων ποτέ.

Θεὸς ἐφάνη τῷ κόσμῳ
τῆς πατρικῆς φύσεως
καὶ ἐσαρκώθη μὴ ἐκστάς,
οὐκ ἀλλοιώσας τὴν ἕνωσιν,
οὐδὲ φαντάσας τὴν σάρκωσιν·
ἔδειξε γὰρ
ἀληθῶς ἐν ἑαυτῷ
τὸ οὐσιῶδες ἡμῶν.

Σκιρτάτω πᾶσα ἡ κτίσις,
ὅτι Θεὸς Κύριος
σαρκὶ ἐπέφανεν ἡμῖν,
ὃν Γαβριὴλ προεμήνυσε
καὶ ὁ ἀστὴρ ἐφανέρωσε,

17-24 trop. om. Ea T   23 ἔστη N   25-56 trop. om. N Ea T Σc   trop. « Σκιρτάτω » « Ἀνερμηνεύτου » inverso ordine praebet Ce

---

22-23 Gen. 2,9   25 Rom. 11,33   26-27 Mich. 5,1   44 Luc. 1, 28-38   45 Matth. 2,2

μάγοι δὲ
μετὰ ποιμένων εὐσεβῶς
ἐδοξολόγησαν.

'Ανερμηνεύτου λοχείας
τίς ἐξειπεῖν δύναται
τὸν ἀκατάληπτον τρόπον;
ἄνευ σπορᾶς γὰρ ἡ σύλληψις,
ἄνευ φθορᾶς καὶ ἡ γέννησις·
λόγος γὰρ
ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν
ὁ σαρκωθεὶς δι' ἡμᾶς.

f. 243v τριαδ. * || Τὴν ἐν μονάδι Τριάδα
χερουβικῶς ἅπαντες
ὑμνολογοῦντες οἱ πιστοὶ
ὡς ἐν τρισὶν ὑποστάσεσι
καὶ ἐν μιᾷ τῇ θεότητι
ἄναρχον
καὶ συναΐδιον αὐτὴν
ὑμνολογήσωμεν.

θεοτ. * Σὲ τοῦ Θεοῦ τὸ χωρίον,
τὴν νοητὴν κλίμακα,
δι' ἧς κατέβη ὁ Θεὸς
καὶ μορφωθεὶς τὸ ἡμέτερον
εἰς οὐρανοὺς ἐπανήγαγεν,
ἅπαντες,
θεογεννῆτορ, εὐσεβῶς
δοξολογοῦμέν σε.

57-64 τριαδ., quod om. Ea T, in AHG V, 238 ed. invenies 61 τῇ] ἡ Ce 64 θεολογήσωμεν Σc AHG 65-72 θεοτ. AHG X, 180 71-72 ὡς σωτηρίας ἀπαρχὴν / ἀνευφημοῦμεν πιστῶς AHG 72 ὕμνοις δοξάζομεν Ce ὑμνολογοῦμεν ἀεὶ N ἀνευφημοῦμεν ἀεὶ Ea Σc

---

54-55 Joh. 1,1 66-67 Gen. 28,12

f. 244 ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι Θεός,
ὁ ἐν ἀρχῇ λόγος καὶ υἱός,
ὁ σαρκωθεὶς ἐκ παρθένου
ἐν πνεύματι ἁγίῳ
καὶ πατρικὴν εὐδοκίαν πληρώσας
καὶ τεχθεὶς ἐν τῷ σπηλαίῳ δι' ὑμᾶς.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι Θεός,
ὁ τὸν 'Αδὰμ πάλαι τῇ φθορᾷ
καταποθέντα οἰκτείρας
καὶ νῦν ἐκ τῆς παρθένου
ἀναλαβὼν καὶ φορέσας ἀφύρτως
καὶ συνάψας ἐμαυτῷ δίχα τροπῆς.

Σὺ εἶ Θεὸς ἡμῶν·
σὺ εἶ ὁ πλάσας τὸν 'Αδὰμ
καὶ τὴν πνοὴν δοὺς αὐτῷ, Χριστέ,
καὶ ἁμαρτόντα σοι πάλαι
οἰκτείρας εὐσπλαγχνίᾳ
καὶ ἀναπλάσας ἐν μήτρᾳ παρθένου
καὶ ἑνώσας σεαυτῷ δίχα τροπῆς.

Ἔγνωμεν, ἔγνωμεν
ὅτι αὐτὸς εἶ ὁ Θεός,

---

heirm. β' EE 105, n. 148, Andreae 73-121 ode β' desideratur in Ce N Ea T 77 καὶ πνεύματος ἁγίου Σc 79 καὶ ποιήσας τοκετὸν δίχα σπορᾶς Σc ἡμᾶς Cf 82 τὸν] τῶν Σc 86 ἑαυτῷ Cf 87-93 trop. om. Σc 93 ἑαυτῷ Cf

---

88-89 Gen. 2,7

ὁ ἐπὶ γῆς σήμερον ὀφθεὶς
καὶ οὐρανὸν ἀναδείξας
τὸ σπήλαιον ἐκεῖνο,
ἐν ᾧ ἡ φάτνη ὡς θρόνος ὁρᾶται
καὶ παρθένος ὡς παστὰς χερουβική.

Κύριε, Κύριε,
ὁ ἐν σπηλαίῳ γεννηθεὶς
καὶ ὑπὸ μάγων προσκυνηθεὶς
καὶ ὥσπερ βρέφος ἐν φάτνῃ
ἀλόγων τοῖς σπαργάνοις
ἐνειλημένος δειχθεὶς τοῖς ποιμέσι,
τοὺς ὑμνοῦντάς σε ἐλέησον, Χριστέ.

τριαδ. * Ἕνα δοξάζω σε
Πατέρα ἄναρχον Θεόν,
ἐξ οὗ Θεὸς εἷς ἐστιν Υἱὸς
καὶ ἓν παράκλητον Πνεῦμα,
f. 244v οὐ δοῦλον || οὐδὲ κτίσμα,
ἀλλ' ὁμοούσιον φύσει καὶ δόξῃ,
ἰσοδύναμε καὶ σύνθρονε μονάς.

θεοτ. * Χαῖρε, ἀείζωον
ῥεῖθρον τῆς πίστεως ἡμῶν·
χαῖρε, σκηνὴ ἔμψυχε Θεοῦ·
χαῖρε, τὸ ἅγιον ἅρμα,
ἐν ᾧ ὁ βασιλεύς σου
ὡς ἐπὶ θρόνου ἐπέβη, φορέσας
τὴν πορφύραν ἐξ αἱμάτων σου, ἁγνή.

---

vv. 96-100 omnino differunt in Σc: ὁ πλαστουργὸς φύσει τοῦ Ἀδὰμ / καὶ ποιητὴς τῆς παρθένου / καὶ κτίστης τῶν αἰώνων / ὁ καινουργῶν τῇ κενώσει τὴν φύσιν / καὶ ἀνάγων ἀπὸ γῆς εἰς οὐρανούς. 101-107 trop. om. Σc 108-114 τριαδ. AHG V, 240 108 Πάντες δοξάσωμεν AHG 110 εἷς om. Σc 114 τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ συνεργῷ (συνεργὸν Σc) Σc AHG 115-121 aliud θεοτ. praebet Σc « Χαῖρε, παράδεισε », quod in AHG VIII, 257, invenies 115-121 θεοτ. Theot. Marc. 240; cfr. etiam AHG VIII, 257 119 σου] μου Theot. Marc. AHG 120 θρόνῳ Theot. Marc. AHG φορέσας] κενώσας Theot. Marc. AHG 121 ἑαυτὸν ὑπὲρ ἐμοῦ δίχα τροπῆς Theot. Marc. AHG

---

117 Ex. 26,1 sqq.; Hebr. 9,2 sqq. 118-121 Dan. 7,9

ᾠδὴ γʹ. *Μὴ καυχάσθω ὁ καυχώμενος*

Εὐφραινέσθω τὰ οὐράνια·
τοῖς ἐπὶ γῆς γὰρ ὁ κτίστης τεθέαται
ἐν Βηθλεὲμ τικτόμενος καὶ σπαργανούμενος
ἐκ παρθένου, ἵν' ὁ Θεὸς
τὰς σειρὰς λύσῃ τῶν ἐγκλημάτων ἡμῶν.

Ἀγαλλέσθω τὰ ἐπίγεια·
ὁ οὐρανὸς γὰρ ἀγγέλους παρέστησε
καὶ τὸν ἀστέρα λάμποντα παρὰ τὸ σπήλαιον·
« δόξα ἐν ὑψίστοις Θεῷ »
διὸ κράζομεν σὺν τοῖς ποιμέσι πιστοί.

Τίς ὁ τρόπος τῆς κυήσεως,
τίς δὲ ὁ πλοῦτος τῆς σῆς ἀγαθότητος;
ὅτι Θεὸς ὢν γέγονας ἄνθρωπος, Κύριε,
καὶ ἑκὼν ὑπέδυς μορφήν,
ἣν ἐποίησας, δημιουργὲ τοῦ παντός.

Ἀκατάληπτος ἡ σύλληψις
καὶ ὑπὲρ λόγον ἡ ἔνδοξος πρόοδος
ἡ ἐκ παρθένου, Κύριε, τῇ εὐσπλαγχνίᾳ σου·
ἀλλὰ φώτισον καὶ ἡμᾶς
ἑορτάζοντας τὴν σεπτὴν γέννησίν σου.

---

heirm. γʹ EE 106, n. 149, Andreae; heirm. integrum praebent Cf Ce N heirm. 1 καυχούμενος Cf 123 τοῖς] τὰ N ὁ κτίστης] ἡ κτίσεις N τεθέωται N 124 ἐμβηθλεὲμ N τικτόμενος] γεννό(-ώ- T)μενος Ea T γενόμενος Σc • 125-126 ἵνα τῶν πταισμάτων ἡμῶν / τὰς σειρὰς λύσει (σειρὰς διαλύσῃ T) τῇ εὐσπλαγχνίᾳ αὐτοῦ Ce Ea T Σc 125 ἵν Cf N 127 Ἀγαλλιάσθω Cf Ce N Ea 131 τῷ ἐγείραντι κέρας λαοῦ αὐτοῦ Ea τῷ ὑψώσαντι κέρας λαοῦ αὐτοῦ Σc κράξωμεν Ce -ζωμεν N 132-136 trop. om. N T 132 κυήσεως] κενώσεως Ce καινώσεως Ea 134 ἄνθρωπος, Κύριε] δι' ἡμᾶς ἄνθρωπος Ea 137-141 trop. om. N Ea Σc 138 ἔνδοξος] ἔνσαρκος T 139 τῆς εὐσπλαγχνίας σου Cf Ce 141 ἐν τῇ λαμπρότητι τῆς ἐπιγνώσεώς σου T post trop. « Ἀκατάληπτος » hoc profert T: Ἐμεγάλυνέ σοι Κύριος / ὁ ἐν γαστρί σου σκηνώσας, πανάμωμε, / καὶ τὴν ἡμῶν ἑλόμενος πτωχείαν σήμερον, / ἐξουσίαν πᾶσι βροτοῖς δεδωκὼς / τέκνα Θεοῦ γενέσθαι ἡμᾶς.

Τὰ παράδοξα τοῦ τόκου σου
τίς ἐξισχύσει, σεμνή, διηγήσασθαι;
ἀσπόρου γὰρ συλλήψεως ὁ τόκος ἄφθορος
καὶ υἱοῦ πατὴρ ἐπὶ γῆς
οὐχ εὑρίσκεται, οὐ μήτηρ ἐν οὐρανοῖς.

τριαδ. * Τὸν Πατέρα προσκυνήσωμεν
Υἱὸν καὶ Πνεῦμα, Τριάδα ἀμέριστον
f. 245 χερουβικῶς κραυγάζοντες· || « ἅγιος, ἅγιος,
ἅγιος εἶ, μόνε Θεέ,
ἡ ὁμότιμος καὶ συναΐδιος ».

θεοτ. * Σὲ νεφέλην θεοχώρητον
ὁμολογοῦμεν, ἐν ῇ καταβέβηκεν
ὡς ὑετὸς ἐν μήτρᾳ σου, παρθένε ἄχραντε,
ἀναπλάσαι πάντας ἡμᾶς
ἡ πρωτότυπος τῆς ἀρχετύπου εἰκών.

f. 245v ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*

Ὁ ἄναρχος κατὰ φύσιν
ἀρχὴν λαμβάνει σήμερον τὴν κατὰ σάρκα
καὶ πτωχεύει τὸ ἡμέτερον

142-146 trop. om. N Ea T Σc 145 υἱὸς Ce 147-151 τριαδ., quod om. Ea T, in AHG V, 242 invenies 148 ἀμέριστον] ἀχώριστον AHG ἄκτιστον N 149 κραυγάζοντες] δοξάζοντες AHG 150 ἅγιος γὰρ εἶ, ὁ Θεὸς AHG μόνε] εἷς ὁ Σc 151 τρισυπόστατε καὶ συναΐδιε AHG τρισυπόστατος καὶ ὁμοούσιος Σc 152-156 θεοτ. cfr. in AHG X, 213, ubi inc. Ὡς νεφέλην θεοχώρητον 152 Σὲ: Πὲ Ce 153 ὁμολογοῦμεν] ὑμνολογοῦμεν Σc ῇ] ἧσ Ea 156 ἡ προτότυπος τοῦ ἀρχαιτύπου εἰκὼν Ea T Σc προτύπωσις Cf Ce N

post oden γ' hoc κάθ. ostentat Ce, quod ineditum videtur; idem in principio acoluthiae instituit Σc: Ἦχος α'. Πρός· *Τοῦ λίθου σφραγισθέντος* Τοῦ Υἱοῦ γεννηθέντος / ἐν Βηθλεὲμ τῆς Ἰουδαίας / ἡ κτίσις ἐφωτίσθη / ἐπιγνοῦσα τὸν κτίστην· / ἐξέστησαν ἀγγέλων οἱ χοροὶ / ὁρῶντες τὸν δεσπότην ἐπὶ γῆς / μορφὴν δούλου λαβόντα / καὶ τοῦ Πατρὸς ἀχώριστον ὑπάρχοντα· / δόξα τῷ σαρκωθέντι Θεῷ, / δόξα τῷ τεχθέντι ἐπὶ γῆς, / δόξα τῷ εὐδοκήσαντι σῶσαι / τὸ γένος ἡμῶν.

heirm. δ' TR 66; heirm. integrum refert N 158 τὴν κατὰ] κατὰ τὴν T

---

152 Is. 19,1 154 Jud. 6,37-40 159 II Cor. 8,9

καὶ προσάγει
πάντας ἐν ἑαυτῷ τῷ πατρί·
ἑνούμεθα γὰρ
τῇ τούτου θεότητι.

* Ὁ ἄσαρκος σωματοῦται
καὶ ἄρχεται ὁ ἄχρονος ἐκ τῆς παρθένου
καὶ κενοῦται ὁ πληρέστατος
καὶ ὁρᾶται
πᾶσιν ὁ ἀόρατος
καὶ ὁ ἀναφὴς
σπαργάνοις εἰλίσσεται.

Αἱ τάξεις τῶν ἀσωμάτων
ἀνύμνησαν τεχθέντα σε ἐν τῷ σπηλαίῳ
καὶ οἱ μάγοι μετὰ δώρων σοι
προσεκύνουν,
πᾶσα δὲ ἡ γῆ σὺν ἡμῖν
δοξάζει, Χριστέ,
σὲ τὸν ἐκ παρθένου Θεόν.

Ἐτέχθης ἀνερμηνεύτως,
ὁ κτίστης μου, καὶ ἔλαμψας φῶς τοῖς ἐν σκότει
καὶ ἀνύμνησαν τὴν δόξαν σου
οἱ ποιμένες,
φόβῳ δὲ οἱ ἄγγελοι
ἐκύκλουν, σωτήρ,
τὴν φάτνην ὡς θρόνον πυρός.

Οἱ μάγοι μετὰ ποιμένων
θαυμάζουσι τὸν τόκον σου τὸν ἐκ παρθένου
καὶ τὴν δόξαν σοι προσάγουσι

---

161 ἐν om. Ea T ἑαυτῷ] αὐτῷ Ce Σc 163 τούτου] αὐτοῦ Ea 164-170 trop. ut θεοτ. in Pent II νδ'; AHG X, 191 165 ἄχρονος] ἄναρχος Pent II N T ἐκ τῆς παρθένου om. T 166 καινοῦται Ea 170 κρατεῖται ὡς ἄνθρωπος T Pent II AHG ἠλίσσεται Ea 171-177 trop. om. N Ea 173 δώρων] μάγων Σc σοι] σε Ce 176-177 ἀνύμνησέν σε / τὸν ἐπιφανέντα σαρκὶ Σc 178-184 trop. om. N Σc; eiusdem multa discrepant in Ea: Ἐτέχθης ἀνερμηνεύτως / ὁ κτίστης μου καὶ ἔλυσας διὰ σπαργάνων / τὰς σειρὰς τῶν ἐγκλημάτων μου / καὶ ἀλόγων / φάτνῃ ἀνακείμενος / ἐκκαθάρας μου / τὴν ἀλογευθεῖσαν (-γω- cd.) ψυχήν. 185-191 trop. om. Ce N Ea Σc

μετ' ἀγγέλων
καὶ πᾶσαι πατριαὶ τῶν ἐθνῶν,
Θεὲ ἄκτιστε,
κτιστὲ τῇ σαρκὶ δι' ἡμᾶς.

τριαδ. * Πατήρ, Υἱὸς καὶ τὸ Πνεῦμα
Τριάς ἐστιν ἀσύγχυτος ἡ ἐν μονάδι·
τρισυπόστατος γὰρ ἕνωσις
καὶ οὐσία
πᾶσι προσκυνεῖται πιστοῖς,
ἀμέριστον φῶς,
συνάναρχον, σύνθρονον.

f. 246 θεοτ. * ‖ Ἐν σοὶ τὸ μέγα ἐπράχθη
μυστήριον, πανάμωμε, τῆς σωτηρίας·
ἐν γαστρί σου γὰρ ἐσκήνωσε,
θεοτόκε,
Λόγος ζῶν ὁ ἀΐδιος,
ὁ πάντων Θεὸς
γενόμενος ἄνθρωπος.

f. 246v ‖ ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, Κύριε,*

Ὁ λόγος σὰρξ ἐγένετο
καὶ ἐν ἡμῖν ἐσκήνωσεν
ὁ ἐν ἀρχῇ Θεὸς ὑπάρχων,

192-198 τριαδ. AHG X, 191; idem om. Ea 192 τὸ sup. lin. in Σc 194 ἕνωσιν Σc 195 κατ' οὐσίαν Σc AHG 199-205 θεοτ. AHG X, 215 aliud θεοτ. profert Ea, quod ut trop. ante θεοτ. legimus in T: Ὁ ἄναρχος Θεὸς Λόγος / ἡγίασε τὴν μήτραν σου, θεογεννῆτορ, / καὶ τὴν φύσιν ἀνεκαίνισε / τὴν φθαρεῖσαν / λύσας τε αὐτὴν (τε αὐτὴν] ἐν αὐτῇ T) τῶν δεσμῶν / τοῦ πρώτου (τὸν πρῶτον T) Ἀδὰμ / καὶ σώσας τὸ γένος (τοῦ γένους Ea) ἡμῶν. In Σc hoc autem θεοτ. exstat: Παράδεισος ἀνεδείχθης / καὶ τράπεζα καὶ ἄρουρα, μήτηρ παρθένε, / τοῦ δεσπότου καὶ Θεοῦ ἡμῶν, / ὡς τεκοῦσα / τοῦτον μὴ παθοῦσα φθοράν· / διό σε, ἁγνή, / ὑμνοῦμεν, πανύμνητε. 199 ἐπράθη T 200 πανάχραντε μυστήριον τῆς σωτηρίας Ce T πανάμωμε] πανάχραντε AHG 201-205 ὁ Θεὸς γὰρ ὁ ἀσώματος / σωματοῦται ὅλος / ὑποδὺς τοῖς ἐμοῖς / καὶ ὅλον ἐμὲ θεώσας τῷ πνεύματι T 205 γινώμενος N

heirm. ε' EE 106, n. 149, Andreae

206-209 Joh. 1,1-2,14

ὡς βοᾷ Ἰωάννης·
ἐκ παρθένου σήμερον
τὸν Ἀδὰμ ἐνδύεται
καὶ τὴν φύσιν καινουργεῖ.

Ὁ ὢν ἀτρέπτως γίνεται
καὶ ἄρχεται ὁ ἄναρχος
καὶ ὁ ἀχώρητος χωρεῖται,
ὁ ἄσαρκος σαρκοῦται
καὶ ὁ κτίστης κτίζεται
καὶ κενοῦται σήμερον
Θεὸς ὁ πλήρης δι' ἡμᾶς.

Ὁ κτίστης πάσης κτίσεως
καὶ λυτρωτὴς τῆς φύσεως
ἐν Βηθλεὲμ ἐκ τῆς παρθένου
γεννᾶται ἐν σπηλαίῳ
καὶ ἐν φάτνῃ τίθεται
καὶ πτωχεύει σήμερον
τὴν χοϊκὴν ἡμῶν μορφήν.

Εἰκόνα ἀπαράλλακτον
καὶ χαρακτῆρα ὅμοιον
τῆς πατρικῆς ἀϊδιότητος
ὑμνῶ σε τὸν ἐκ μήτρας
σαρκὶ ἑνωθέντα μοι,
ἵνα τὴν εἰκόνα μου
ἐξαναστήσῃς ὡς Θεός.

τριαδ. * Τριὰς ἁγία, δόξα σοι,
μονὰς ἡ τρισυπόστατος,

213-219 trop. om. Ea T 213 ἄτρεπτος N 214 ἄναρχος] ἄχρονος Σc 218 κενοῦται] νεουργεῖται Σc 219 ὁ ὑπερπλήρις δι' ἡμᾶς Σc Θεὸς] ὁ Θεὸς Ce 220-226 trop. om. Ea N 226 καὶ σπαργανοῦται δι' ἡμᾶς T 227-233 trop. om. Ce N T Σc 230 ἐν μήτρᾳ Ea 233 ἐξαναστήσῃς] ἀνανεώσει Ea 234-240 τριαδ., quod om. T, in AHG V, 246, invenies; pro τριαδ. hoc trop. profert Ea: Ἐξέστη πᾶσα σήμερον / ἡ κτίσις ὡς ἑώρα σε / τὸν ἐν τοῖς κόλποις τοῦ πατρός σου / ἐν σαρκὶ φερόμενον / καὶ μαζοὺς θηλάζοντα / τὸν τροφέα (τροφαία cd.) τοῦ παντός.

225 II Cor. 8,9

ἡ ὁμοδύναμος οὐσία,
ἣν ἄγγελοι ὑμνοῦσι,
Χερουβὶμ δοξάζουσι
καὶ ἡ κτίσις ἅπασα
δοξολογεῖ ἕνα Θεόν.

θεοτ.

Ὁ ὑπὲρ φύσιν τόκος σου
τὴν φύσιν ἐλυτρώσατο
τῆς κατὰ φύσιν, ὑπὲρ φύσιν,
φθορᾶς, ἄφθορε νύμφη,
θεϊκοῖς δωρήμασιν
ὅλον τὸ ἀνθρώπινον
ἀνακαινίσας ὡς Θεός.

f. 247

ᾠδὴ ς'. *Ἐν τῷ πελάγει τοῦ βίου*

Τοῦ Πατρὸς ἡ σοφία,
τὸ ἄχρονον φῶς,
ὁ ἄναρχος Υἱὸς
πρὸ ἑωσφόρου γεννηθεὶς ἐκ τοῦ πατρὸς
ἐκ μητρὸς ἐπ' ἐσχάτων
σαρκοῦται καὶ πλάττεται,
μὴ ἐκστὰς
τῆς οἰκείας δόξης.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος
ἐκ σοῦ τοῦ Πατρὸς
ἀχρόνως γεννηθείς·

---

236 ἡ ὁμοούσιος θεότης AHG 241-247 aliud θεοτ. « Ὡς πύλην ἀδιόδευτον », quod in AHG V, 246, invenies, nonnullis variantibus proferunt Ce Ea Σc; idem post θεοτ. « Ὁ ὑπὲρ φύσιν » praebet T 243 ὑπὲρ] παρὰ T 247 ὡς Θεὸς] διὰ σοῦ T

heirm. ς' EE 106, n. 149, Andreae; heirm. integrum habes in Ce N 250 Υἱὸς ὁ μονογενὴς T 255 οἰκείας] ἀρρήτου Ea οἰκίας N 256-263 trop. om. T 258 γεννηθεὶς] προελθὼν Ea

---

250-251 Ps. 109,3 256-257 Joh. 1,1

δι' εὐσπλαγχνίαν τῷ φυράματι ἡμῶν
συμπλακεὶς ἀνεκράθη,
θεώσας τὸ πρόσλημμα
καὶ φανεὶς
διπλοῦς κατ' οὐσίαν.

Τὸ ἀείζωον ἄνθος,
ἡ ῥάβδος Δαβὶδ
ἐκ ῥίζης Ἰεσσαὶ
καὶ ἐξ Ἰούδα ὁ ἀπάτωρ ἐκ μητρός,
ἐκ πατρὸς δὲ ἀμήτωρ
Χριστὸς ἀνατέταλκε
γεννηθεὶς
ἐκ τῆς θεοτόκου.

Βηθλεὲμ εὐφραινέσθω,
ἡ πόλις Δαβίδ·
f. 247v Χριστὸς γὰρ || τὴν ἡμῶν
ταπεινωθεῖσαν προσλαβόμενος μορφὴν
ἐν σπηλαίῳ γεννᾶται
καὶ σὺ ἡ ἐλάχιστος
τοῦ Θεοῦ
χρηματίζεις πόλις.

Ἡσαΐας βοάτω
μεγάλῃ φωνῇ
ἐν πνεύματι Θεοῦ·
« ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει υἱὸν
τὸν πρὸ πάντων αἰώνων
καὶ τέξεται σήμερον
Ἐμμανουήλ,
τὸν Θεὸν τῶν ὅλων ».

---

260 συγκραθεὶς ἀνεκράθης Ea 261 πρόσλειμμα Ea 264-271 trop. om. N 265 Δαβὶδ om. Ce 266 ἡ ῥίζα Ἰ. T 266-267 Ἰεσσαὶ / καὶ: corruptionis cd. causa non leguntur in Ea 272-279 trop. om. Ce N Ea T Σc 280-287 trop. om. Ce Ea Σc 286 Ἐνμανουὴλ Cf

---

265-266 Is. 11, 1 267-268 Hebr. 7, 3, 14 272-273 Luc. 2, 4 280-287 Is. 7,14

τριαδ. Προσκυνήσωμεν πάντες
ἐν ὕμνοις πιστοὶ
τὸν ἄναρχον Θεὸν
σὺν τῷ Υἱῷ — τὸν ὁμοούσιον Πατρὶ —
καὶ τὸ ἅγιον Πνεῦμα
Τριάδα ἀχώριστον
ἐν μονάδι
ἀδιαιρέτως.

θεοτ. Κεκλεισμένην σε πύλην
προεῖδε ποτὲ
ὁ Ἰεζεκιήλ,
δι' ἧς διῆλθεν ὁ ἀχώρητος παντὶ
καὶ ἐξῆλθε φυλάξας
τὴν μήτραν σου ἄχραντον,
ὥσπερ ἦν
καὶ πρὸ τῆς λοχείας.

f. 248 Κοντάκιον.

Ἦχος β'. Πρός· *Τὰ ἄνω ζητῶν*

(α') Ἐν τῇ Βηθλεὲμ
....

288-295 aliud τριαδ. « Τὸν Πατέρα δοξάζω », AHG VIII, 268, profert Ce; Σc autem hoc τριαδ. praebet: Ἐν μονάδι ἀνάρχῳ / τρισὶ προσώποις / Τριάδα προσκυνῶ· / φῶς // τὸν Πατέρα, / φῶς Υἱὸν καὶ συμφυῆ (συμφυεῖ cd.), / φῶς τὸ ἅγιον Πνεῦμα, / ἀλλ' ἓν φῶς ἀμέριστον· / Θεοῦ γὰρ φύσις / οὐ διαιρεῖται. 288-295 τριαδ. om. N Ea T 291 τὸν] τὸ Cf malim ὁμοουσίῳ τῷ 296 Κεκλεισμένη ἡ πύλη Σc σε om. Ce; idem illegibile est in Ea 297 προεῖδε T: ἣν ἴδεν (εἶδε Ce) cett. cdd. 299 ἀχώρητῶ Σc 300 κεκλεισμένην φυλάξας Ea T Σc 301 σου] τὴν Ce N Ea Σc ἄχραντον] πάναγνε T 303 τῆς λοχείας] τοῦ τόκου T

post oden ϛ' tantum initium κονδ. « Ἡ παρθένος σήμερον » leges in Ce; N autem κάθ. « Ἐνθέως εὐφραίνεται », MR II, 581-582, porrigit; κοντ. omnino om. Ea

Κοντ. et οἶκ. MR II, 573

296-298 Ez. 44,2

Ὁ οἶκος.

⟨Πρός· *Τράνωσόν μου*⟩

(α') Τὸν τοῦ Θεοῦ
....

Ἄλλο. Ἰδιόμελον.

Ἦχος πλ. β'.

(β') Ὁ πρὸ ἑωσφόρου
....

Ὁ οἶκος.

(β') Τὸν ἀγεώργητον βότρυν
....

Ἄλλο.

f. 248v Ἦχος πλ. δ'. Πρός· *Ὁ πόρνην καλέσας*

(γ') Χριστοῦ γεννηθέντος
ἐν Βηθλεὲμ τῆς Ἰουδαίας
ποιμένες ἀγραυλοῦντες
τῷ ἐν ὑψίστοις ἐκραύγαζον,
μάγοι προσκυνοῦντές σε
τὸν τεχθέντα βασιλέα.

Ὁ οἶκος.

Πρός· *Τὰ ῥήματα τοῦ Χριστοῦ*

(γ') Οὐράνιος ἑορτὴ
ἀνεδείχθης, ἅγιε,
τεχθέντος σου, Ἰησοῦ
υἱὲ μονογενῆ,
παρθενικῷ τῷ τόκῳ

Ἄλλο (β'), quod κοντ(άκιον) τῆς θεοτόκου ἰδιόμελον exstat in T, eiusdem οἶκ. in MR II, 677-678 invenies

heirm. ἄλλου (γ') PAS I, 85 ἄλλο (γ') 4 ἐκραύαζον cd.

heirm. οἶκ. PAS I, 86

ἐκ μήτρας ἀπειρογάμου·
φῶς τοῖς ἐν σκότει καὶ σκιᾷ
θανάτου ἐπέλαμψας·
ἀνερμήνευτος ὁ τόκος ἀεὶ
τῆς ἁγνῆς σου παρουσίας, Λόγε Θεοῦ,
ὁ πρὸ αἰώνων·
Θεὸς μὲν γὰρ καὶ ἄνθρωπος
φύσει γενάμενος
προῆλθεν ὡς ηὐδόκησας
βρέφος γενάμενος
ἐκ τῆς ἁγίας παρθένου·
καὶ διὰ τοῦτο βοῶμεν·
« ἐν πίστει προσκυνήσωμεν
τὸν τεχθέντα βασιλέα ».

ᾠδὴ ζ'. *Μὴ παραδώῃς ἡμᾶς*

Αἱ πατριαὶ τῶν ἐθνῶν
ἐνέγκατε τῷ Κυρίῳ δόξαν·
τὰ ἔθνη εὐλογεῖτε
τὸν τεχθέντα ἐπὶ γῆς·
λαοὶ προσκυνεῖτε τὸν ἐξ Ἰούδα
ἐν σαρκὶ βλαστήσαντα
ἐκ φυλῆς Δαβὶδ Χριστὸν τὸν Θεὸν
καὶ νῦν ἐν Βηθλεὲμ φανερωθέντα.

Νῦν αἱ τοῦ νόμου σκιαὶ
παρῆλθον Χριστοῦ ἐπιφανέντος

heirm. ζ' EE 106, n. 149, Andreae; heirm. integer subicitur in Ce N 304-311 trop. om. Σc 306 εὐλογήσατε Ce Ea T -σαται N vv. 307-309 desiderantur in Ce 308 προσκυνήσατε N 309 ἐν om. T post trop. « Αἱ πατριαὶ » hoc profert T: Σὺ τῆς ἀρχαίας ἀρᾶς / τὴν φύσιν, σῶτερ, ἐλευθερώσας / κατήλλαξας ἡμᾶς / τῷ ὁμοουσίῳ σου Πατρὶ / ψυχῇ μεσιτεῦσαι καταξιώσας / καὶ σαρκὸς παχύτητι / καὶ πτωχεῦσαι τὸ ἡμέτερον / καὶ οἰκονομικῶς ἐνανθρωπῆσαι. 312-319 trop. om. T Σc

οἰκ. 7-8 Is. 9,1; Luc. 1,78-79
308-309 Hebr. 7,14 310 Matth. 1,1

καὶ ἔλαμψε τὸ φέγγος
τῆς ἀληθείας τοῖς πιστοῖς
καὶ γέγονε πᾶσα καινὴ ἡ κτίσις,
καθὼς Παῦλος ἔγραψε,
f. 249 καὶ τὰ ἔθνη ἐλυτρώ||θημεν
τοῦ σκότους τῆς ἀρχαίας καταδίκης.

Ἐν Βηθλεὲμ ὁ Χριστὸς
γεννᾶται κατὰ τὴν προφητείαν·
« καὶ σὺ γάρ, Βηθλεέμ, γῆ
Ἰούδα, οἶκος Εὐφραθᾶ,
οὐκ εἶ ἐλαχίστη ἐν ἡγεμόσι
κἂν μικρὰ ἐν πόλεσιν·
ἐκ σοῦ γάρ μοι ἐξελεύσεται
ἡγούμενος ποιμαίνειν τὸν λαόν μου ».

Ἀνακαινίζου, Ἀδάμ,
εὐφραίνου καὶ ἡ προμήτωρ Εὔα·
ἰδοὺ γὰρ ἀνατέλλει
δικαιοσύνην ὁ Χριστὸς
καὶ πλῆθος εἰρήνης καὶ φῶς ἐλέους,
δι' οὗ τὸ πρωτόγονον
μυστικῶς ἠλάθη σκότος ἐκ γῆς
καὶ λέλυται ἡμῶν ἡ ἁμαρτία.

314 καὶ Ea: cett. om. cdd. καὶ ἔλαμψε] ἐπέλαμψε Ce 316 κενὴ N ἡ om. Ce 317 ἔγραφεν Ea 319 τὸ σκότος N 320-327 trop. om. T 322 γὰρ om. Cf 324 οὐκῆ Cf N 326 ἐκ σοῦ] ἐξ οὗ N 327 ποιμαίνων Ce N Ea Σc τῶν λαῶν Ea post trop. « Ἐν Βηθλεὲμ » haec praebet Σc: Ὁ ἀναφὴς ὡς Θεὸς / σπαργάνοις ἐνειλημένος δι' ἡμᾶς / διέλυσεν ἡμῶν / τῶν ἁμαρτημάτων τὰς σειρὰς / καὶ ἀναμορφώσας τὴν πρὶν εἰκόνα / συγχωσθεῖσαν πάθεσιν / ἀφθαρσίᾳ τὴν ζωὴν ἡμῶν / συνέδησεν ὁ ὢν εἰς τοὺς αἰῶνας. Ἡ Βηθλεὲμ τὴν Ἐδὲμ / ἠνέῳξε· δεῦτε εἰσελθόντες / γευσώμεθα (-σόμεθα cd.) τοῦ ξύλου / τῆς ἐπιγνώσεως Χριστοῦ· / ἐκεῖ γὰρ ἐφάνη τὸ θεῖον ἄνθος, / Ἰησοῦς, τὸ γλύκασμα, / ἀποστάζον τὴν ἀθόλωτον πηγὴν / τῆς μυστικῆς θεολογίας. 328-335 trop. om. Ce N Ea T

316-317 II Cor. 5,17 320-327 Mich. 5,1-3; Matth. 2,6; Joh. 7,42

τριαδ.

Σὺν τῷ Πατρὶ τὸν Υἱὸν
καὶ τὸ ἅγιον προσκυνοῦμεν Πνεῦμα,
τὴν ἄκτιστον οὐσίαν,
τὴν ἐν θεότητι μιᾷ
Τριάδα ἁγίαν προσκυνουμένην,
εὐσεβῶς συνάπτοντες
καὶ ἀτμήτως διαιροῦντες αὐτὴν
καὶ θεολογικῶς ὑμνολογοῦντες.

θεοτ.

Σὲ ἁγιάζει, ἁγνή,
ἡ κτίσις καὶ αἱ φυλαὶ πᾶσαι τῆς γῆς,
εὐλόγησάν σε ἔθνη
καὶ ἐμακάρισαν·
ἐκ σοῦ γὰρ ἐτέχθη, παρθενομῆτορ,
ὁ τὴν φύσιν ἅπασαν
ἀφελὼν τοῦ ὀλισθήματος
καὶ λύσας τὰ δεσμὰ τῶν πρωτοπλάστων.

f. 249v

ᾠδὴ η'. *Ἐν πυρὶ φλογὸς παρίσταται*

Ὁ τῇ φύσει ἀπερίληπτος
ἐκ παρθένου τεχθεὶς
σήμερον τὴν Ἡσαΐου
προφητείαν ἐκπληροῖ·

336-343 τριαδ. om. N Ea T 337 τὸ om. Σc 339 μία Σc 340 Τριάδα ἁγίαν] τρισὶ δὲ προσώποις Σc 341 συνάπτοντες] σάπτοντες Ce 344 ἁγνὴ] πᾶσα Ea Σc ἡ κτίσις T 345 ἡ κτίσις] πᾶσα T 346 ηὐλόγησάν σε Σc 347 καὶ ἐμακάρισάν σε Σc 349 Χριστὸς ὁ Θεὸς ἡμῶν Cf N Χρ. ὁ Θ. ἡ. ὁ τὴν φ. Ea 350 τοῦ ὀλισθήματος] τῆς ἀρᾶς Ea 351 καὶ] ὁ T
heirm. η' EE 106, n. 149, Andreae heirm. 1 Ἐν φλογὶ πυρὸς EE post initium heirm. η' cd. Ea abrumpitur; itaque reliqua canon. desiderantur in cd. 352-359 in loco huius trop., quod secundum in ordine ponit Σc, aliud trop. praebent T Σc: Ὁ τῇ φύσει ἀπερίληπτος / ἐκ λαγόνων ἁγνῶν τίκτεται / τὴν κτίσιν πᾶσαν / πρὸς τὸ θαῦμα συγκαλῶν (ἐκκαλῶν T), / ποιμένας μετ' ἀγγέλων / καὶ (τοὺς T) μάγους μετὰ δώρων / ὡς κτίστῃ καὶ Θεῷ τοῦ παντὸς / αὐτῷ γονυκλιτοῦντας 352 ἀπερίληπτος] ἀπερίγραπτος N Σc

345-347 Luc. 1,48 352-355 Is. 7,14

ταχέως γὰρ σκυλεύων,
ὀξέως προνομεύων
τοὺς μάγους μετὰ δώρων καλεῖ
προσκυνητὰς ἐνθέους.

Ἐν σπηλαίῳ σπαργανούμενον
καὶ ἐν φάτνῃ Χριστὸν
κείμενον αἱ τῶν ἀγγέλων
τάξεις βλέπουσαι ποτὲ
ἠπόρουν πρὸς ἀλλήλας·
« τί τοῦτο τὸ παιδίον;
Θεὸς γὰρ ὢν ὡς βρέφος ἡμῖν
ὁρᾶται τοῖς σπαργάνοις ».

Τοῖς σπαργάνοις ἐνειλούμενος
τὰς σειρὰς τῶν ἐμῶν
ἔλυσας ἁμαρτημάτων
νηπιάσας δι' ἐμέ·
ὢ πλούτου εὐσπλαγχνίας!
ὢ βάθους μυστηρίου!
ὁ πᾶσαν περιέπων τὴν γῆν
ὡς βρέφος σπαργανοῦται!

Τῇ γεννήσει σου ἐμείωσας,
φωτοδότα Χριστὲ
ἥλιε, τῆς ἀθεΐας
σκοτασμὸν τὸν ἀφεγγῆ
καὶ ηὔξησας τῷ κόσμῳ
ἡμέραν σωτηρίας
τὸ φῶς τῶν ἐντολῶν σου ἡμῖν
ὥσπερ ἡμέραν λάμψας.

τριαδ.

* Σὺν ἀγγέλοις ἀνυμνοῦμέν σε
τὸν προόντα Θεόν,

359 προσκυνεῖ τὰς ἐ. Σc 360-367 trop. om. T 368-375 trop. om. N T Σc 372 πλοῦτος Cf 373 βάθος Cf 376-383 trop., quod tertium in ordine collocat T, om. Ce N Σc 378 τὴν ἀθεΐαν T 379 συσκοτάσας Ἰησοῦ T 383 ὡς σελασφόρον λάμψας T 384-391 τριαδ., quod om. T, in AHG X, 203-204, invenies 385 πρῶντα Cf

356-357 Is. 8,1

ἕνα σε τρισὶ προσώποις
πίστει σέβοντες ἀεί,
τὸν ἄναρχον Πατέρα
Υἱόν τε καὶ τὸ Πνεῦμα,
Τριάδα ἐν μονάδι ἀεὶ
ἀδιαιρέτως ἡνωμένην.

f. 250 θεοτ. * || Τίς ἀκούων οὐκ ἐξίσταται
ὅτι μήτραν Θεὸς
ᾤκησε καὶ βρέφος ὤφθη
ἄνευ πάθους καὶ φθορᾶς;
ὢ μυστηρίου ξένου,
ἀρρήτου καὶ ἀφράστου,
πῶς πάντα ὁ συνέχων δρακὶ
ἑκὼν ἐφανερώθη!

f. 250v || ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*

Ὁ ἐκ πατρὸς ἀμήτωρ
καὶ ἀπάτωρ ἐκ τῆς μητρὸς
ἐτέχθη ἐκ παρθένου δι' ἡμᾶς

387 σέβοντες ἀληθινῶς Σc σέβοντες παναληθῶς AHG 390 ἀεὶ om. Σc ἀεὶ] μιᾷ AHG 391 διαιρετῶς καὶ ἡνωμένως Σc ἡνωμένας N 392-399 θεοτ. AHG X, 204; aliud θεοτ. praebet Ce; idem ut secundum trop. in T: « Προσελθόντες τῷ κρατῆρί μου (μου om. T) / τῆς τρυφῆς ἐν κρυφῇ / γεύσασθε· ζωῆς γὰρ ῥεῖθρον / βλύζω (βλύζω] βρύω T) » κράζει ὁ Χριστός· / μηδεὶς οὖν ὑστερείτω, / μηδεὶς ἄγευστος ἔστω· / πηγὴ γὰρ ἁγιασμοῦ ἐστι / τὸ ἐκ Μαρίας πόμα (πόμα] σῶμα T). T autem hoc θεοτ. profert, quod primis tribus vv. simile est illi, quod in AHG VIII, 247 invenies: Θεοσφράγιστε, ἀσύλητε / θησαυρὲ τῆς ζωῆς, / δέσποινα παρθενομῆτορ / τοῦ ἀσπόρως ἐκ σοῦ τεχθέντος / Θεοῦ Λόγου, / ὡς μόνος ἠβουλήθη· / αὐτὸν οὖν ἐκδυσώπει ἀεὶ / ὑπὲρ τῶν πίστει σε ὑμνούντων. 396 ὢ πλοῦτος (πλούτου Σc) εὐσπλαγχνίας Σc AHG; cfr. supra v. 372 397 ὢ βάθος μυστηρίου Σc AHG; cfr. supra v. 373 398 ὁ πάντα περιέπων δρακὶ (σαρκὶ Σc) Σc AHG 399 ἐφανερώθη θέλων Σc ἑκὼν] σαρκὶ AHG

heirm. θ' EE 106, n. 149, Andreae 400-405 trop., quod om. T, tertium in ordine praebet Σc; idem cd., vero, postea hoc trop. ostendit: Φωνὴ ἐκεῖ ἠκούσθη / ἐν Ῥαμᾷ κλαιούσης Ῥαχιήλ· / τὰ βρέφη γὰρ Ἡρώδης ἀνελὼν / ἀπεπλήρου (-ουν cd.) τὴν γραφὴν / τὴν Ἰουδαίαν ἐμπιπλῶν / ἀθώου αἵματος. 401 ἐκ τῆς] ὢν ἐκ Σc

400-401 Hebr. 7,3

καὶ κατήλλαξεν ἡμᾶς
δι' εὐσπλαγχνίαν τῷ Πατρὶ
ἐπιφανεὶς ἐν σαρκί.

Ὁ ποιητὴς τῶν ὅλων,
ὁ ἀεὶ συνὼν τῷ Πατρί,
κενοῦται καὶ σαρκοῦται δι' ἡμᾶς
καὶ προσάγει τῷ Θεῷ
τὴν προσληφθεῖσαν ἐξ ἡμῶν
δι' εὐσπλαγχνίαν μορφήν.

Τὴν γαιηρὰν οὐσίαν
ὁ Θεὸς ἐκ σοῦ προσλαβὼν
ἐτέχθη ἐν σπηλαίῳ Βηθλεὲμ
καὶ ἐθέωσεν ἡμᾶς
δι' εὐσπλαγχνίαν τοὺς βροτούς,
παρθενομῆτορ ἁγνή.

Ἀνατολὴ ἐξ ὕψους
ἐπεσκέψατο ὁ Χριστὸς
ἐκλάμψας τοῖς ἐν σκότει καὶ σκιᾷ
καὶ κατήλλαξεν ἡμᾶς
δι' εὐσπλαγχνίαν τῷ Πατρί,
θεογεννῆτορ ἁγνή.

Ἐν σοὶ ἐπισκιάσαν
τὸ ἀχώριστον τοῦ Πατρὸς
καὶ σύνθρονον Πατρὶ καὶ τῷ Υἱῷ
Πνεῦμα ἅγιον, σεμνή,

406-417 trop. om. T Σc 408 καινοῦται et sup. lin. corr. in κενοῦται N 418-423 hoc trop. ut θεοτ. refertur in Σc; idem om. Ce T 420 ἐκλάμψας] ὁ λάμψας N 423 ἐπιφανεὶς ἐπὶ γῆς Σc 424-429 trop., quod om. Ce N, primum in ordine dat Σc 425 Πατρὸς] Θεοῦ T 426 καὶ σ.] τὸ σ. T

418-420 Is. 9,1; Luc. 1,78-79 424-427 Luc. 1,35

μητέρα ἄφθορον ἁγνὴν
σὲ πᾶσιν ἔδειξεν.

τριαδ. Τριάδα ἐν μονάδι
προσκυνήσωμεν οἱ πιστοὶ
δοξάζοντες Πατέρα καὶ Υἱὸν
καὶ τὸ ἅγιον Πνεῦμα
ἐν οὐσιότητι μιᾷ
ἀνακηρύττοντες.

θεοτ. Τῇ κεχαριτωμένῃ
ἀνακράξωμεν οἱ πιστοὶ
μετὰ τοῦ ἀρχαγγέλου Γαβριήλ·
« χαῖρε, θρόνε τοῦ Θεοῦ,
ἡ ὑπερτέρα οὐρανῶν
καὶ πάσης κτίσεως ».

---

428 μητέρα ἄφθορον] Θεοῦ μητέρα σε T Σc   ἁγνὴν] ἡμῖν Σc   429 σὲ πᾶσιν] ἄφθορον Σc

post trop. « Ἐν σοὶ ἐπισκιάσαν » haec in T referuntur, quorum prius atque in Σc exstat secundum in ordine: Ἐν σοὶ κατασκηνώσας / ὁ ἐν κόλποις ὢν τοῦ Πατρὸς / ἐτέχθη ἄνευ πάθους καὶ φθορᾶς / καὶ κατήλλαξεν ἡμᾶς / δι' εὐσπλαγχνίαν τῷ Πατρί, θεογεννῆτορ ἁγνή.   Τῷ τόκῳ σου, παρθένε, / ἐθεώθημεν οἱ θνητοί· / Θεὸν γὰρ τὸν τροφέα τοῦ παντὸς / καὶ ὁμόδοξον πατρὶ (πατρὸς cd.) καὶ βρεφουργεῖς καὶ γαλουχεῖς· / ὢ ξένον ἄκουσμα!   430-435 τριαδ. om. T   437 ἀνακράζομεν Ce

IN SANCTUM DAVID PROPHETAM

Crypt. Δ.α. XXXII = Ct, ff. 88v-89

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Δαυὶδ μελῳδῷ θεῖον ἐξᾴδω μέλος· ὁ Ἰωσήφ.

Ἦχος β'.

ᾠδὴ α'. *Τῷ τὴν ἄβατον*
κυμαινομένην θάλασσαν

Διαλύσας μου
τοῦ λογισμοῦ τὴν τύφλωσιν
νῦν ἐν ἀνοίξει στόματος
λόγον χορήγησον
ἀνυμνῆσαί σου, Δαβίδ,
χάριν τὴν πλουτίσασαν
πάντα τὰ πέρατα
τῆς θείας γλώττης σου
ἁγίοις μελῳδήμασιν.

Ἀπὸ βρέφους σε
Θεὸς χάριτος ἔπλησε,
μόνος ὁ τῆς καρδίας σου
ἀναπαυσάμενος
τῇ πραότητι, σοφέ,
καὶ γενησομένων τρανῶς
πᾶσι τοῖς πέρασι,
Δαβίδ, ἐθέσπισε
διὰ σοῦ πᾶσαν ἔκβασιν.

---

heirm. α' EE 39, n. 53, Cosmae   6 πλουτήσασαν

Ὑπερήστραψας
ὑπὲρ προφήτην ἅπαντα
ταῖς ὑψηλαῖς, θεόπνευστε,
θεηγορίαις σου,
ὑποκλίνας σεαυτὸν
τῷ διὰ τῆς γλώττης τῆς σῆς
λαλοῦντι πνεύματι,
ᾧ φωτιζόμενος
τὴν κτίσιν κατεφώτισας.

θεοτ. Ἱερώτατον
Δαβὶδ ἐκ ῥίζης βλάστημα,
ἄχραντε, σὺ ἐβλάστησας,
θεοχαρίτωτε,
καὶ ἐξήνθησας Χριστὸν
ἄνθος, τῷ καρπῷ τῆς αὐτοῦ
τρέφοντα γνώσεως
τοὺς ἀνυμνοῦντάς σε,
παρθένε ἀπειρόγαμε.

ᾠδὴ γ'. *Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας*

Διόλου σὺ μακάριος ἀπεφάνθης·
ὡς ξύλον γὰρ πεφύτευσαι διεξόδοις
τοῦ πνεύματος, θεόπνευστε, τῶν ὑδάτων
διευθηνούμενος
καρποὺς προρρήσεως
καὶ ὡραϊζόμενος θείαις πράξεσιν.

Μεγίστην προηγόρευσας τὴν τοῦ Λόγου
κατάβασιν ἀρρήτως γεγενημένην
τὸ πάθος τε τὸ ἄχραντον καὶ ἀνόμων
τὴν ἐπισύστασιν,
Δαβὶδ θεόπνευστε,
καὶ τὴν θείαν ἔγερσιν τοῦ Θεοῦ ἡμῶν.

heirm. γ' EE 38, n. 51, Cosmae 42 ὡραϊζόμενον 44 γεγεννημένην

28-33 Is. 11,1 38-39 Ps. 1,3

Ἐκοίμισας τὰ πάθη τὰ ψυχοφθόρα,
« προέφθασαν », κραυγάζων, « οἱ ὀφθαλμοί μου
πρὸς ὄρθρον φωτιζούσης με ἀπαθείας
καὶ καθαρότητος »,
Δαβὶδ θαυμάσιε,
ὑψηλῶν μυήσεων θεῖον τέμενος.

θεοτ. Λαμπόμενος ταῖς θείαις φωτοχυσίαις
προεῖδες τὴν τούτου παῖδα ὄρος μέγα,
Δαβὶδ μακαριώτατε, ὄρος πῖον
τετυρωμένον τε,
ἐξ οὗ ἐπέφανεν
ὁ φωτίζων χάριτι τὰς ψυχὰς ἡμῶν.

Κάθισμα.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Πατρὸς ὡς ἀληθῶς
....

ᾠδὴ δ'. *Ὑμνῶ σε·*
ἀκοὴν γάρ, Κύριε,

Ὠράθης
πεπλησμένος χάριτος
καὶ συνέσεως ἐκ παιδόθεν·
ἐντεῦθέν σε χρίσματι
τὸ ἅγιον καὶ θεῖον Πνεῦμα
χειρὶ
Σαμουὴλ ἐνθέως ἔχρισε,
Δαβίδ, ποιμένα πρότερον ὑπάρχοντα.

49 Ἐκοίμησαν 56 προΐδες 58 τετυρωμένων
Κάθ. in MR II, 686, sed in S. Joseph dicatum
heirm. δ' EE 38, n. 51, Cosmae 67 ἔχρησε

50-51 Ps. 118,148 55-58 Ps. 67,16 64-68 I Regn. 16,11-13

Δυνάμει
τοῦ ἁγίου Πνεύματος
τὸν ἀλλόφυλον σφενδονήσας
ἀνδρείως κατέσφαξας
καὶ πρόξενος ἐγένου νίκης
λαοῦ
ἐπὶ Κύριον ἐλπίζοντος,
Δαβίδ, Χριστοῦ προφῆτα πανσεβάσμιε.

Ὡς πρᾶος
ταῖς τοῦ πράου Πνεύματος
ἐπινεύσεσιν ἐνεπνεύσθης
καὶ πᾶσιν ἐτράνωσας
ἀνέκφραστον οἰκονομίαν
Χριστοῦ
καὶ τὰ πάθη τὰ ἑκούσια,
δι' ὧν παθῶν ἀτίμων ἐλυτρώθημεν.

θεοτ. Θαυμάζων
τὸ ἐν σοὶ μυστήριον
« καταβήσεται », ἀνεβόα,
« ὡς ὑετὸς Κύριος
ἐν μήτρᾳ σου », σεπτὸς προφήτης
Δαβίδ,
« ὡς σταγὼν ἐν γῇ τε στάζουσα »,
θεογεννῆτορ μόνη παναμώμητε.

ᾠδὴ ε'. *Ὁ φωτισμὸς*

Ἐπὶ σταυροῦ
τανυθέντα καὶ χεῖρας
καθηλωθέντα

81 ἀνεκφράστου 89 σεπτῶς
heirm. ε' EE 34, n. 46, Joannis

69-76 I Regn. 17,4 sqq. 87-91 Ps. 71,6

πόδας τε, παμμάκαρ, ἐξορυχθέντα
βλέψας τῶν πάντων
ὡς προφήτης δεσπότην
καὶ εἰς ᾅδην παραγενόμενον
πᾶσιν ἀγνοοῦσι σαφῶς διετράνωσας.

Ἱερουργοί,
μονασταὶ καὶ μιγάδες,
νέοι, πρεσβῦται,
ἅπασα φυλή τε καὶ γλῶσσα, μάκαρ,
νύκτωρ δοξάζει
καὶ ἡμέρας ἀπαύστως
τὸν σωτῆρα τοῖς μελῳδήμασι
χρώμενοι, Δαβίδ, τῆς ἐνθέου κινύρας σου.

Ὅλος ὀφθεὶς
ἀγαθότατος, πρᾶος,
ἀμνησικάκως
φέρων τὰ ὀνείδη τὰ τοῦ πλησίον,
ἐμαρτυρήθης
ἐσχηκέναι καρδίαν
τῇ τοῦ κτίστου καρδίᾳ, πάνσοφε,
ἐξομοιουμένην καλαῖς ἀναβάσεσιν.

θεοτ. Νέον ἡμῖν
ἀπεγέννησας βρέφος
πρὸ ἑωσφόρου
τὸν γεγεννημένον Πατρὸς ἀνάρχου,
καθὼς ὁ μέγας
ἐν προφήταις θεσπίζει,
θεοτόκε, Δαβίδ, κινούμενος
Πνεύματος ἁγίου τρανῶς ἐπιπνεύσεσιν.

124 ἐπιπνεύσεσιν

117-120 Ps. 109,3

ᾠδὴ ϛ'. *Πρὸς Κύριον*
ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε

Ἐδήλωσας
Χριστοῦ τὴν ἐπὶ γῆς ἐνανθρώπησιν,
πάθος τὸ τίμιον,
τὴν εἰς ᾅδου δὲ κατάβασιν
καὶ τὴν ἐκ τῶν νεκρῶν
αὖθις ἀναβίωσιν,
θεηγόρε Δαβίδ, ἐμφανέστατα.

Ξενίζεται
καρδία ἐντρυφῶσα τοῖς λόγοις σου·
θεῖον γὰρ ὄργανον
τοῦ δεσπότου ἐχρηματίσας
σωτηρίας ἡμῖν,
μάκαρ, μελῳδήματα
ἐνηχοῦν τοῖς πιστῶς εὐφημοῦσί σε.

Ἀδόμενα
τὰ σεπτά σου, Δαβίδ, κελαδήματα
πάθη κοιμίζουσι
καὶ καρδίας ἐνηδύνουσι
καὶ σκότος πονηρὸν
πολεμίων τρέπουσι
καὶ ψυχὰς ἀενάως φωτίζουσιν.

θεοτ. Δεδήλωκας
τοῦ Θεοῦ τὴν μητέρα, θεσπέσιε,
« ἀπενεχθήσονται »,
ἀνακράζων, « ταύτης ὄπισθεν
παρθένοι ἐν χαρᾷ »·
πάντων γὰρ βασίλισσα
καὶ ψυχὰς ἀενάως φωτίζουσα.

---

heirm. ϛ' EE 39, n. 53, Cosmae 133 καρδίαν 152 φωτίζουσιν

148-150 Ps. 44,15-16

Τὸ κοντάκιον.
Ἦχος α'. ⟨Πρός· *Χορὸς ἀγγελικὸς*⟩

Χορὸς τῶν προφητῶν
....

(Ὁ οἶκος.
Πρός· *Τὸ φοβερόν σου κριτήριον*)

Ἅπαν νεκρώσαντες φρόνημα
....

f. 89 ᾠδὴ ζ'. *Ἀντίθεον πρόσταγμα*

Ὠράθης μισούμενος,
Δαβὶδ προφῆτα,
καὶ μάτην ἐκ πόλεως
εἰς πόλιν ἐλαυνόμενος
καλοῖς ἀμειβόμενος
τὸν ἐκδιώκοντα·
ὃν καὶ τελευτήσαντα θρηνεῖς
τῇ συμπαθείᾳ ὡραϊζόμενος.

Μετάνοιαν πρόσφορον
ποτὲ προσάγων
ἐφ' οἷς παρωλίσθησας,
Δαβὶδ ἀξιοθαύμαστε,
πᾶσιν ἁμαρτάνουσιν
ὤφθης ὑπόδειγμα·
λόγοις σου γὰρ χρώμενοι Θεοῦ
τὸ μέγα πίστει ζητοῦσιν ἔλεος.

Κοντ., quod in MR II, 687 et PAS I, 455, invenies, ut κάθ. Nativitatis refertur in MR οἶκ. etiam in eadem festivitate ed. in PAS I, 457
heirm. ζ' EE 34, n. 46, Joannis

157-158 I Regn. 24,18-19 159 II Regn. 1,17 sqq.

Εἰς πᾶσαν τὸ κήρυγμα
τῶν ἀποστόλων
τὴν γῆν ἐξελήλυθεν,
ὡς ψάλλων προηγόρευσας,
καὶ πάντα τὰ ξόανα
ἐθνῶν ἠφάνισε
καὶ τὴν ἀπολύτρωσιν ψυχαῖς,
Δαβὶδ προφῆτα, ἐπρυτανεύσατο.

θεοτ. Λογίων ἡ ἔκβασις
τῶν σῶν ὡράθη·
ἀνέστη γὰρ Κύριος,
σαφῶς ἀναπαυσάμενος
ἐν κόλποις θεόπαιδος,
τῆς κιβωτοῦ αὐτοῦ,
οὔσης ἐκ τοῦ σπέρματος τοῦ σοῦ,
Δαβὶδ προφῆτα μακαριώτατε.

ᾠδὴ η΄. *Κάμινος ποτὲ*

Ὄργανον Θεοῦ
ταῖς θείαις ἐπιπνοίαις
ἀνακρουόμενον γεγένησαι,
καὶ ψαλτήριον ἔμψυχον
καὶ κινύρα ψυχὰς θέλγουσα
πρὸς ἔρωτα τὸν ἔνθεον·
ὅθεν σε καταχρέως
πίστει, Δαβίδ, μακαρίζομεν.

Σοῦ τοῖς ἱεροῖς
οἱ χρώμενοι, προφῆτα,
καὶ ψυχοτρόφοις κελαδήμασιν
ἀγγέλοις συνάπτονται

---

172 προηγόρευσε
heirm. η΄ ΕΕ 34, n. 46, Joannis

169-172 Ps. 18,5

ὡς ἐκείνους ἐκμιμούμενοι
ταῖς θείαις πρὸς τὸν ὕψιστον
πάντοτε ὑμνῳδίαις
παναρμονίοις τε στάσεσιν.

Ὄρθρου καὶ νυκτός,
πρωὶ καὶ μεσημβρίας
ἐν πάσῃ ὥρᾳ τε, μακάριε,
ἀνθρώπων τὰ στόματα
πρὸς σεπτὰ ἀνοίγεις ᾄσματα
τὸν οὕτως χαριτώσαντα
Κύριον τὴν ψυχήν σου
ὑμνολογεῖν προτρεπόμενος.

θεοτ. Ἱεροπρεπῶς
ἡ ῥίζα ἐκβλαστάνει
τοῦ Ἰεσσαὶ ἄνθος θεότητος
ἡ πάναγνος δέσποινα,
ἣν γνησίως μακαρίζοντες
ὡς πάντων χρηματίζουσαν
πρόξενον σωτηρίας
ἐν εὐφροσύνῃ δοξάσωμεν.

ᾠδὴ θ΄. *Ἀνάρχου γεννήτορος*

Ὡς μέγιστος ἥλιος,
ὡς ὄρθρος φαεινότατος,
ὡς λαμπτὴρ εὐσεβείας
τῷ κόσμῳ γέγονας
πάντων καταυγάζων τὰς φρένας,
πάντων βροτῶν
ἀνοίγων τὸ στόμα

---

200 παναρμονίως
heirm. θ΄ ΕΕ 35, n. 46, Joannis

209-211 Cfr. sup. vv. 28-33

δοξάζειν τὸν Κύριον,
ὦ προφῆτα παμμακάριστε.

Συνὼν ὁμηγύρεσι
προφητευσάντων χάριτι
καὶ χοροῖς ἀσωμάτων
συναριθμούμενος
καὶ κληρονομῶν τὰς πλουσίας
τῶν ἀγαθῶν
ἐκεῖ ἀντιδόσεις
ἀγάλλου καὶ χόρευε,
ὦ Δαβὶδ σεβασμιώτατε.

Ἡλίου φαιδρότερον
ἡ μνήμη σου τοῖς πέρασιν
ἱερῶς ἁπλουμένη
ὑμνεῖν προτρέπεται
τοὺς ἱερωτάτους σου τρόπους,
τὸ τηλαυγὲς
τῶν κατορθωμάτων·
ἐν ᾗ πάντων μνήσθητι
τῶν πιστῶς μνημονευόντων σου.

θεοτ. Φιλάγαθε δέσποινα,
τὸν νοῦν ἡμῶν ἀγάθυνον
ἀγαθὰ συνιέναι
Θεοῦ προστάγματα·
φώτισον ἡμῶν τὰς καρδίας
τὰ σκοτεινὰ
νέφη τῆς κακίας
μακρὰν ἀπελαύνουσα,
ὅπως πίστει σε δοξάζωμεν.

247 προστάγματος 251 ἀπελαύνουσαν 252 δοξάζομεν

IN SANCTUM STEPHANUM

Synaxarium, 349-350: Ἄθλησις τοῦ ἁγίου ἀποστόλου καὶ πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Σ τ ε φ ά ν ο υ, ἑνὸς τῶν ἑπτὰ διακόνων. Οὗτος ζητήσεώς ποτε μεταξὺ Ἰουδαίων καὶ Σαδδουκαίων καὶ Φαρισαίων καὶ Ἑλλήνων γενομένης περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν μὲν λεγόντων ὅτι προφήτης ἐστίν, τῶν δὲ ὅτι πλάνος, τῶν δὲ ὅτι υἱὸς Θεοῦ, στὰς ἐφ' ὑψηλοῦ τόπου, εὐηγγελίσατο πᾶσι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰπών· « Ἄνδρες ἀδελφοί, πρεσβῦται καὶ νέοι, ἵνα τί ἐπληθύνθησαν αἱ φωναὶ ἡμῶν καὶ συγκέχυται πᾶσα Ἱερουσαλήμ; μακάριος ἄνθρωπος ὃς οὐκ ἐδίστασεν εἰς Χριστὸν Ἰησοῦν. Οὗτος γάρ ἐστιν ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ τεχθεὶς ἐκ παρθένου ἁγίας καὶ καθαρᾶς καὶ ἐκλελεγμένης πρὸ καταβολῆς κόσμου, αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασε. Τυφλοὺς γὰρ ἐποίησεν ἀναβλέψαι, λεπροὺς ἐκαθάρισε καὶ τοὺς δαίμονας ἀπήλασεν ». Οἱ δὲ ἀκούσαντες αὐτοῦ, ἤγαγον αὐτὸν εἰς τὸ συνέδριον πρὸς τοὺς ἀρχιερεῖς· οὐκ ἴσχυον γὰρ ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. Καὶ εἰσελθόντες ὑπέβαλον ἄνδρας τινὰς λέγοντας ὅτι· « Ἀκηκόαμεν αὐτοῦ λέγοντος ῥήματα βλάσφημα κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου ». Καὶ τὰ λοιπὰ καταλέξαντες, καθὼς ἐν ταῖς ἱεραῖς τῶν ἀποστόλων πράξεσιν ἐμφέρεται, καὶ ἀτενίσαντες εἰς αὐτὸν οἱ καθεζόμενοι εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου καὶ ἐλεγχθέντες, μὴ φέροντες τὴν ἧτταν, λιθοβολοῦσιν αὐτὸν καὶ ἀναιροῦσιν ὑπερευχόμενον αὐτῶν καὶ λέγοντα· « Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην ». Ἐπεὶ δὲ ἐξαίρετον πτῶμα διὰ τῆς νομισθείσης αὐτοῦ πτώσεως ὁ θεῖος πρωτόμαρτυς τὸν ἀντίπαλον καταβαλών, τὸν γλυκὺν ὕπνον ἀνεπαύσατο, συγκομίζεται μὲν τὸ ἱερὸν ἐκείνου σκήνωμα ὑπὸ ἀνδρῶν εὐλαβῶν ἐν γλωσσοκόμῳ περσαίας· εἶδος δὲ τοῦτο ξύλου. Οἳ καὶ κατασφαλισάμενοι ἐκ πλαγίων αὐτὸ κατέθεντο τοῦ ναοῦ. Ὁ δὲ νομοδιδάσκαλος Γαμαλιὴλ γνωστὸς ὢν τῷ μακαρίῳ Στεφάνῳ καὶ τοῦ ἀνδρὸς ἐπιστάμενος τὴν ἀρετήν, προσπίπτει τοῖς ἀρχιερεῦσιν ἐξαιτούμενος τὸ σῶμα λαβεῖν καὶ πρὸς τὴν αὐτοῦ κώμην τὴν πλησίον Ἱερουσαλὴμ ἀπαγαγεῖν καὶ πρὸς τῷ ἰδίῳ αὐτοῦ καὶ καινῷ μνημείῳ καταθεῖναι· ὅπερ καὶ γέγονε. Κηδεύσαντες οὖν αὐτὸν οἱ ἀπόστολοι καὶ ἐξ Ἱερουσαλὴμ μεταγαγόντες καὶ κοπετὸν μέγαν ἐνστησάμενοι κατέθαψαν. Αὖθις οὖν Νικόδημος ὁ ἀνεψιὸς Γαμαλιὴλ καὶ αὐτὸς ὁ Γαμαλιὴλ καὶ ὁ τούτου υἱὸς Ἀβελβοῦς πιστεύσαντες ὑπὸ τῶν ἀποστόλων ἐβαπτίσθησαν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι πλησίον Κωνσταντιανῶν.

Cfr. etiam Act. 6,1-7,60.

Crypt. Δ.α. XIV = Cf, ff. 253-261

f. 253 || Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Στέφος λόγων σοι, μαρτύρων, πλέκω, στέφος.

Ἦχος β'.

ᾠδὴ α'. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

Στεφανῖτα μάρτυς τοῦ Χριστοῦ,
λόγοις στεφανοῦντά σου
τὴν κορυφήν, ἣν Θεὸς ἐστεφάνωσε
νίκης διαδήμασι,
μὴ παρίδῃς με ἐν καιρῷ περιστάσεως
σὲ παρακαλοῦντα
καὶ τῆς προστασίας σου δεόμενον.

Τῶν μαρτύρων ὤφθης ἀρχηγὸς
ὡς πρωτοδιάκονος
καὶ ἐκλογὴ ἀποστόλων θεόκριτος,
πλήρης θείας χάριτος
καὶ δυνάμεως γεγονώς, ἱερώτατε·
ὅθεν δυσωπῶ σε
πάθη θεραπεῦσαι τῆς καρδίας μου.

Ἐν ἡμέρᾳ πάσῃ καὶ νυκτί,
ᾗ παρακαλέσω σε
τὸν φωταυγῆ τῶν ἀθλοφόρων στέφανον,
εὕρω σε σκεδάζοντα

---

tit. Ὁ κανὼν τοῦ ἁγίου (πρωτο)μάρτυρος Στεφάνου φέρων...
heirm. α' EE 34, n. 46, Joannis   2 στεφανοῦντάς σου   7 δεόμενος   10 ἐκλογῆ   17 τὸν ἀθλοφόρον   18 σχεδάζοντα

8-10 A. Papadopoulos-Kerameus, *Ἀνάλεκτα ἱεροσολυμιτικῆς σταχυολογίας V*, Ἐν Πετρουπόλει 1898, 55: ... ὁ ἐν τοῖς ἀποστόλοις ἀπόστολος ... ὁ πρῶτος ἐν διακόνοις, ὡς τῆς ἀποστολικῆς ἀκροθίνιον ἐκλογῆς· πρῶτος ἐν ἀθλοφόροις, ὡς πρῶτος τῆς μαρτυρικῆς ἀγωνίας σταδιοδρόμος ...
11-12 Id., 50: ... ὁ πλήρης χάριτος καὶ δυνάμεως Θεοῦ ...

---

3 Pr. 1,9   11-12 Act. 6,8   15-16 Ps. 101,2; 137,3

ἀθυμίας μου τὴν δεινὴν ἀμαυρότητα
καὶ φωταγωγοῦντα
τὴν ἐσκοτισμένην μου διάνοιαν.

θεοτ. Φωτοφόρε πύλη νοητή,
μόνος ἣν διώδευσεν
ὁ ἐκ τῆς σῆς νηδύος σωματούμενος
ἀνέσπερος ἥλιος,
φωταγώγησον τὴν ψυχήν μου καὶ ῥῦσαί με
πάσης ἐπηρείας,
κεχαριτωμένη, καὶ κακώσεως.

f. 254 ᾠδὴ γ'. *Ἐξήνθησεν ἡ ἔρημος ὡσεὶ κρίνον*

Οἰκῶν τὰ ἐπουράνια καὶ ταῖς θείαις
πάντοτε
φωτοχυσίαις, ἔνδοξε
στεφανῖτα, περιχεόμενος
τοὺς σὲ παρακαλοῦντας κατοικτείρησον.

Σαρκός μου τὰς κινήσεις καὶ τῆς καρδίας,
πάνσοφε,
τὰς ἐνθυμήσεις πράυνον
τὰς ἀτόπους ταῖς σαῖς δεήσεσιν
εἰρηναίαν ζωήν μοι παρεχόμενος.

Λεόντων ψυχοφθόρων, πικρῶν δαιμόνων
ῥῦσαί με
καὶ πονηρῶν ἀνθρώπων τε
ἐπιζητούντων κακοποιῆσαί με,
ἀγαθέ μου προστάτα, θεῖε Στέφανε.

---

heirm. γ' EE 34, n. 46, Joannis

29-32 Id., 48: ... ἡ τῆς δυνάμεως τοῦ Θεοῦ ἁγιότης αὐτὸν περιήστραπτεν, ἡ τοῦ Χριστοῦ αὐτὸν κατεφώτιζε χάρις ... 49: ... εἶδεν αὐτὸν ... τῇ τοῦ ἁγίου πνεύματος ἐνεργείᾳ θεοπρεπῶς φωτιζόμενον ...

---

22 Ez. 44,2   40-41 Ps. 139,1

θεοτ. Ὀχύρωσον τὸν νοῦν μου, θεοχυῆτορ
δέσποινα,
ταῖς προσβολαῖς ἑκάστοτε
τῶν δαιμόνων περιτρεπόμενον
καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

f. 255 Κάθισμα.

Ἦχος α'. Πρός· *Τοῦ λίθου σφραγισθέντος*

(α') Τῶν λίθων βαλλομένων ὑπὸ τῶν Ἰουδαίων
καρτερικῶς ὑποφέρων τοὺς πόνους τῶν ἀλγημάτων
ἑώρα ἐν ὑψίστοις Ἰησοῦν
καθήμενον Πατρὸς ἐν δεξιᾷ
καὶ διὰ τοῦτο ἐβόα
ὁ πρωτομάρτυς ἐν φωνῇ ὁ Στέφανος·
« δόξα τῇ εὐσπλαγχνίᾳ σου, Χριστέ,
δόξα τῇ βασιλείᾳ σου,
δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε ».

Ἄλλο.

Ἦχος δ'. Πρός· *Κατεπλάγη Ἰωσὴφ*

(β') Τὴν τοῦ πνεύματος πηγὴν
....

Ἕτερα.

Ἦχος πλ. α'. Πρός· *Τὸν συνάναρχον Λόγον*

(γ') Τῇ τοῦ πνεύματος αἴγλῃ καταλαμπόμενος
....

---

heirm. καθ. (α') PAR 4 Κάθ. 1 Τοῖς λίθοις βαλλομένοις
Ἄλλο κάθ. (β') MR II, 697
heirm. καθ. (γ') et (δ') HR 230 Ἕτερον (γ') MR VI, 298-299

f. 255v (Ὅμοιον).

(δ') Ταῖς βροχαῖς ταῖς ἐκ λίθων καταρραινόμενος,
πρωτομάρτυς Κυρίου, ἐκαρποφόρησας
ἐν τῇ γῇ τῇ ἀγαθῇ τῆς καρδίας σου
τὴν ἀδάπανον τρυφήν,
ἣν ἐδέξω ἐκ Θεοῦ·
διό σε καὶ δυσωποῦμεν
σωθῆναι ἐκ τῶν κινδύνων
οἱ ἐκτελοῦντες τὴν μνήμην σου.

Ἄλλο.

Ἦχος πλ. δ'. Πρός· *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

(ε') Ὁ ἐκ λίθου τιμίου πνευματικῶς
φερωνύμως ἐτέθη σῇ κορυφῇ
δυνάμεως στέφανος
ἐκ τῆς ἄνωθεν χάριτος
καὶ δι' αὐτοῦ ἐμπρέπων
τοῖς λόγοις καὶ θαύμασι
τῶν Ἰουδαίων ἤλεγξας
τὸ ἄνομον φρύαγμα·
ὅθεν καὶ τῆς ἄνω
βασιλείας τὴν πύλην
τοῖς μάρτυσιν ἤνοιξας
ὡς τῆς πίστεως πρώταθλος·
πρωτομάρτυς γὰρ Στέφανε,
πρέσβευε ⟨Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

Ὅμοιον 1 ἐκ] τῶν EPh 40 (1941), 137
heirm. ἄλλου (ε') MR I, 68 Ἄλλο 1 λίθων τιμίων malim 14 post πρέσβευε orat. detruncatur in cd.; eam supplevi auctoritate similium καθ.

Κάθ. (ε') 1-3 Ps. 20,4

ᾠδὴ δ'. *Ἐλήλυθας*
ἐκ παρθένου οὐ πρέσβυς οὐκ ἄγγελος

Γενόμενος
ἀπαρχὴ τῶν μαρτύρων καὶ πρόβολος
δυνάμεις καὶ τέρατα,
μάρτυς, μεγάλα πεποίηκας·
ὅθεν ἱκετεύω σε
πάσης κακίας με ῥῦσαι τοῦ ἀλάστορος.

Ὡς ἄμπελος
καρποφόρος ἐξήνθησας βότρυας
γλεῦκος ἀποστάζοντας
σωτηριῶδες, μακάριε,
μέθην ἐκκρουόμενος,
πάσης ἀνάγκης καὶ πόνων ἐκλυτρούμενος.

Νενέκρωσαι
τοῖς τοῦ βίου, μακάριε, πάθεσι
καὶ θνήσκειν ἐπόθησας
f. 256 διὰ τὴν πάντων ἀνά||στασιν·
ὅθεν ἱκετεύω σε
νενεκρωμένον με θλίψει ζωοποίησον.

θεοτ. Συνέλαβες
τὸν συνέχοντα πάντα, πανάμωμε,
καὶ τοῦτον ἐκύησας
θεοπρεπῶς ὡς ηὐδόκησε·
τοῦτον οὖν ἱκέτευε
τῆς παρ' αὐτοῦ βοηθείας ἀξιῶσαί με.

heirm. δ' EE 34, n. 46, Joannis 52 πεποίηκεν 60 ἐκλυτρούμενον 70 ηὐδόκησας

51-52 Id., 81: ... σημεῖα καὶ τέρατα καὶ διάφορα ἰάματα ἐπιδεικνύμενος ...

51-52 Act. 6,8 55-56 Os. 14,8

f. 256ᵛ ᾠδὴ ε'. *Μεσίτης Θεοῦ*
καὶ ἀνθρώπων γέγονας

Οἰκῶν οὐρανοὺς
τοὺς ἐν γῇ αἰτοῦντάς σε περίσωζε
κινδύνων καὶ θλίψεων
καὶ ἁμαρτιῶν καὶ περιστάσεων
καὶ παντοίων σφαλμάτων,
στεφανηφόρε Στέφανε.

Ἰσχὺν κατ' ἐχθρῶν
βασιλεῖ θεόφρονι ἱκέτευε
δωρήσασθαι, ἔνδοξε,
τὸν παμβασιλέα καὶ Θεὸν ἡμῶν
καὶ εἰρήνην τῷ κόσμῳ
καὶ χάριν τοῖς τιμῶσί σε.

Μ— —́ — — —́
— — —́ — —́ — — —́ —́ — —
— —́ — — —́ — —
—́ — — — —́ — — — —́ — —
—́ — —́ — — —́ —
— —́ — — — —́ — —.

f. 257 Ἀλόγῳ φρενὶ
τοῖς ἀλόγοις πάθεσιν ὑπέκυψα
καὶ ἄλογος γέγονα·
Λόγε Θεοῦ, οἴκτειρον καὶ σῶσόν με
τοῦ σοφοῦ σου πρωτάθλου
ἁγίαις παρακλήσεσιν.

θεοτ. Ῥομφαίᾳ δεινῇ
ἁμαρτίας, δέσποινα, πληγεῖσάν μου
τὴν καρδίαν ἴασαι,
φάρμακον δραστήριον ἐμβάλλουσα
τοῦ υἱοῦ σου τὸ αἷμα,
τοῦ κόσμου καθαρτήριον.

heirm. ε' EE 39, n. 53, Cosmae 85-90 tantum litteram initialem scriba delineavit, vacuum spatium relinquens 97-98 Ῥομφαία δεινὴ / ἁμαρτίας... 98 δέσποινα scripsi: δέσποτα cd.

f. 257v ᾠδὴ ϛ΄. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ταῖς νιφάσι τῶν λίθων χωννύμενος
ταύταις ὡς βαθμίσιν ἐπέβης καὶ κλίμακι
καὶ πρὸς Θεὸν ἀνέδραμες
ἀφθαρσίας στεφάνῳ κοσμούμενος.

Ὑφαντὸν ἐκ τῆς ἄνωθεν χάριτος,
Στέφανε, ἱμάτιον περιβαλόμενος
τοῦ διαβόλου ἅπασαν
τὴν κακίαν εἰς τέλος ἐγύμνωσας.

Ῥυπωθεῖσαν ψυχήν μου τοῖς πάθεσιν
ὄμβροις ἀποκάθαρον τῶν σῶν δεήσεων
καὶ ἀσφαλῶς βιῶσαί με
τὸ λοιπὸν τῆς ζωῆς μου ἀξίωσον.

θεοτ. Ὡς τεκοῦσα Θεὸν ἀναλλοίωτον
πάθεσι καὶ θλίψεσιν ἀλλοιωθέντα με
καὶ ἀπογνώσει κείμενον,
παναγία παρθένε, ἀνόρθωσον.

f. 258v Κοντάκιον.
Ἦχος γ΄. Πρός· *Ἡ παρθένος σήμερον*

Ὁ δεσπότης χθὲς ἡμῖν
....

(Ὅμοιον).

Ἐν σπηλαίῳ ἔλαμψεν
....

---

heirm. ϛ΄ EE 34, n. 46, Joannis 108 περιβαλλόμενος 114 λεῖπον
Κοντ. et οἶκ. MR II, 701-702; ὅμοιον TRM III, σλα΄

---

103 Id., 57: ... οἱ δὲ ... τοῦτον ... ταῖς τῶν λίθων νιφάσι κατεχώννυον ...

Ὁ οἶκος.
Πρός· *Τὴν Ἐδὲμ Βηθλεὲμ*

Ὡς ἀστὴρ φαεινὸς
....

Ἄλλο. ⟨Ἰδιόμελον⟩.
Ἦχος πλ. β΄.

Πρῶτος ἐσπάρης ἐπὶ γῆς
....

Ὁ οἶκος.
Πρός· *Τῷ τυφλωθέντι Ἀδὰμ ἐν Ἐδὲμ*

Τοῦ παραδείσου τὰ ἄνθη ὁρῶν
....

f. 259 ᾠδὴ ζ΄. *Ἀντίθεον πρόσταγμα*

Νοῒ καθαρεύοντι
ἐνατενίσας
πατρὸς τὸ ἀπαύγασμα
τεθέασαι, μακάριε,
τοῦ θείου ἀγῶνός σου
κατασκηνούμενον

Ἄλλο κοντ. et οἶκ. MR VI, 300
heirm. ζ΄ EE 34, n. 46, Joannis

119-122 Id., 78: ... ὦ αὐτόπτα τοῦ μονογενοῦς ... ὁ θεασάμενος ἑστῶτα τὸν υἱὸν τοῦ ἀνθρώπου ... 81: Ὦ αὐτόπτα τοῦ μονογενοῦς, ἀνεῳχθέντων γάρ σοι τῶν οὐρανῶν εἶδες τὸν υἱὸν τοῦ ἀνθρώπου ...

120-121 Act. 7,55-56

καὶ πρὸς σὲ καλούμενον φαιδρῶς
ὡς νικητήν σε
πρὸς τὰ οὐράνια.

Παθῶν ἐπικλύσεσι
βεβυθισμένος
καὶ βίου τῷ κλύδωνι
ἀεὶ περιδονούμενος,
πανάγιε Στέφανε,
τὴν σὴν βοήθειαν
καὶ τὴν προστασίαν σου θερμῶς
ἐπικαλοῦμαι·
σῶσον τὸν δοῦλόν σου.

Λαμπτῆρα πολύφωτον
ἠγλαϊσμένον
πλουτήσας σε, Στέφανε,
τοῦ βίου τὰ προσκόμματα
δαιμόνων τε σκάνδαλα
καὶ πονηρεύματα
σκέπῃ τειχιζόμενος τῇ σῇ,
μάκαρ, παρέλθω
ἀνεπηρέαστος.

θεοτ. Ἐκ σοῦ ἀνατέταλκεν
ἡ σωτηρία,
ἐκ σοῦ πεφανέρωται
ἡ πάντων ἀπολύτρωσις,
παρθένε πανάμωμε
θεοχαρίτωτε·
ὅθεν ἱκετεύω σε τῇ σῇ
βεβαίᾳ σκέπῃ
ἀεί με φύλαττε.

---

145 ἀνεπερέαστον

---

137 Id., 52: ... ἀστὴρ ἡλίου φαεινότερος λάμπων ἐπὶ γῆς! 81: ... ὢ λαμπτὴρ τῷ πρωῒ ἀνατέλλων ...

f. 260 ᾠδὴ η΄. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Καταχωννύμενος ψυχὴν
ὥσπερ λίθοις τῶν παθῶν ταῖς ἐπομβρίαις
ἐπὶ σὲ καταφεύγω
τὸν ἐπὶ πέτραν ζωῆς
τὰς βάσεις
ἀσάλευτον ἔχοντα·
οἴκτειρόν με, σῶσον
πρεσβείαις σου, παμμάκαρ.

Ὡραιωθεὶς ταῖς καλλοναῖς
τῶν στιγμάτων σου, σοφέ, ἀγγελικήν σε
τοῦ προσώπου τὴν θέαν
τοῖς καθορῶσι σαφῶς
ἐδήλους
τῆς ἔνδοθεν χάριτος,
ἣ Χριστὸς ἀξίως
ἐδόξασέ σε, μάκαρ.

Σὲ τὸ ἀρνίον τοῦ Χριστοῦ,
τὸ τυθὲν ὑπὲρ αὐτοῦ, καθικετεύω,
ψυχοφθόρων με λύκων
ἐπιζητούντων ἀεὶ
λαβεῖν με
καὶ βρῶμα ποιήσασθαι,
Στέφανε παμμάκαρ,
ἐξάρπασον καὶ σῶσον.

θεοτ. Τὰ τῆς καρδίας μου, ἁγνὴ
θεοτόκε, χαλεπῶν ἴασαι πάθη
καὶ ματαίωσον πάντας
τοὺς κατ᾽ ἐμοῦ ἐχθρωδῶς,
παρθένε,

---

heirm. η΄ EE 35, n. 47, Joannis 158 τὸν] τοῦ 167 ἐδήλοις 169 ἦν 180 fort. χαλεπὰ

163-164 Gal. 6,17 164-167 Act. 6,15 171-172 Jer. 11,19

κινουμένους πάντοτε,
ἵνα σε δοξάζω
ἀεὶ εἰς τοὺς αἰῶνας.

f. 261 ᾠδὴ θ'. *Ἀνάρχου γεννήτορος*

Ἐκ λάκκου με, Κύριε,
ταλαιπωρίας, δέομαι,
ψυχοφθόρων πταισμάτων
καὶ περιστάσεων
καὶ πολυσχιδοῦς ἁμαρτίας
καὶ χαλεπῶν
κινδύνων καὶ πόνων
Στεφάνου ἀνάγαγε
ταῖς πρεσβείαις ὡς φιλάνθρωπος.

Φαιδρῶς αὐγαζόμενος
μαρμαρυγαῖς θεότητος
καὶ ταῖς ἄνω χορείαις
συνδιαιτώμενος
τοὺς ἐπὶ τῆς γῆς σε τιμῶντας
καὶ τῷ ναῷ
τῷ σῷ κληρωθέντας
καὶ παρακαλοῦντάς σε
πάσης βλάβης σῶζε, Στέφανε.

Ὁλόκληρον, Στέφανε,
λαὸν καὶ πόλιν λύτρωσαι

---

heirm. θ' EE 35, n. 46, Joannis 191 πολυσχεδοῦς 202 κληρωθέντες

196-197 Id., 74: Τὰς μὲν οὖν λαμπρὰς καὶ ὁλοφαεῖς τοῦ μάρτυρος τῶν μαρτύρων μαρμαρυγὰς ... αἱ ἱεραὶ βίβλοι... ἀπέφηναν· 80: ... ὥσπερ ἑωθινὸν φῶς αὐγάζων, καὶ τὰς φωτεινὰς μαρμαρυγὰς ἐμφανιζόμενος τοῖς ὁρῶσιν ἀπέλαμπεν·
198-199 Id., 52: ... ὁ ἐν γῇ διατρίβων καὶ ἐν οὐρανοῖς πολίτης ... 81: ... συνόμιλε τῶν Ἀγγέλων ...

187-188 Ps. 39,3

χαλεπῶν ἐκ κινδύνων
καὶ περιστάσεων,
τῷ φιλευσεβεῖ βασιλεῖ δὲ
τὴν κατ' ἐχθρῶν
νίκην πολεμίων
παράσχου πρεσβείαις σου,
θεοφόρε, πανσεβάσμιε.

θεοτ. Συντήρησον, δέσποινα,
ἐκ βλάβης τὰς ψυχὰς ἡμῶν
καὶ παντοίων σκανδάλων
τοῦ πολεμήτορος·
βράβευσον ἡμῖν τὴν εἰρήνην,
τὴν ὑπὲρ νοῦν
εἰρήνην τεκοῦσα,
ἵνα σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

27 DEC. *CANON* LIII

IN OCTAVAM NATIVITATIS IESU CHRISTI

Crypt. Δ.α. XIV = Cf, ff. 253-261v

Ὁ κανὼν μεθεόρτιος.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄσομαί σοι, Κύριε, ὁ Θεός μου*

« Δόξα ἐν ὑψίστοις » χοροὶ ἀγγέλων
ἐν Βηθλεὲμ τοῖς ποιμέσιν
ἐπέστησαν λέγοντες·
μεθ' ὧν τὸν εὐδοκήσαντα
σαρκωθῆναι ὑμνήσωμεν.

Ὅσοι τὴν γενέθλιον ἐκτελοῦμεν
τοῦ σαρκωθέντος δι' ἡμᾶς
χαρᾷ ἀνυμνήσωμεν
τὸν ὕμνον ἀναμέλποντες
τὸ « δόξα ἐν ὑψίστοις Θεῷ ».

θεοτ. Ἐν σοὶ πεφανέρωται, θεοτόκε,
ἡ ὑπερούσιος Τριάς·
Πατὴρ γὰρ εὐδόκησεν·
ὁ Λόγος σὰρξ ἐγένετο
βουλήσει θείου Πνεύματος.

---

tit. Ἕτερος κανὼν μεθεόρτιος
heirm. α' EE 103, n. 146, Germani

1-3 Luc. 2,14 13 Matth. 3,17; 17,5 14 Joh. 1,14

f. 254 ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Δόξα τῷ ἐκ παρθένου τεχθέντι
εἰς σωτηρίαν βροτῶν καὶ ἀνάπλασιν.

Αἶνος τῷ σαρκωθέντι ἀφράστως
καὶ τὸν Ἀδὰμ τῆς φθορᾶς λυτρωσάμενον.

Ὕμνος τῷ νηπιάσαντι Λόγῳ
καὶ τῆς ἀρᾶς τὸ χειρόγραφον λύσαντι.

Ἄγγελοι, σὺν ποιμέσι τὸν ὕμνον
τῷ εὐεργέτῃ Θεῷ μελουργήσατε.

Μάγοι σὺν τῷ ἀστέρι τὰ δῶρα
τῷ βασιλεῖ καὶ δεσπότῃ προσφέρουσι.

θεοτ. Ὢ τοῦ ἀφράστου σου τόκου,
παρθένε, κόσμος δι' οὗπερ πεφώτισται!

ᾠδὴ γ'. *Τόξον δυνατῶν ἠσθένησε*

Δεῦτε τοῦ Χριστοῦ τὴν γέννησιν
ὕμνοις ἀσιγήτοις προσκυνοῦντες βοήσωμεν·
τὸ εὐθές σου μὴ ἀντανέλῃς
ἀφ' ἡμῶν πνεῦμα, φιλάνθρωπε.

f. 254v || Δεῦτε τῇ σαρκώσει ἅπαντες
τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν
ἀγραυλοῦντες ὡς οἱ ποιμένες
θεοφρόνως ἑορτάσωμεν.

---

heirm. β' EA 21 (1901), 469; eisdem verbis ad ἦχ. β' in EE 44, n. 59, Germano tributus; et iterum in EE 168, n. 236, datur, ut ipsius Germani et ad ἦχ. πλ. β' pertinens 19 λυτρωσάμενον: sic pro λυτρωσαμένῳ 21 λύσαντα
heirm. γ' EE 102, n. 144, Cosmae

---

21 Col. 2,14 24-25 Matth. 2,11 30-31 Ps. 50,13 34 Luc. 2,8

Δεῦτε ἀστερολαμπόμενοι
τὸν δι' εὐσπλαγχνίαν νηπιάσαντα Κύριον
δωροφόροι ὥσπερ οἱ μάγοι
προσκυνήσωμεν γηθόμενοι.

θεοτ. Χαῖρε, ἡ τῆς Εὔας λύτρωσις,
χαῖρε τῶν πιστῶν τὸ καταφύγιον, ἄχραντε
θεοτόκε εὐλογημένη,
θλιβομένων ἡ ἀντίληψις.

f. 256 ᾠδὴ δ'. *Τῆς σῆς ἐπὶ τῆς γῆς παρουσίας, Χριστὲ ὁ Θεός,*

Τὴν ἄφραστον τοῦ θείου Λόγου συγκατάβασιν
τοῖς νοεροῖς προθεωρήσας ὀφθαλμοῖς Ἀμβακούμ,
« ἀπὸ Θαιμὰν », ἐκραύγαζεν,
« ἥξει ὁ Θεός, ὁ σωτὴρ ἡμῶν ».

Μετὰ τῶν μάγων τὸν τεχθέντα προσκυνήσωμεν
καὶ μετὰ ἀγγέλων καὶ ποιμένων συγχορεύσωμεν
θεοπρεπῶς κραυγάζοντες·
« δόξα ἐν ὑψίστοις τῷ πάντων Θεῷ ».

Τὴν φάτνην τὴν θεοδόχον περιεκύκλωσαν
στρατιαὶ τῶν ἀσωμάτων, υἱὲ τοῦ Θεοῦ,
τὸν ὑπὲρ λόγον τόκον δὲ
τρόμῳ καὶ ἐκπλήξει ἐδόξαζον.

θεοτ. Τὴν φύσιν ἡμῶν ὕψωσας, παρθένε ἁγνή,
διὰ τῆς σῆς κυοφορίας, θεόνυμφε·
διό σοι πάντες κράζομεν·
« χαῖρε, ἡ χαρὰ τῶν ἀνυμνούντων σε ».

heirm. δ' EE 104, n. 146, Germani
heirm. 1 τῆς γῆς: τῆς om. EE

38-39 Cfr. sup. v. 24-25 45-47 Hab. 3,3

f. 257 ᾠδὴ ε'. *Ὁ ἀνατείλας τὸ φῶς*

Ὁ ἀνατείλας ἡμῖν
τοῖς ἐν σκότει τὸ φέγγος
τῆς σῆς θεογνωσίας,
δόξα σοι, δόξα σοι,
υἱὲ τοῦ Θεοῦ καὶ Λόγε.

Ὁ τὴν τοῦ δούλου μορφὴν
ἐνδυσάμενος, Λόγε,
ἐκ μήτρας παναγίας,
δόξα σοι, δόξα σοι,
υἱὲ τοῦ Θεοῦ καὶ Λόγε.

Ὁ ἐν τῇ φάτνῃ τεθεὶς
τῶν ἀλόγων, σωτήρ μου,
καὶ σπάργανα φορέσας,
δόξα σοι, δόξα ⟨σοι⟩,
υἱὲ τοῦ Θεοῦ καὶ Λόγε.

θεοτ. Ὁ σαρκωθεὶς ἐκ μητρὸς
παναγίας καὶ σώσας
τὸ γένος τῶν ἀνθρώπων,
δόξα σοι, δόξα σοι,
Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ.

f. 257v ᾠδὴ ς'. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Ἐβόησαν
ἐν σπηλαίῳ τὸ μέγα μυστήριον
τελεσθέντα

heirm. ε' EE 104, n. 146, Germani 73 σοι addidi
heirm. ς' EE 125, n. 172, anonymi 82 sic pro τελεσθὲν

60-61 Is. 9,1; Matth. 4,16 65-66 Philip. 2,7 70-72 Luc. 2,7

τῶν ἀγγέλων αἱ τάξεις θεώμεναι,
« ἐν ὑψίστοις δόξα
τῷ Θεῷ » ἀσιγήτως κραυγάζουσαι.

Ηὐδόκησας
ἐκ παρθένου τεχθῆναι ὡς ἄνθρωπος
ἐπ' ἐσχάτων,
ἐκ πατρὸς πρὸ αἰώνων τεχθεὶς ὡς Θεός,
ἵνα τὸν φθαρέντα
ἀναπλάσῃ 'Αδὰμ ὡς φιλάνθρωπος.

'Επέστησαν
ἐκπληττόμεναι τάξεις οὐράνιαι
f. 258 τῷ σπη||λαίῳ
καὶ τὸν τόκον τὸν ἄχραντον ὕμνησαν
ἀσιγήτως « δόξα
ἐν ὑψίστοις Θεῷ » ἀναμέλπουσαι.

θεοτ. Τὸ « χαῖρέ » σοι
ἀσιγήτως, παρθένε, κραυγάζομεν·
διὰ σοῦ γὰρ
ἐκ φθορᾶς καὶ θανάτου ἐρρύσθημεν
λυτρωτὴν τεκούσης
καὶ Θεὸν ἀληθῆ τῶν ψυχῶν ἡμῶν.

f. 259 ᾠδὴ ζ'. *Εὐλογητὸς εἶ, Χριστέ,*
ὁ τοὺς ὁσίους σου παῖδας
ἐν Βαβυλῶνι δροσίσας

Εὐλογητὸς εἶ, Χριστέ,
ὁ διὰ σπλάγχνα ἐλέους
ἐνανθρωπήσας καὶ σώσας
ἐκ πλάνης καὶ φθορᾶς τοὺς γηγενεῖς
καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

---

102 τεκοῦσαν
heirm. ζ' in heirmologiis editis non apparet; hunc integrum in Theot. Marc. 252 invenies; in AHG VIII, 269 et in AHG X, 197

83-84, 95-97 Cfr. sup. vv. 1-3 105 Luc. 1,78

Τὸν κατ' εἰκόνα, Χριστέ,
τῆς τῶν παθῶν ἀλογίας
ἀπολυτρῶσαι βουλόμενος
καὶ μήτραν ὑποδὺς παρθενικήν,
σήμερον ἐτέχθης ἐκ τῆς παρθένου.

Εὐλογητὸς εἶ, Χριστέ,
ὁ παραδείσου τὰς πύλας
ἐν τῷ σπηλαίῳ τεχθεὶς
f. 259v καὶ ὑπανοίξας τοῖς ἐν σκότει καὶ || σκιᾷ
προκαθεζομένοις ὡς ἐλεήμων.

θεοτ. Εὐλογητὸς εἶ, Χριστέ,
ὁ ἐκ παρθένου ἁγίας
φανεὶς ἐν κόσμῳ καὶ ταύτην
φυλάξας μετὰ τόκον ὥσπερ ἦν,
ὁ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

f. 260 ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Αἱ δυνάμεις τῶν οὐρανῶν,
ἄγγελοι,
ἀρχάγγελοι, ἀρχαί,
τὰ Χερουβὶμ καὶ Σεραφίμ,
ἐξουσίαι τε καὶ δυνάμεις,
κυριότητες, θρόνοι,
ἑξαπτέρυγα, ζῷα, δοξάζουσι
τὸν ἐν τῷ σπηλαίῳ
τεχθέντα Θεὸν Λόγον.

Χαίρει κόσμος ἐπὶ τῇ σῇ,
ἄχραντε,
γεννήσει καὶ σκιρτᾷ·
μάγοι προσφέρουσι τῷ σῷ
τόκῳ δῶρα ἐκ τῆς Περσίδος·
ἀγραυλοῦσι ποιμένες·

---

heirm. η' EE 107, n. 150, Andreae

---

109 Gen. 1,26 117-118 Cfr. sup. vv. 60-61 136-137 Cfr. sup. v. 24-25 138 Luc. 2,8

τῶν ἀγγέλων αἱ τάξεις θεώμεναι,
« ἐν ὑψίστοις δόξα
τῷ Θεῷ » ἀσιγήτως κραυγάζουσαι.

Ηὐδόκησας
ἐκ παρθένου τεχθῆναι ὡς ἄνθρωπος
ἐπ' ἐσχάτων,
ἐκ πατρὸς πρὸ αἰώνων τεχθεὶς ὡς Θεός,
ἵνα τὸν φθαρέντα
ἀναπλάσῃ Ἀδὰμ ὡς φιλάνθρωπος.

Ἐπέστησαν
ἐκπληττόμεναι τάξεις οὐράνιαι
f. 258 τῷ σπη||λαίῳ
καὶ τὸν τόκον τὸν ἄχραντον ὕμνησαν
ἀσιγήτως « δόξα
ἐν ὑψίστοις Θεῷ » ἀναμέλπουσαι.

θεοτ. Τὸ « χαῖρέ » σοι
ἀσιγήτως, παρθένε, κραυγάζομεν·
διὰ σοῦ γὰρ
ἐκ φθορᾶς καὶ θανάτου ἐρρύσθημεν
λυτρωτὴν τεκούσης
καὶ Θεὸν ἀληθῆ τῶν ψυχῶν ἡμῶν.

f. 259 ᾠδὴ ζ'. *Εὐλογητὸς εἶ, Χριστέ,*
ὁ τοὺς ὁσίους σου παῖδας
ἐν Βαβυλῶνι δροσίσας

Εὐλογητὸς εἶ, Χριστέ,
ὁ διὰ σπλάγχνα ἐλέους
ἐνανθρωπήσας καὶ σώσας
ἐκ πλάνης καὶ φθορᾶς τοὺς γηγενεῖς
καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

102 τεκοῦσαν
heirm. ζ' in heirmologiis editis non apparet; hunc integrum in Theot. Marc. 252 invenies; in AHG VIII, 269 et in AHG X, 197

83-84, 95-97 Cfr. sup. vv. 1-3 105 Luc. 1,78

Τὸν κατ' εἰκόνα, Χριστέ,
τῆς τῶν παθῶν ἀλογίας
ἀπολυτρῶσαι βουλόμενος
καὶ μήτραν ὑποδὺς παρθενικήν,
σήμερον ἐτέχθης ἐκ τῆς παρθένου.

Εὐλογητὸς εἶ, Χριστέ,
ὁ παραδείσου τὰς πύλας
ἐν τῷ σπηλαίῳ τεχθεὶς
f. 259v καὶ ὑπανοίξας τοῖς ἐν σκότει καὶ || σκιᾷ
προκαθεζομένοις ὡς ἐλεήμων.

θεοτ. Εὐλογητὸς εἶ, Χριστέ,
ὁ ἐκ παρθένου ἁγίας
φανεὶς ἐν κόσμῳ καὶ ταύτην
φυλάξας μετὰ τόκον ὥσπερ ἦν,
ὁ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

f. 260 ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Αἱ δυνάμεις τῶν οὐρανῶν,
ἄγγελοι,
ἀρχάγγελοι, ἀρχαί,
τὰ Χερουβὶμ καὶ Σεραφίμ,
ἐξουσίαι τε καὶ δυνάμεις,
κυριότητες, θρόνοι,
ἑξαπτέρυγα, ζῷα, δοξάζουσι
τὸν ἐν τῷ σπηλαίῳ
τεχθέντα Θεὸν Λόγον.

Χαίρει κόσμος ἐπὶ τῇ σῇ,
ἄχραντε,
γεννήσει καὶ σκιρτᾷ·
μάγοι προσφέρουσι τῷ σῷ
τόκῳ δῶρα ἐκ τῆς Περσίδος·
ἀγραυλοῦσι ποιμένες·

heirm. η' EE 107, n. 150, Andreae

109 Gen. 1,26 117-118 Cfr. sup. vv. 60-61 136-137 Cfr. sup. v. 24-25 138 Luc. 2,8

καὶ ἡμεῖς σὺν ἀγγέλοις ἐπᾴδομεν·
« δόξα ἐν ὑψίστοις Θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη ».

Σὲ ὑμνοῦμεν οἱ γηγενεῖς,
δέσποτα
φιλάνθρωπε Χριστέ,
τὸν διὰ σπλάγχνα οἰκτιρμῶν
ἐκ παρθένου σαρκὶ τεχθέντα
καὶ ἐν φάτνῃ ἀλόγων
ἑαυτὸν ὑποδύντα καὶ σώσαντα
ἐκ τῆς πρωτογόνου
ἀρᾶς τὸν κόσμον ὅλον.

f. 260v θεοτ. * || Τίς ὑμνήσει σε γηγενῶν,
ἄσπιλε
ἁγνὴ περιστερά,
τίς κατ' ἀξίαν ἱκανή;
σὺ γὰρ τίκτεις καὶ μετὰ τόκον
πάλιν μένεις παρθένος·
δόξα οὖν τῇ ἁγίᾳ συλλήψει σου,
δόξα τῇ γεννήσει,
δόξα τῇ παρθενίᾳ.

f. 261 ᾠδὴ θ'. *Μωυσῆς ἐν τῷ ὄρει*
ἄφλεκτον τὴν βάτον ἑώρακε·
'Ιωσὴφ ἐν σπηλαίῳ
ἄφθορον τὸν τόκον ἐθεάσατο·
ἀπείρανδρε κόρη,
ἀνύμφευτε μῆτερ,
ὕμνοις σε μεγαλύνομεν.

Τὸν ἀστέρα οἱ μάγοι
ἰδόντες δρόμῳ ξένῳ τούτῳ παρείποντο,
τὸν τεχθέντα ἐπιζητοῦντες·

151-159 θεοτ. Anth I, τϟθ' 154 τίς οὐ Anth ἱκανεῖ
heirm. θ' EE 103, n. 145, Joannis heirm. 5 ἀνύμφευτε μήτηρ EE
6 ἀλόχευτε κόρη EE 7 σε μεγαλύνομεν] σέ, θεοτόκε, μεγαλύνομεν EE
161 τοῦτο

139-141 Cfr. sup. vv. 1-3 160-165 Matth. 2,9-11

ὃν εὑρόντες δώροις ἐτίμησαν,
χρυσῷ τε λιβάνῳ
καὶ σμύρνῃ, βοῶντες·
« δόξα τῷ τεχθέντι Θεῷ ».

Τὸν ἀρρήτως πρὸ τῶν αἰώνων
f. 261v φύντα Λόγον || τε καὶ Υἱὸν ἐκ Πατρὸς
τὸν αὐτὸν ἐπ' ἐσχάτων σαρκὶ
σήμερον παρθένος ἐκύησεν·
ὃν τάξεις ὑμνοῦσαι
ἀγγέλων ἐβόων·
« δόξα ἐν ὑψίστοις Θεῷ ».

Τῷ τεχθέντι ἐκ τῆς παρθένου
πᾶσα κτίσις τρόμῳ ὑπούργησεν·
οὐρανοὶ μὲν τὸν ἀστέρα,
γῆ τὴν φάτνην, ὄρη τὸ σπήλαιον,
οἱ μάγοι τὰ δῶρα,
ποιμένες τὸ θαῦμα,
ἄγγελοι τὸν ὕμνον φρικτῶς.

θεοτ. Καταχρέως σε πάντες,
μήτηρ τοῦ Θεοῦ, μακαρίζομεν
— διὰ σοῦ γὰρ τῆς πάλαι
λέλυται κατάρας καὶ σέσωσται
ἡ βρότειος φύσις —
καὶ πίστει σοι, ἁγνή,
« χαῖρε » ἀεὶ κραυγάζομεν.

---

171 ὑμνοῦσιν 172 ἐβόουν

183-185 Gal. 3,13

IN SANCTUM STEPHANUM THAUMATURGUM

Synaxarium, 354: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Σ τ ε φ ά ν ο υ.

Crypt. Δ.α. XIV = Cf, ff. 263ᵛ-269ᵛ
Crypt. Δ.α. IV = Ce, ff. 213-215
Vatic. gr. 2069 = Vb, ff. 106ᵛ-107ᵛ

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος*

Λαμπρύνας φωτοποιοῖς χαρίσμασιν
ὁ φωτοδότης Χριστὸς
τὴν φωτοφόρον μνήμην σου ἡμῖν,
θεοφόρε, ἀνέτειλε
τὴν οἰκουμένην ἅπασαν
θαυματουργίαις καταυγάζουσαν.

Στεφάνῳ τῶν ἀρετῶν κατέστεψε
τὴν ἱερὰν κορυφὴν
σοῦ, θεοφόρε πάτερ, ὁ τεχθεὶς
ἐν σπηλαίῳ Χριστὸς ὁ Θεός·
καὶ γὰρ αὐτοῦ τοῖς ἴχνεσι
τοῖς ζωηφόροις ἠκολούθησας.

---

tit. Ἕτερος κανὼν τοῦ ὁσίου Στεφάνου Cf Τῇ ἑσπέρᾳ κανὼν τοῦ ὁσίου στεφάνου τοῦ θαυματουργοῦ Ce Μηνὴ τῷ αὐτῷ κη' ... εἰς τὸ Μεσονυκτικὸν κα-(νὼν) τοῦ ὁσίου Στεφάνου τοῦ θαυματουργοῦ Vb
heirm. α' EE 94, n. 133, Joannis 7 Στεφάνων τῶν σῶν (....) κατέστεψας Cf 9 τεχθεὶς] τεχεὶς Ce Vb

Νεκρώσας τὰς ἡδονὰς τοῦ σώματος
δι' ἐγκρατείας πολλῆς
πρὸς οὐρανὸν τὸ ὄμμα τῆς ψυχῆς
καθαρῶς ἀνεπτέρωσας
καὶ τῆς ζωῆς ἐπέτυχες
τῆς ἀθανάτου, πάτερ Στέφανε.

θεοτ. Πτωχεύει ὁ κατὰ φύσιν πλούσιος
δι' ἀγαθότητα
f. 264 || ἐκ σοῦ, παρθένε, σάρκα προσλαβὼν
καὶ σπαργάνοις εἱλίσσεται
ὁ περιβάλλων νέφεσι
τὸν οὐρανὸν Χριστὸς ὁ Κύριος.

f. 264ᵛ || ᾠδὴ β'. *Δῶμεν μεγαλωσύνην*

Παθῶν ἀποκαθάρας
τὴν ψυχήν σου, παμμακάριστε,
ἔσοπτρον ὤφθης τοῦ παρακλήτου
τὰς καθαρὰς εἰσδεχόμενος αὐγάς.

Τραφεὶς τῆς ἐγκρατείας
τῷ ἀδόλῳ, πάτερ, γάλακτι
ἔφθασας μέτρον τῆς ἡλικίας
τοῦ δι' ἡμᾶς σαρκωθέντος λυτρωτοῦ.

Πηγῆς ἐξ ἀενάου
τῆς σοροῦ σου ῥεῖθρον πρόεισι
τῶν ἰαμάτων, θεόφρον πάτερ,
καὶ παθημάτων ξηραίνει ὀχετούς.

13-18 trop. om. Ce Vb
heirm. β' EE 94, n. 133, Joannis 25-40 ode β' desideratur in Ce Vb

---

13 IV Mac. 5,23 19 II Cor. 8,9 23-24 Ps. 146,8

θεοτ. Ὁ Λόγος, θεομῆτορ,
τοῦ Πατρὸς ἐκ σοῦ σεσάρκωται
καὶ ἐν ἀλόγων ἐτέθη φάτνῃ,
τῆς ἀλογίας ῥυσάμενος ἡμᾶς.

f. 265 ᾠδὴ γʹ. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἱδρῶσιν ἀσκητικοῖς
τὴν τῶν παθῶν πυρκαϊὰν ἔσβεσας·
ὅθεν Χριστοῦ γέγονας,
πάτερ, οἰκητήριον, Στέφανε.

Τῇ νεύσει τῇ πρὸς Θεὸν
ἀπογαιούμενος σαρκὶ ἄσαρκον
βίον σαφῶς ἔσχηκας,
πάτερ, τοὺς ἀγγέλους μιμούμενος.

Ὡς ὄρθρος πανευπρεπής,
ὥσπερ ἀστὴρ ἀειφανὴς ἔφανας
τῶν μοναστῶν τάγμασι,
πάτερ ἀξιάγαστε Στέφανε.

θεοτ. Στερέωσόν μου τὸν νοῦν
περιτρεπόμενον πολλοῖς πάθεσι
καὶ τὴν ψυχήν μου φώτισον,
μήτηρ τοῦ φωτός, ἀειπάρθενε.

f. 266 ᾠδὴ δʹ. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία*

Τῆς ἀγάπης διαπρέπων καλλοποιίαις
τὴν ἀψευδῆ ταπείνωσιν
σύνοικον ἐκτήσω·

---

heirm. γʹ EE 94, n. 133, Joannis 46 ἀπογαιούμενος] ἀπονεούμενος Ce Vb 49-52 trop. om. Ce Vb 56 μῆτερ Ce Vb
heirm. δʹ EE 94, n. 133, Joannis 59 ἐκτίσω Vb

37-38 Joh. 1,14

ὅθεν διακρίσεως
πυρσὸς ὤφθης ἄσβεστος,
πάτερ ἱερώτατε Στέφανε.

Ἀπελαύνεται τῇ μάστιγι τῶν εὐχῶν σου
δαιμονικὰ συστήματα
καὶ τῆς ἐνεργείας
τούτων ἐγκαθαίρονται
οἱ πίστει προστρέχοντες,
μάκαρ, τῇ σορῷ τῶν λειψάνων σου.

Ὁλονύκτοις ἀγρυπνίαις ἐγκαρτερήσας
τὸ ὀπτικὸν ἐκάθαρας
σοῦ τῆς διανοίας
καὶ ταῖς ἀναβάσεσι
ταῖς θείαις θεούμενος
ὤφθης τῶν ἀγγέλων ὁμότιμος.

θεοτ. * Ὁ θελήματι τὰ πάντα δημιουργήσας
δημιουργεῖται θέλων
ἐκ σοῦ ὑπὲρ λόγον
σῴζων, ἀπειρόγαμε,
τοὺς πίστει κραυγάζοντας·
« δόξα τῇ δυνάμει σου, Κύριε ».

f. 266v ᾠδὴ εʹ. *Σύ, Κύριέ μου, φῶς*

Σὺ στέφανος, Χριστέ,
τοῦ ὁσίου καὶ καύχημα·
σύ, ἅγιε, ἐν ἁγίοις
κατηρίθμησας τοῦτον
καλῶς ἀγωνισάμενον.

---

63 Ἀπελαύνετε Cf 69-74 trop. deest in Ce Vb 75-80 θεοτ. MR I, 547 77 ἐξ ἁγνῶν σου αἱμάτων MR
heirm. εʹ EE 94, n. 133, Joannis 83 ἐν] σὺν Cf 84 τούτων Vb

Σοῦ, Κύριε, φωτὶ
πορευθεὶς ὁ θεράπων σου
παρέδραμεν ἀχειμάστως
τῶν παθῶν τὴν ὁμίχλην
χειρί σου κυβερνώμενος.

Σὸν πάθος, ἀγαθέ,
τὸ σεπτὸν καὶ μακάριον
ἐπόθησε· διὰ τοῦτο
ἐσταυρώθη τῷ κόσμῳ
ὁ ὅσιος θεράπων σου.

θεοτ. * Φῶς ἄχρονον ἡμῖν
τοῦ πατρὸς τὸ ἀπαύγασμα
γεγέννηκας ὑπὸ χρόνον
ἀγαθότητος πλούτῳ
γενόμενον, πανάμωμε.

f. 267 ᾠδὴ ϛ΄. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, Κύριε,

Στεφάνῳ
τῶν χαρίτων Χριστὸς ἐστεφάνωσε
τὴν ἱερὰν κορυφήν σου
ὡς τοῦ πρωτομάρτυρος, ἔνδοξε,
οὗ τὴν κλῆσιν
καὶ τὴν χάριν ὁσίως ἐπλούτησας.

Δακρύων
ὀχετοῖς ἐπιρροίας ἐξήρανας
τῶν θολερῶν παθημάτων

---

86 Σοῦ] Σῷ Ce Vb   91-95 trop. om. Ce Vb   96-100 θεοτ. MR I, 548; AHG III, 104
heirm. ϛ΄ EE 94, n. 133, Joannis   106 ἐπλούτισας Cf Ce   108 ἐπιρρύας Cf

---

101-103 Pr. 1,9

καὶ πηγὴ ἐδείχθης τῆς ἀπαθείας
ἰαμάτων
ποταμοὺς τοῖς πιστοῖς ἀναβλύζουσα.

Καρδίαν
ἐκκαθάρας παθῶν τῶν τοῦ σώματος
ἱερουργὸς ἀνεδείχθης
ἀναιμάκτους φέρων, πάτερ, θυσίας
τῷ τυθέντι
ἑκουσίως εἰς κόσμου καθάρσιον.

θεοτ. Ῥῆξόν μοι
τὸ δεινὸν τῶν πταισμάτων χειρόγραφον·
τῶν λογισμῶν μου τὴν ζάλην
καὶ παθῶν, παρθένε, τὴν τρικυμίαν
εἰς γαλήνην
τῇ πρεσβείᾳ σου, κόρη, μετάβαλε.

f. 268 ᾠδὴ ζ΄. *Ἐν τῇ καμίνῳ*

Ἐν τῇ καμίνῳ
τῶν πειρασμῶν, σοφέ, πυρούμενος
ὤφθης
καθαρὸν χρυσίον καὶ θησαυροῖς
οὐρανίοις τεθησαύρισαι,
« εὐλογητὸς εἶ
ὁ Θεός μου », κραυγάζων, « καὶ Κύριος ».

Ἐν διεξόδοις
ἀσκητικῶν ὑδάτων τέθηλας
δένδρον

113-118 trop. deest in Ce Vb   119 μου Ce Vb   124 μετάβαλαι Ce Vb
post oden ϛ΄ initium tantum καθ. « Κανόνα πίστεως » praebet Ce
heirm. ζ΄ EE 94, n. 133, Joannis   126 πυρπολούμενος Ce Vb
128 καθαρὸς Cf   129 οὐρανίοις] ἐπουρανοῖς Vb   τεθησαύρισται Cf

---

119-120 Col. 2,14   132-135 Ps. 1,3

παγκαρπίαν φέρων τῶν ἀρετῶν,
αἷς ἐκτρέφονται οἱ ψάλλοντες·
« εὐλογητὸς εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε ».

Τῆς ἀειζώου
κατηξιώθης, πάτερ, λήξεως,
ὅρμῳ
γαληνῷ προσώρμησας ἀληθῶς,
βασιλείαν τὴν ἀσάλευτον
καὶ κλῆρον εἴληφας
ἀντὶ κόπων ὧν εἶδες καὶ θλίψεων.

θεοτ. Τοῦ βασιλέως
τοῦ ἀθανάτου μήτηρ γέγονας,
μόνη
ἐκλεκτὴ φανεῖσα ἐκ γενεῶν·
διὰ τοῦτό σοι κραυγάζομεν·
« εὐλογημένη σὺ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε ».

f. 268v ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Ποιμὴν θεοπρόβλητος ἐγένου,
ποιμάνας πανευσεβῶς ἔργοις καὶ λόγοις σου
μάνδραν πρὸς οὐράνιον,
χλόην πρὸς ἀθάνατον
τὴν ἱεράν σου, Στέφανε,
ποίμνην κραυγάζουσαν·
« τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Κλῆμα θεοφύτευτον ὠράθης
ἐκφέρων τῶν ἀρετῶν, πάτερ, τοὺς βότρυας

137 post εὐλογ(ημένος) orat. varie abrumpunt cdd. 139-145 trop. om. Ce Vb 145 ὧν iteratur in Cf

heirm. η' EE 100, n. 141, Joannis 159 post ὑμνεῖτε orat. abrumpunt cdd.

οἶνον τοὺς προχέοντας,
μάκαρ, κατανύξεως
καὶ ἰαμάτων νάματα
τοὺς ἀναβλύζοντας
τοῖς πίστει σε τιμῶσι, θεόφρον,
καὶ ὑπερυψοῦσιν
εἰς πάντας τοὺς αἰῶνας.

Λύχνος διακρίσεως ὑπῆρξας,
ἀγάπης τελείας καταγώγιον,
ὕψος ταπεινώσεως,
πύργος ἀπροσμάχητος
ταῖς ἐναντίαις, ὅσιε,
πάσαις δυνάμεσι·
τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

269 θεοτ. * ‖ Νεφέλη τὸν ὄμβρον δεξαμένη
τῆς ὅλης θεότητος, πανάμωμε,
ὄμβρισον ῥανίδα μοι,
πάναγνε, ἀφέσεως
ἐπιρροὰς ξηραίνουσα
τῆς ἁμαρτίας μου,
παθῶν τοὺς ποταμοὺς χαλινοῦσα,
ἵνα σε δοξάζω
εἰς πάντας τοὺς αἰῶνας.

f. 269v ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Πέτρᾳ νοητῇ τῆς καρδίας
ἐπερειδόμενος τὰς βάσεις
πάσαις προσβολαῖς τῶν δαιμόνων

168 θεόφρον] παμμάκαρ Ce Vb 169 post ὑπ(ερυψοῦσιν) orat. abrumpunt cdd. 171-179 trop. om. Ce Vb 177 post ὑμ(νεῖτε) orat. detruncatur in cdd. 180-188 θεοτ. PID οβ' 184 ἐπιροαῖς Cf

heirm. θ' EE 94, n. 133, Joannis 189 Πέτρᾳ] Πατέρα Vb

164-165 Ps. 59,5 180 Num. 11,25

οὐκ ἐσαλεύθης, θεόφρον Στέφανε·
διὸ τῆς νίκης στέφανον
ὡς νικητὴς σαφῶς ἀπείληφας.

Οὐκέτι, μακάριε πάτερ,
ὡς ἐν ἐσόπτρῳ κατοπτεύεις
τὸ ἀκατανόητον κάλλος,
αὐταῖς δὲ μᾶλλον ὁρᾷς ταῖς ὄψεσι,
διαλυθέντων, ὅσιε,
τῇ ἀληθείᾳ τῶν ἐμφάσεων.

Νόσους ἀπελαύνεις παντοίας,
δαιμονικὰς φάλαγγας τρέπεις·
σὲ γὰρ ὡς καλῶς τὸν ἀγῶνα
τετελεκότα θείοις χαρίσμασιν
ὁ πλαστουργὸς ἐπλούτισε,
θαυματοφόρε πάτερ Στέφανε.

Σὺ ὡς τοῦ πρωτάθλου τὴν κλῆσιν
καὶ τὴν πραότητα πλουτήσας,
πάτερ, μετὰ μίαν ἡμέραν
τῆς τούτου μνήμης ἐκ γῆς μεθέστηκας·
μεθ' οὗ ἡμῶν μνημόνευε
τῶν εὐσεβῶς ἀνευφημούντων σε.

θεοτ. * Ῥάβδος ἀνεβλάστησας ῥίζης
τοῦ Ἰεσσαί, θεογεννῆτορ,
ἄνθος τῆς θεότητος, Χριστόν,
ἡμῖν τεκοῦσα, πάναγνε δέσποινα,
τὸν ὡς Θεὸν ἀχώρητον
καὶ νῦν ὡς βρέφος σπαργανούμενον.

199-200 διαλυθέντων . . . τῶν ἐμφάσεων: constructio non rara apud Byzantinos   201-206 trop. deest in Ce Vb   203 καλὸς Cf   207-212 trop. deest in Vb   208 πλουτίσας cdd.   213-218 θεοτ. MR II, 736   216 δέσποινα] σήμερον MR   218 σπαργανούμενος Cf

---

195-198 I Cor. 13,12   203-204 II Tim. 4,7   213-215 Is. 11,1

IN OCTAVAM NATIVITATIS IESU CHRISTI

Crypt. Δ.α. XIV = Cf, ff. 263-269v

Ὁ κανὼν μεθεόρτιος.

Ἦχος γ'.

ᾠδὴ α'. *Ἄσωμεν τῷ Κυρίῳ*
τῷ ποιήσαντι

Ἄσωμεν τῷ Κυρίῳ
τῷ ἐκ τῆς παρθένου
f. 263v γεννηθέντι ‖ σήμερον
καὶ σώσαντι τὸν κόσμον
καὶ σαρκὶ πτωχεύσαντι
χρηστότητος πλούτῳ
καὶ γένος τὸ ἀνθρώπινον
πλουτίσαντι θεότητα·
ἐνδόξως γὰρ δεδόξασται.

Ἀνατολὴν ἐξ ὕψους
τῆς ἀρρήτου δόξης
μυστικῶς θεώμενοι
ἡμῖν ἐπιφανεῖσαν
φωτὶ πλησιάσωμεν
πολιτείας ἐνθέου,

---

tit. Ἕτερος κανὼν μεθεόρτ(ιος)
heirm. α' EE 78, n. 111, Germani   8 πλουτήσαντι

---

5 II Cor. 8,9   6 Rom. 2,4   10 Luc. 1,78

υἱοὶ φωτὸς γενόμενοι,
καὶ εἰς ὁδὸν εἰρήνης Θεοῦ
ἑαυτοὺς κατευθύνωμεν.

Μετὰ τῶν ποιμένων
τὸν ἀμνὸν τοῦ Θεοῦ
πάντες προσκυνήσωμεν
τεχθέντα ἐκ παρθένου·
αὐτὸς γὰρ ποιμὴν ἡμῶν
ἐστὶ καὶ δεσπότης,
ἐν τῇ μάνδρᾳ τῆς χάριτος
ἡμᾶς ἀσφαλισάμενος
ὡς μόνος παντοδύναμος.

θεοτ. Ὑμνοῦμέν σε, ἁγία
παρθενομῆτορ ἁγνὴ
Θεοῦ τοῦ ποιήσαντος
τὰ ὄντα ἐκ μὴ ὄντων,
ὡς αὐτῷ δανείσασαν
τὴν σάρκα, ἣν οὐκ εἶχεν,
εἰς πάντων σωτηρίαν ἡμῶν
τῶν πίστει ἀνυμνούντων σε
θεοτόκον πανάχραντον.

f. 264 ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Δῶμεν μεγαλωσύνην Κυρίῳ
τῷ σαρκωθέντι σήμερον ἐκ παρθένου.

Ἔχοντες ὡς ἀστέρα τὴν πίστιν
τὸν ἐκ παρθένου δεσπότην προσκυνοῦμεν.

Σήμερον ἐκ παρθένου ἐτέχθη
ὁ συνυπάρχων Πατρὶ πρὸ τῶν αἰώνων.

heirm. β' ΕΕ 78, n. 110, Germani 32 δανείσασα 37 Δόσωμεν

16 Joh. 12,36; I Thes. 5,5

Δῶρά σοι προσεκόμισαν μάγοι,
ὅτε ἐτέχθης, Χριστέ, ἐκ τῆς παρθένου.

Χορεύσωμεν μετὰ τῶν ἀσωμάτων
βοῶντες· « δόξα Θεῷ τῷ ἐν ὑψίστοις ».

θεοτ. Ὑμνήσωμεν τὸν ἀπάτορα τόκον
τοῦ πρὸ αἰῶνος ἀμήτορος δεσπότου.

f. 264v ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ*

Ἐν τῇ φάτνῃ τῶν ἀλόγων ἀνακειμένου
ἐν σαρκὶ τοῦ Λόγου τοῦ πρὸ αἰώνων
τῆς ἀλογίας ἐρρύσθημεν
οἱ ἐπιγνόντες αὐτόν.

Ὁ ἀναφὴς σπαργάνοις ἐνειλημένος
f. 265 τὰς σειρὰς || διέλυσε τῶν πταισμάτων
καὶ ἀφθαρσίᾳ συνέδησε
τὴν ζωὴν ἡμῶν.

Οἱ οὐρανοὶ τὴν δόξαν τοῦ γεννηθέντος
τῇ προβολῇ φθεγγόμενοι τοῦ ἀστέρος
πάντα τὰ ἔθνη συνήγαγον
τοῦ προσκυνῆσαι αὐτόν.

Ἐκ τῆς ἁγίας σήμερον θεοτόκου
προελθεῖν εὐδόκησεν ἐν σπηλαίῳ
ὁ τοῦ κόσμου Κύριος
καὶ Θεὸς ἡμῶν.

θεοτ. * Ἡ τὸν Θεὸν ἐν μήτρᾳ σου δεξαμένη
καὶ τεκοῦσα τοῦτον σεσαρκωμένον,
θεοτόκε, ἱκέτευε
τοῦ σωθῆναι ἡμᾶς.

48 ἀμητόρως
heirm. γ' ΕΕ 78, n. 110, Germani 65-68 θεοτ. MR VI, 113; AHG X, 141 65 Ἡ om. cd.

47-48 Hebr. 7,3 57-58 Ps. 18,1

f. 265v ᾠδὴ δ'. *Τὴν ἀκοήν σου, Κύριε,*
εἰσακήκοα καὶ ἐφοβήθην

Τὸ ὑπὲρ νοῦν μυστήριον
ἀρετῇ τοὺς οὐρανοὺς καλύψαν,
τὴν σάρκωσιν
ἑορτάζοντες τοῦ Κυρίου,
τὰ τῆς σαρκὸς ἀπορρίψαντες πάθη,
μυστικαῖς θεωρίαις
ἐνθέως τρυφήσωμεν.

Ὥσπερ χρυσὸν καὶ λίβανον
μετὰ σμύρνης προσήγαγον πάλαι
οἱ μάγοι νῦν
καὶ ἡμεῖς προσάξωμεν δῶρα
πίστιν, ἐλπίδα καὶ θείαν ἀγάπην
ἐπὶ γῆς γεννηθέντι
Χριστῷ τῷ Θεῷ ἡμῶν.

Τὸν ἐπὶ γῆς οὐράνιον
γεννηθέντα ὑμνήσωμεν Λόγον,
ἑνώσαντα
οὐρανοὺς τῇ γῇ παραδόξως
καὶ συνομίλους ἀγγέλοις ἀνθρώπους
εὐσεβεῖ ἐπιγνώσει
ποιήσαντα σήμερον.

f. 266 θεοτ. ‖ Ὁ ἐνοικήσας, ἄμωμε,
ἐν γαστρί σου ἀόρατος Λόγος
προσέλαβε
τὸ ἡμῶν ἐκ σοῦ, παναγία,
τελείως τροπῆς ἄνευ ὄντως
καὶ προῆλθε, τὰς φύσεις
ἀφύρτως ἑνώσας εἰς ἕν.

---

heirm. δ' EE 79, n. 111, Germani   87 ἀγγέλους   88 εὐσεβῆ
93 τῷ

76-79 Matth. 2,11

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, Υἱὲ τοῦ Θεοῦ,*

Ἡ ζωηφόρος ἄμπελος ἐκ τῆς παρθένου μητρὸς
τῇ γεωργίᾳ βλαστήσασα τοῦ πνεύματος
τῆς θεογνωσίας
f. 266v τοῖς ‖ ἐν πέρασιν ἐξέτεινε τὰ κλήματα.

Δικαιοσύνης ἥλιος ἡμῖν ἐπέφανεν
ἐκ τῆς παρθένου νεφέλης αἰθριάζων ἡμῖν
ἔαρ εὐσεβείας
καὶ τῆς πλάνης τὸν χειμῶνα διεσκέδασεν.

Ἐκ τῆς Περσίδος μάγοι παρεγένοντο
εἰς τὴν προσκύνησίν σου, ὁ Θεὸς ἡμῶν,
δῶρα ἐνεγκόντες
ὡς βασιλεῖ τῶν αἰώνων καὶ σωτῆρι Χριστῷ.

θεοτ. Ὁ ὑπὲρ φύσιν τόκος σου, θεοτόκε ἁγνή,
τῆς κατὰ φύσιν φθορᾶς ἡμᾶς ἐρρύσατο,
τοῖς ὑπερουσίοις
ἀναγεννήσας τὸ ἀνθρώπινον δωρήμασιν.

f. 267 ᾠδὴ ς'. *Ἐβόησα*
ἐν στεναγμοῖς ἀσιγήτοις

Ἐμείωσας
ἀθεΐας τὴν νύκτα
ἐν τῇ γεννήσει σου, Χριστέ·
καὶ γὰρ ἥλιος ἡμῖν
δικαιοσύνης ἐφάνης·
κόσμῳ ἐπήυξησας·
σωτηρίας φωτισμόν.

---

heirm. ε' EE 78, n. 110, Germani   100 πέρασιν] σπέρασιν   102-103 cfr. canon. XVII, v. 121 et XLVI, v. 41
heirm. ς' EE 79, n. 111, Germani   119 φωτισμὸν σωτηρίας malim

---

101 Mal. 3,20   102 Num. 11,22   105-108 Cfr. sup. vv. 76-79
116-117 Cfr. sup. v. 101

Υἱοὺς Θεοῦ
τοὺς ἀνθρώπους ἔδειξεν,
υἱὸς ἀνθρώπου γεγονώς,
ὁ υἱὸς ὁ τοῦ Θεοῦ,
καὶ ἐθέωσεν ἡμᾶς
σαρκὸς προσλήμματι
ὁ τῶν ἁπάντων δεσπότης.

Προσῆγόν σοι
ὑπὸ ἀστέρος οἱ μάγοι
ὁδηγηθέντες τὰ δῶρα,
χρυσὸν λίβανον καὶ σμύρναν,
προσκυνήσαντες, Χριστέ,
καὶ ἐδόξαζον
μετ' ἀγγέλων ποιμένες.

θεοτ. Τὴν ἄχραντον
τοῦ Κυρίου μητέρα
ἀκαταπαύστως οἱ πιστοὶ
ἐν ᾠδαῖς πνευματικαῖς
ἀνευφημήσωμεν αὐτὴν
ὡς πρεσβεύουσαν
τὴν ἡμῶν σωτηρίαν.

f. 267ᵛ ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Τῶν ὕμνων σοι τὰ δῶρα
ὡς οἱ μάγοι προσάγομεν
τῶν ἁπάντων βασιλέα ἐπιγνόντες σε
καὶ ἐν πίστει βοῶμεν·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

---

heirm. ζ' EE 79, n. 111, Germani 142 προσάγωμεν 145, 151, 157, 163 post εὐλογητὸς orat. detruncat cd.

127-131 Cfr. sup. vv. 76-79

f. 268 ‖ Χαρὰν ἀκουτισθέντες
μυστικὴν διὰ πίστεως
τοῦ σωτῆρος καὶ Θεοῦ ἡμῶν τὴν γέννησιν
ἐν εὐφροσύνῃ βοῶμεν·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Τεχθεὶς ἐν τῷ σπηλαίῳ
ὁ τοῖς πᾶσιν ἀχώρητος
τὸν παράδεισον ἡμῖν πάλιν ἠνέῳξας
τοῖς ἐν πίστει βοῶσιν·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ὑμνοῦμέν σε, παρθένε
θεοτόκε ἀνύμφευτε,
ὅτι ἔτεκες ἡμῖν τὸν σωτῆρα Χριστόν,
ὃν ὑμνοῦντες βοῶμεν·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

f. 268ᵛ ᾠδὴ η'. *Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς*

* Τὸν ἐν τοῖς κόλποις τοῦ Πατρὸς
ἐν ὑψίστοις ἀνυμνούμενον
καὶ ἐν τῇ φάτνῃ ἐσπαργανωμένον
βρέφος καθορώμενον
ποιμένες θαυμάζουσιν,
ἄγγελοι δοξάζουσιν,
ἡμεῖς δὲ εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

---

heirm. η' EE 79, n. 111, Germani 165-173 Anth II, σμα' 171, 180, 189, 198 post εὐλογοῦμεν orat. detruncata

---

165 Joh. 1,18

Τὸν ἐν ἀγκάλαις τῆς μητρὸς
ὡς ἐν θρόνῳ καθεζόμενον
καὶ ὑπὸ μάγων ὡς βασιλέα
πίστει προσκυνούμενον
ὡς Λόγον συνάναρχον
καὶ υἱὸν μονογενῆ
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

τριαδ. Τὸν ἀνατείλαντα ἡμῖν
ἐκ γαστρὸς πρὸ ἑωσφόρου Θεὸν
καὶ σαρκωθέντα ἐκ τῆς θεοτόκου
ἐξ Ἁγίου Πνεύματος
ὡς σύνθρονον τοῦ Πατρὸς
σὺν ἀγγέλοις οἱ πιστοὶ
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

θεοτ. * Τὸν ἐνοικήσαντα πιστοὶ
ἐν κοιλίᾳ τῆς παρθένου μητρὸς
καὶ γεννηθέντα ἐξ αὐτῆς ἀφράστως
καὶ πάλιν μετὰ γέννησιν
παρθένον φυλάξαντα
ὡς Θεὸν ἀληθινὸν
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
Χριστὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Τίκτεται ὁ ἄναρχος Λόγος
ἐκ παρθένου ἐν χρόνῳ
καὶ ἀΐδιον ἡμῖν

192-200 θεοτ. MR V, 12; AHG V, 323
heirm. θ' EE 79, n. 111, Germani

183-184 Ps. 109,3

ἀρρήτῳ λόγῳ
ἀναγέννησιν θείας
ζωῆς ἐδωρήσατο.

Βρέφος γεννηθεὶς ἐκ παρθένου,
ὡς φησὶν ὁ προφήτης,
καὶ ὀξέως προνομὴν
ποιήσας σκύλων
f. 269v || προσηγάγου τοὺς μάγους,
Χριστέ, εἰς προσκύνησιν.

Σοὶ τῷ ἐν σπηλαίῳ τεχθέντι
ἐκ παρθένου Μαρίας
ἐκ Περσίδος οἱ μάγοι
ἐληλυθότες
χρυσόν, λίβανον καὶ σμύρναν
⟨— –́⟩ προσήνεγκαν.

Σὺ ὡς ὑετὸς ἐπὶ πόκον
ἐν τῷ κόσμῳ κατῆλθες
καὶ τὸ πρόσωπον τῆς γῆς
κεχερσωμένον
ἀκανθῶν ἁμαρτίαις,
Χριστέ, ἀνεκαίνισας.

θεοτ. Ῥάβδος Ἰεσσαὶ ἡ παρθένος
τὸ ἀκήρατον ἄνθος
νῦν ἐβλάστησε, Χριστόν,
τὴν εὐωδίαν
τῆς αὐτοῦ ἐπιγνώσεως
πᾶσιν ἡμῖν χαρισάμενον.

211 προσηγάγω 213 Σὺ 218 duae syllabae desiderantur; fort. scribendum Χριστὲ 230 χαρισάμενος

209-210 Is. 8,1 213-218 Cfr. sup. vv. 76-79 219-220 Ps. 71,6 221 III Regn. 18,1 225-227 Is. 11,1

29 DEC. *CANON* LVI

IN OCTAVAM NATIVITATIS IESU CHRISTI, IN SANCTOS INFANTES MARTYRES ET IN SANCTUM MARCELLUM ARCHIMANDRITAM ACOEMETORUM

Synaxarium, 353-354: Ἄθλησις τῶν ἁ γ ί ω ν ν η π ί ω ν τῶν ἐν Βηθλεὲμ ἀναιρεθέντων ὑπὸ Ἡρώδου, ὧν ὁ ἀριθμὸς χιλιάδες δεκατέσσαρες.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μ α ρ κ έ λ λ ο υ μονῆς τῶν Ἀκοιμήτων. Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Μάρκελλος ὑπῆρχεν ἐκ πόλεως Ἀπαμείας τῆς δευτέρας Συρίας, ἐξ ἐνδόξου γένους καὶ περιφανοῦς· ὅθεν καὶ πᾶσαν τὴν ἐν λόγοις παίδευσιν διῆλθε. Καὶ ταύτην παριδὼν κατέλιπε τὰ οἰκεῖα καὶ παραγίνεται εἰς Ἔφεσον, καὶ ξενίζεται παρά τισιν εὐλαβέσι. Καὶ ἔν τινι τῶν ἐκεῖσε μοναστηρίων εἰσελθὼν καὶ ἀσκήσας καλῶς, παραγίνεται πρὸς τὸν ὅσιον Ἀλέξανδρον ὄντα ἐν τῇ μονῇ τῶν Ἀκοιμήτων, μαθὼν περὶ τῆς ἐνθέου καὶ ὑψηλῆς αὐτοῦ πολιτείας· καὶ ἐν τῇ τοιαύτῃ μονῇ τὴν διαγωγὴν ποιησάμενος καὶ πάντας ὑπερβαλὼν ταῖς καθημεριναῖς αὐτοῦ προκοπαῖς, μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου καὶ Ἰωάννου τοῦ μετ' ἐκεῖνον χρηματίσαντος ἡγουμένου τῆς μονῆς καθίσταται ἀρχηγός. Πολλῶν δὲ θαυμάτων τῇ τοῦ Χριστοῦ χάριτι ἐπιδειξάμενος δύναμιν, ἐν αὐτῇ τῇ μονῇ ἐν εἰρήνῃ κοιμηθεὶς ἀνεπαύσατο.

Crypt. Δ.α. XIV	= Cf, ff. 272v-281
Sinait. gr. 583	= Σω, ff. 237-240v
Crypt. Δ.α. IV	= Ce, ff. 223v-227
Paris. gr. 1623	= Pi, ff. 148v-152
Patm. 197	= Πc, ff. 162-166
Vat. gr. 1531	= Vi, ff. 269v-273v
Athon. Konstamonitou 32	= Ao, ff. 197-203v
Mess. gr. 52	= M, f. 102

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἔσχισας πέλαγος*
τὸ Ἐρυθραῖον ὡς Θεὸς

Ἄστρον ἀνέτειλεν
ἐν Βηθλεὲμ καὶ τῆς Ἐδὲμ
τὴν ζοφερὰν ἔλυσεν ἀρὰν
καὶ σωτηρίας ἡμέραν
δωρεῖται τοῖς γενάρχαις
ὁ ἐκ παρθένου νεφέλης προλάμψας
Ἰησοῦς, ὁ τῶν ἐν σκότει φωτισμός.

Σήμερον στάδιον
νηπίων ἤνοικται φαιδρὸν
ὑπὲρ Χριστοῦ καὶ διὰ Χριστὸν
τὰς τῶν ἐχθρῶν δειγματίζον
ἀρχὰς καὶ ἐξουσίας
καὶ τὴν Ἡρώδου ἐλέγχον ἀνδρείως
νηπιόφρονα μανίαν ἐμφανῶς.

Βίον οὐράνιον
ἐπὶ τῆς γῆς ἀναλαβὼν
καὶ τὰ τῆς γῆς ἅπαντα λιπών,

---

tit. Ὁ κανὼν τῶν ἁγίων νηπίων καὶ τοῦ ὁσίου Μαρκέλλου et in marg. ποίημα Ἰγνατ(ίου) Cf Ἕτερος κανὼν τῶν ἁγίων νηπίων καὶ τοῦ ὁσίου Μαρκέλλου Ce Ὁ κανὼν τῶν ἁγίων νηπίων καὶ τοῦ ὁσίου Μαρκέλλου Pi Ὁ κανὼν Πc Ὁ κανὼν τῆς ἑορτῆς εἰς ς' καὶ τῶν ἁγίων οἱ δύο κανόνες εἰς η'· ὁ κανὼν τῶν ἁγίων νηπίων Ao Οἱ κανόνες τῆς ἑορτῆς εἰς ς' καὶ τῶν ἁγίων εἰς ς'· ὁ κανὼν τῶν ἁγίων Vi

heirm. α' EE 105, n. 148, Andreae: eundem integrum praebent Σω Ce Pi M 2 τὴν Ἐδὲμ Σω Pi Πc Ao Vi M 3 τῆς ζοφερᾶς ἔ. ἀρᾶς Σω Pi Πc Ao M ἔλυσε τῆς ζοφερᾶς ἀρᾶς Vi 5 τοὺς Vi 6 ὁ] ὡς Vi ἐκλάμψας Ce 8 Στάδιον σήμερον Ao 9 φαιδρὸν] πιστῶν Σω πιστοὶ Πc Vi M πιστοῖς Ao 11 δειγματίζων Cf Σω Ce Pi δογματίζων Vi 13 τὸν Vi ἐλέγχων Cf Σω Pi Ao Vi M 14 ἐμφανῶς] ἀψευδῶς Σω ἐμφρόνως Ao 13-35 trop. in S. Marcellum dedicata om. M 15-21 trop. om. Ao

---

4-5 Gen. 3,16-19; II Cor. 6,2 6 Num. 11,25; Sir. 24,4

τοῖς ἀσωμάτοις συνήφθης
καὶ τούτοις συναυλίζῃ
καὶ ἐντρυφᾷς θεωρίας ἀΰλου
καὶ χαρᾶς ἀρρήτου, Μάρκελλε σοφέ.

Πέλαγος, ὅσιε,
τῶν ἀρετῶν ἀναδειχθεὶς
διὰ στενῆς ὥδευσας ὁδοῦ,
τὰς τῶν παθῶν ἐπικλύσεις
ξηράνας ἐγκρατείᾳ
καὶ μὴ βραχεὶς ἁμαρτίαις εἰσῆλθες
εἰς ἀκύμαντον λιμένα καὶ ζωήν.

Δένδρον ὑψίκομον
ἐν διεξόδοις φυτευθὲν
τῆς ζωηρᾶς πνεύματος πηγῆς
f. 273 καρποὺς εὐκαίρους προ||βάλλει
ἐκ πόνων καὶ ἀγώνων
καὶ ἐγκρατείας ἱδρώτων, παμμάκαρ,
δι' ὧν ἔθρεψας τὴν ποίμνην λογικῶς.

θεοτ. Θεῖον ὀχύρωμα
καὶ οἰκητήριον, ἁγνή,
καὶ νοητὴ γέφυρα σαφῶς
καὶ ἀκαθαίρετος πύργος
καὶ ἄγκυρα καὶ σκέπη,
δι' ἧς σωζόμεθα πάντες κινδύνων,
θεοτόκε, σὺ ὑπάρχεις ἀληθῶς.

---

19 τοῦ τοῖς Vi 20 θεωρίας] θεολογίας Σω 21 ἀρρήτου] τῆς ἀιδίου Pi ἀλήκτου Πc 22-28 hoc trop., quod om. Ce, altera manu in marg. inferiore in Ao, sed ponendum ut secundum trop. 24 ὁδεύσας Ao 26 ἐγκρατείας Σω 27 βραχαῖς Pi βραχὺς Vi 28 εἰς ἀχείμαστον λ. ζωῆς Ao εἰς ἀκύμαντον] εἰς τὸν (τὸν om. Σω Vi) ἀκύμονα Σω Πc Vi καὶ ζωὴν] τῆς ζωῆς Σω 29-35 trop. om. Ce Pi Πc Ao Vi 30 φυτευθεὶς Σω 32 εὐκαίρως Σω 34 ἱδρῶσι Cf 37 καὶ τεῖχος ἄρρηκτον ἁγνὴ Ce Pi κ. τ. ἄ. σεμνὴ Σω Πc Ao Vi 38 σαφῶς] ἀεὶ Πc Ao 40 ἄγκυραν Cf 41 πάντες om. Vi 42 θεοτόκε om. Ao

---

33-34 PG 116, 709: Οὕτω πᾶς ὁ χρόνος αὐτῷ πόνων τε καὶ κόπων καὶ ἀγώνων μεστὸς ἦν.

29-32 Ps. 1,3 38 Gen. 28,12

f. 273v ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

Σάρκα προσείληφε,
μὴ τῆς θεότητος ἐκστάς,
ὁ τῷ Πατρὶ σύνθρονος Υἱὸς
ἐκ τῆς παρθένου ἀφράστως
καὶ γίνεται ὁ πλάστης
καὶ ὁ ἁπλοῦς σπαργανοῦται καὶ μένει
ἀναφὴς ὁ προαιώνιος Θεός.

Σφάγια ἄμωμα,
θύματα τέλεια Θεῷ
τὰ τῆς Ῥαχὴλ τέκνα ὑπὲρ σοῦ,
μονογενῆ Θεοῦ Λόγε,
τῇ ἄνω ἀνηνέχθη
τῆς ἀπροσίτου σου δόξης τραπέζῃ,
δι' ὧν οἴκτειρον ἡμᾶς ὡς ἀγαθός.

Θείοις ὑψώμασιν
ἐπιβιβάσας σου τὸν νοῦν
καὶ πρακτικαῖς, πάτερ, ἀρεταῖς
πρὸς θεωρίαν ἡρπάγης,
δι' ἧς καὶ παρθενεύεις,
ὡς Θεολόγος ἐκεῖνος ἀξίως,
ὁ Χριστοῦ ἠγαπημένος μαθητής.

Οἶκος καὶ σκήνωμα
τῆς ἐγκρατείας μυστικῶς

---

heirm. β' EE 105, n. 148, Andreae 43-84 ode β' desideratur in Ce Pi Πc Ao Vi M, tantum Cf Σω eam servant 43 προείληφεν Cf 54 ἀνηνέχθη] προσηνέχθη Σω 63 ὁ] ὡς Cf

---

61-63 G. Dagron, *La vie ancienne de saint Marcel l'Acémète*, Anal. Boll. 86 (1968), 291: Καὶ γὰρ ἐπαρθένευσεν ὁ Μάρκελλος καὶ ἐθεολόγησεν ὡς ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Κύριος. PG 116,712: Μάρκελλον δὲ τῷ Ἰωάννῃ παρομοιῶν, ἅτε καὶ αὐτὸν παρθένον ὄντα, καὶ οἰκείως περὶ τοὺς λόγους ἔχοντα.

καὶ ἀκλινὴς στῦλος προσευχῆς
ἐπιστηρίζων ἐδείχθης
τὴν ποίμνην σου, θεόφρον,
καὶ ἐκ ποικίλων κινδύνων καὶ πάσης
ἐξαιρούμενος λοιμώδους συμφορᾶς.

Νόσους ἀπήλασας
τῇ ἐπαφῇ καὶ προσευχῇ
καὶ ἰατρὸς ὤφθης ἀληθής·
ἐν τῇ καρδίᾳ γὰρ ἔσχες
τὸν πάντων ἰατῆρα,
δι' οὗ λαβὼν ἐπαξίως παρέχεις
τὰς ἰάσεις τοῖς προστρέχουσιν εἰς σέ.

f. 274 θεοτ. || Βάτον σε, πάναγνε,
Μωσῆς ἑώρακε ποτέ,
ἐν ᾗ ὡς πῦρ Λόγος καταβὰς
καὶ παρθενίας τὰ κλεῖθρα
φυλάξας καὶ οὐ φλέξας
ἐκ σοῦ προῆλθεν, ὡς οἶδε, φορέσας
τὴν θνητότητα τοῦ γένους τῶν βροτῶν.

f. 274v ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Τὴν τῆς παρθένου πύλην διοδεύσας
ὁ πλάστης καὶ Θεὸς ἡμῶν
τὸν τῆς σαρκὸς οἶκον ἑαυτοῦ
ᾠκοδόμησεν ἀρρήτως

---

67 ἐπιστηρίζων] πίστει στηρίζων Cf   68 τῇ ποίμνῃ Cf   70 συμφοραῖς Cf   71 ἀπείλασας Cf   73 ἀληθῶς Σω   83 φορέσας] θεώσας Σω   84 τοῦ] τοὺς Σω   heirm. γ' EE 104, n. 147, Andreae   85 διωδεύσας Πc   87 ἑαυτῷ Σω Ce

---

71-73 Dagron, *op. cit.*, 300-301: Καὶ παρὰ τὸν κάμνοντα ἐλθὼν προσηύξατο καθάπερ εἰώθει, εἶτα ἐπαφώμενος τῇ χειρὶ ... ἀπέδωκεν δὲ τῷ Στεφάνῳ τὴν ἐξ ἀρχῆς ὑγείαν. 301-302: Ἦλθέν τις πρὸς αὐτὸν Σαμαρείτης ἕλκος ἀνίατον ἔχων ... προσεύχεται οὖν ὁ πρεσβύτης καὶ παραχρῆμα θεραπεύει τὸ ἕλκος ...

---

78 Ex. 3,2   85 Ez. 44,2

καὶ βρέφος ἐχρημάτισε
καὶ φάτνῃ ἀνακέκλιται.

Ἡλικιῶται παῖδες ἀθλοφόροι
τῆς τοῦ Χριστοῦ σαρκώσεως
τὴν τοῦ Ἡρώδου πωρωτικὴν
ἀπετύφλωσαν μανίαν
καὶ ὀφθαλμοὶ θεόφωτοι
τῆς Ἐκκλησίας ὤφθησαν.

Ἐν τῷ λειμῶνι, πάτερ, τῶν ἀγώνων
f. 275 ἐμφρόνως εἰσελή||λυθας
καὶ ἐξ ἀνθέων τῶν ἀρετῶν
τὰ ἐξαίσια συλλέξας
ὡς σίμβλον τὴν καρδίαν σου
τῆς ἐγκρατείας ἔδειξας.

Ἐκ πάσης γῆς καὶ γλώσσης καὶ θαλάσσης
συνήθροισας τὸ ποίμνιον·
μεθ' ὧν αἰνέσεις πνευματικὰς
ἐκτελέσας ἀκοιμήτως,
ἐπωνυμίαν δέδωκας
τῇ ποίμνῃ σου Ἀκοίμητον.

Ἐν προστασίαις ὤφθης τῶν πενήτων
καὶ ἐν ἐλέῳ δόκιμος·
ἐκ τῶν ἀσύλων γὰρ θησαυρῶν

---

90 ἀνακέκληται Cf Ce Vi M   93 πηρωτικὴν Vi   94 -σεν M   95 θεείφωτοι Ce   δλόφωτοι Πc   96 ὤφθητε Ce   97-114 trop. in S. Marcellum dedicata om. M   97-102 trop. om. Ao   101 σύμβλον Cf Pi Πc   σύμβλο Vi   103-108 trop. deest in Ce Πc Ao Vi   103 γῆς καὶ γλώσσης] γλώσσης γῆς τε Pi   106 ἀκοιμάντως Cf   108 τὴν ποίμνην Σω   109-114 hoc trop., quod om. Ce Πc, in marg. inferiore invenies in Ao, post « Ἡλικιῶται παῖδες » ponendum   110 ἐλαίῳ Vi   111 γὰρ] δὲ Σω

---

109 Dagron, *op. cit.*, 289: ... ἀπέσχετο γὰρ εὐθὺς τῶν περιττῶν ... τὸ δὲ περισσεῦον τοῖς πτωχοῖς διεδίδει ...

τῆς καρδίας σου σκορπίσας,
δικαιοσύνην μένουσαν
ἐτρύγησας, μακάριε.

θεοτ. Ἐκ σοῦ ἀπάτωρ ὤφθη ὁ ἀμήτωρ
πρὸ τῶν αἰώνων Κύριος
καὶ πλαστουργεῖται ὑπερφυῶς
καὶ ἀνάπλασιν δωρεῖται
τοῖς ἐξ Ἀδὰμ θεώσεως,
παρθένε ἀπειρόγαμε.

f. 275v

Κάθισμα.

Ἦχος δ'.

Πρός· *Κατεπλάγη Ἰωσὴφ*

(α') Κατεπλάγη ἐκμαθὼν
Ἡρώδης ἄναξ ἀκριβῶς
γεννηθέντα ἐπὶ γῆς
ἄνακτα νέον τὸν Χριστόν·
καὶ ⟨γὰρ⟩ δειλίᾳ καὶ φόβῳ πολλῷ συσχεθεὶς
στέλλει στρατιὰν
ἀνελεῖν ἐν θυμῷ
τὰ βρέφη Βηθλεὲμ νηπιάζοντα
συνανελεῖν βουλόμενος τὸν κτίστην

112 τῇ καρδίᾳ σου ex corr. manus posterioris in Σω σκορπίσας] σκοπήσας Cf φυτεύσας altera manu in Σω 114 μακάριε] Μάρκελλε Σω Pi Ao Vi post trop. «Ἐν προστασίαις» hoc profert Πc: Ὡς θησαυρὸς ζωῆς ἐδείχθης, πάτερ / ἱερομάκαρ ὅσιε, / καταπλουτίσας τοὺς ἐπὶ γῆς / ἐκ τῶν θείων σου λογίων / καὶ μετανοίας δόγματα / σαφῶς χαρισάμενος. 119 τοῖς] τῆς Pi Vi
heirm. καθ. MR I, 233
Κάθ. tantum Cf profert; idem post oden ς' ponit M; cfr. etiam infra post oden γ' canon. LVII κάθ. 2 ἀκριβῶς] ὁ δεινὸς M 5 γὰρ addidi 8 τὰ om. M 9 συναναρεῖν Cf βουλόμενος] πειρώμενος M

115 Hebr. 7,3

δι' εὐσπλαγχνίαν πτωχεύσαντα
ἐκ παρθένου μήτρας· καὶ γὰρ προῆλθε σῶσαι
τὸν κόσμον ὡς φιλάνθρωπος.

Ἄλλο.

Ἦχος δ'.

Πρός· *Ἐπεφάνης σήμερον*

(β') Τῷ τεχθέντι σήμερον
....

Ἕτερον.

Ἦχος πλ. α'.

Πρός· *Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι*

(γ') Ἐμπαιχθεὶς ὁ Ἡρώδης ὑπὸ τῶν μάγων
ἐν Βηθλεὲμ ἐποιεῖτο βρεφοκτονίαν,
μὴ σπλαγχνισθεὶς ταῖς μητρικαῖς θρηνῳδίαις·
ἀλλ' ὦ φιλάνθρωπε Χριστέ,
ὁ ἐκ παρθένου σαρκωθεὶς
καὶ πάντα οἰκονομήσας, τῆς κατακρίσεως τούτου
ῥῦσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

11 ἐκ om. M καὶ γὰρ om. Cf v. 12 τὸ γένος βροτῶν M
Ἄλλο (β') MR II, 720; idem tantum Cf
heirm. ἑτέρου καθ. HR 230 Ἕτερον om. Σω Ce Pi Πc M; idem κάθ. omnino differt in Vi: Ἐμπαιχθεὶς ὁ Ἡρώδης ὑπὸ τῶν μάγων / καὶ λογισμὸν ἀφροσύνης περιβαλόμενος (-λλόμενος cd.) / τὰ βρέφη τὰ ἐν Βηθλεὲμ / προσέταξεν ἀνελεῖν / διὰ σὲ τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα Θεὸν / καὶ ἐκ παρθένου τεχθέντα, δωρούμενον δὲ τῷ κόσμῳ / πλῆθος εἰρήνης (εἰρήνην cd.) / καὶ μέγα ἔλεος. Ἕτερον 2 βρεφοκτονίαν] παιδοκτονίαν Ao 4 ὡς φιλάνθρωπος Ao 6 πάντων Ao

κάθ. 10 II Cor. 8,9

Ἄλλο.

Ἦχος πλ. δ'.

Πρός· *Τὸ προσταχθὲν μυστικῶς*

(δ') Τὸν γεννηθέντα ἐπὶ γῆς βασιλέα Θεὸν
f. 276 Ἡρώδης σφά||ττειν δολερῶς διεπρίετο
καὶ κινεῖται εἰς ἔχθραν καθωπλισμένος
καὶ σφάττει βρέφη ὡς ἄρνας τῆς Βηθλεὲμ
μητέρων ἄγων εἰς αἷμα τοὺς ὀχετούς,
θρῆνον δὲ ἐπεδείκνυντο
ὁ οὐρανὸς καὶ ἡ γῆ,
Χριστὸς δὲ σώζει τὸ γένος ἡμῶν.

ᾠδὴ δ'. *Εἰσακήκοα ὁ Θεὸς*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ἡ παρθένος καὶ οὐρανὸς
τοῖς οὐρανίοις τοὺς ἐπιγείους
διὰ τόκου μεσιτεύσασα,
ὑπὲρ νοῦν κατήλλαξας
καὶ τὸ τῆς ἔχθρας ἦρας μεσότοιχον.

Νεολαία μαρτυρικὴ
ὑπὲρ τοῦ πάντων Θεοῦ παθοῦσα
τὰ βραβεῖα τῆς ἀθλήσεως
παρ' αὐτοῦ κομίζεται·
δι' ἧς Ἡρώδης ὅλως αἰσχύνεται.

---

heirm. ἄλλου HR 223 Ἄλλο (δ'), quod tantum Cf profert, ut κοντάκιον nonnullis variantibus traditur infra in canon. LVII Ἄλλο 2 διεπριᾶτο Cf

alia etiam καθ. praebent cdd. Ao Vi: Ἁγνείας τοῖς ἄνθραξι, MR II, 720 (Ao Vi); Ἐνθέως εὐφραίνεται, MR II, 720 (Ao); Τί θαυμάζεις, Μαριάμ, MR II, 661 (Vi)

heirm. δ' EE 107, n. 150, Andreae; heirm. integer in Ce 121 οὐρανὸς] ὁ οὐ. Ce Ao 122 τοὺς ἐπιγείους] καὶ ἐπιγείοις Πc Ao Vi τοῖς ἐ. Pi M 123 διὰ τοῦ τόκου Vi μεσιτεύουσα Ce 124 κατήλλαξε Ao Vi 125 ἦρεν Vi ἦρας μεσότοιχον] μ. ἔλυσας Πc μ. ἔλυσεν Ao 130 ὅλος Vi ἠσχύνετο Πc Ao

---

125 Eph. 2,14

Ἐπὶ πέτραν τῶν ἀρετῶν
τοὺς τῆς ψυχῆς σου ἐρείσας πόδας
τῶν δαιμόνων ὑπεσκέλισας,
πάτερ, διαβήματα
καὶ εἰς ὁδὸν εἰρήνης κατήντησας.

Ὡς τετράστομος τῆς Ἐδὲμ
ποταμιαία πηγή, παμμάκαρ,
τὰ τῆς ποίμνης σου διέδραμες
λογικὰ ὀμβρήματα
τὴν οἰκουμένην πᾶσαν ἀρδεύοντα.

Ἕλκος γλώττης ὀδυνηρᾶς
χειρὶ ἁγίᾳ καὶ προσευχῇ σου
ὥσπερ ῥύπον ἀπετίναξας
σαρκικῆς ὀγκώσεως
καὶ ῥῶσιν ἐδωρήσω τῷ κάμνοντι.

θεοτ. Θείῳ λόγῳ ἐν σῇ γαστρὶ
συνειληφυῖα φρικώδη Λόγον

131-145 trop. in S. Marcellum dicata om. M 131-135 trop. om. Ao 131 τὴν πέτραν Σω 136-140 hoc trop., quod om. Ce Pi Πc, in marg. inferiore cd. Ao altera manus scripsit et ut secundum trop. odes indicavit 136 τῆς] τις Σω 138 διέδραμε Vi 140 οὐκουμένην Vi 141-145 trop. deest in Ce Ao Vi 141 γλώσσης Πc ὀδυνηρὸν Σω Πc 143 ὥπερ Cf ῥύπον] ὕπνον Cf Pi 144 ὀκγκώσεως Πc 146 Θεῖον λόγον ἐν τῇ γ. Πc Ao ἐν τῇ σῇ Cf σῇ] τῇ Σω Vi 147 φρικώδει Vi Λόγον] λόγῳ Πc Ao Vi λόγων M

136-140 DAGRON, *op. cit.*, 297: Ὃν τρόπον δὲ ἐκ τῆς μεγάλης Ἐδὲμ εἰς πᾶσαν τὴν οἰκουμένην οἱ τέσσαρες προχέονται ποταμοί, οὕτως ἐκ τῆς Μαρκέλλου σκηνῆς ἤρξατο εἰς πᾶσαν τὴν οἰκουμένην προχεῖσθαι καὶ χορηγεῖσθαι ὁ καθαρώτατος τύπος καὶ ἡ ἀκριβεστάτη μίμησις τῆς ἀκοιμήτου τῶν ἄνω δυνάμεων λειτουργίας (cfr. PG 116,717).

141-145 DAGRON, *op. cit*, 300: Ἦν τις μοναχὸς ... ἕλκος ἔχων ἐν τῷ στόματι χαλεπόν· ὁ τόπος γὰρ αὐτοῦ ὁ ὑπὸ τὴν γλῶσσαν ὑπέρογκον ἔσχεν σάρκωσιν ... ὁ Μάρκελλος ἦλθεν παραχρῆμα καὶ προσηύξατο καί, ἀψάμενος τοῦ ἕλκους, ὥσπερ τινὰ ῥύπον ἐπικείμενον τῇ σαρκί ... ἀπέμαξεν ἐκ τοῦ στόματος ...

136-137 Gen. 2,10-14

ὑπὲρ λόγον ἀπεκύησας
ἐν σαρκί, πανάμωμε,
διό σε θεοτόκον δοξάζομεν.

f. 276v ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, Κύριε,*

Ὁ αἰσθητὸς μὲν ἥλιος
νεφέλαις ὑποδύεται,
ὁ νοητὸς δὲ καὶ πανάυλος
ἀπείρῳ εὐσπλαγχνίᾳ
σάρκα ἐνδυσάμενος
ἐν σπηλαίῳ σήμερον
σπαργανοῦται δι' ἡμᾶς.

Μιαιφονίας αἵμασιν
Ἡρώδης συμμολύνεται·
τὸν γὰρ δεσπότην τῶν ἁπάντων
Θεὸν καὶ βασιλέα
ἀνελεῖν πειρώμενος
κατὰ παίδων μαίνεται
καὶ φρυάττεται δεινῶς.

Τὰ τῶν παθῶν οἰδήματα
f. 277 καὶ τῆς σαρκὸς σκιρ||τήματα
ἀπονεκρώσας δι' ἀσκήσεως
ἐζώωσας τὸ πνεῦμα
καὶ λαμπρύνας ἔδειξας
ἀπαθείας ἔσοπτρον
ἀκηλίδωτον Θεῷ.

148 ἀπεκύησας τὸν ἄσαρκον (τὸν ἄ. in marg.) Σω
heirm. ε' EE 106, n. 149, Andreae 158 αἵματι Ce Pi 159 σύνμολύνεται Cf 160 τῶν] τὸν Σω 163 μένεται Ce M 165-185 trop. in S. Marcellum dicata om. M 165-171 trop. om. Ao 165 ἡδύματα Pi v. 167 desideratur in Πc 170 ἐσόπτρον Vi

151-152 Ez. 32,7

Ἀχύμαντον λιμένα σε
οἱ ἐν πελάγει κάμνοντες
τῶν ἀνιάτων νοσημάτων,
Μάρκελλε, κεκτημένοι
ἐκπερῶσι κλύδωνα
καὶ πρὸς ῥῶσιν εὔδιον
καθορμίζονται πιστῶς.

Τὸν ἔλεον ἐπήγασας
τοῖς ἐνδεέσιν, ὅσιε,
καὶ τὴν λαμπάδα τῆς ψυχῆς σου
ἀνύστακτον τηρήσας
τῷ πυρὶ τοῦ πνεύματος,
εἰς τὴν ἄνω ἔφθασας
δᾳδουχίαν καὶ ζωήν.

θεοτ. Τῇ αἴγλῃ τῆς πρεσβείας σου,
θεογεννῆτορ ἄχραντε,
τὴν ἀβλεψίαν τῆς ψυχῆς μου
καταύγασον ὡς μόνη
τὸν φωστῆρα Κύριον
καὶ τῆς δόξης ἥλιον
ἀνατείλασα ἡμῖν.

f. 277v ᾠδὴ ϛ'. *Ζάλη με λογισμῶν καταλαβοῦσα*

Τὸ θεῖον
τῆς σαρκώσεως τοῦ Λόγου

172-178 hoc trop., quod om. in Ce, in marg. cd. Ao alia manus scripsit et post trop. « Ὁ αἰσθητὸς » collocavit 172 Ἀχύματον Ao 176 ἐκπερῶσι] ἐκπερσίδος Ao 177 καὶ π. ῥ. om. Pi εὔδιοι Σω 178 καθορμίζοντες Σω πιστῶς] σαφῶς Πc 179-185 trop. deest in Ce Pi Πc Ao Vi 187 θεομῆτορ Pi θεοκυῆτορ Σω Πc Ao Vi M 188 ψυχῆς] καρδίας Σω Πc Ao Vi M 192 ἡμῖν] Χριστὸν Σω Πc Ao M
heirm. ϛ' EE 107, n. 150, Andreae

172-178 Cfr. sup. vv. 71-73.
179-180 PG 116, 709: ... τοῦ ἐκεῖθεν αὐτῷποριζομένου μισθοῦ μέρος τι πρὸς τὰς τοῦ σώματος ἀναλίσκων χρείας, τὸ λοιπὸν παρεῖχε τοῖς δεομένοις.

ἐκτελεῖται σήμερον
μυστήριον, θεοτόκε·
διὰ σοῦ γὰρ ἐπέφανε σαρκὶ
Θεὸς ὁ πρὸ αἰώνων,
ἵνα θεώσῃ τὸ πρόσλημμα.

Ῥαχὴλ μὲν
τὴν γονὴν ὀδυρομένη
πάλαι προεμήνυσε
τῶν ὑπὲρ Χριστοῦ νηπίων
δεξαμένη τὴν ἄωρον σφαγήν·
διὸ καὶ ἀπηρνεῖτο,
παρακληθῆναι μὴ θέλουσα.

Ὡς δένδρον
εὐθαλὲς τῆς ἐγκρατείας
ἐφυτεύθης, ὅσιε,
ἐν μέσῳ τῆς Ἐκκλησίας
καὶ δογμάτων ἐβλάστησας καρπούς,
δι' ὧν τὰ τοῦ Ἀρείου
ἀποτεφροῦνται ζιζάνια.

---

195 ἐκτελεῖτε M   197 διό σου M   198 ὁ Θεὸς ὁ Ao   199 θεώσει Ce M   201 ὀδυρωμένης Σω   ὀδυραμένη M   204 δεξαμένων Σω Pi Vi   205 ἀπηρεῖτο Ao   207-213 in loco huius trop., quod om. Πc, hoc in marg. inferiore scriptum profert Ao: Θύματα ἄμωμα τῷ Χριστῷ / σήμερον προσήχθησαν ὁμοῦ / καὶ μυστικῶς ἀνηνέχθησαν / ὡς πυρὶ τῷ ξίφει / ὁλοκαυτούμενα / τὰ βρέφη καὶ τῶν θείων / βραβείων ἔτυχον.   213 ἀποτεφροῦνται] ἐξαφανίζων Pi   ἀποτεφροῦντα Vi M

211-213 Dagron, *op. cit.*, 317-318: ... ὁ Ἄσπαρ καὶ οἱ παῖδες αὐτοῦ καὶ πᾶς ὁ οἶκος αὐτοῦ ἐνόσουν τὴν ἑλληνικὴν δυσσεβεστάτην Ἀρείου μανίαν ... Συνελθὸν δὴ τὸ πλῆθος ὑπὸ ἡγεμόσιν Γενναδίῳ τε καὶ Μαρκέλλῳ ἐπὶ τὸν ἱππόδρομον, ὡς ἐκεῖ τὰ ὑπὲρ τῆς ὀρθοδόξου πίστεως καὶ αὐτοὶ ἐκβοήσοντες ... βουλόμενον καὶ αὐτὸν (scil. τὸν βασιλέα), τῆς Ἄσπαρος δὲ καὶ Ἀρδαβουρίου δυνάμεως ἡττώμενον ... Ἀρδαβούριος ... σὺν ... καὶ ἄλλοις ... ἐχθροῖς τῆς ὀρθοδοξίας ἀπώλοντο ... Ταῦτα μὲν γέγονεν ἐπ' ἐκείνοις, εἰρήνην δὲ τῇ Μαρκέλλου προσευχῇ πρέπουσαν ἔλαβεν ἡ ἐκκλησία...

200-206 Jer. 38,15; Matth. 2,18

Τὸ πρᾶον
Μωυσέως ἐμιμήσω,
τοῦ Δαβὶδ τὸ ἄκακον,
τὴν τοῦ Ἰὼβ καρτερίαν,
τῶν ἀγγέλων τὴν ἄυλον ζωήν,
μεθ' ὧν συνεορτάζων
ῥῦσαι κινδύνων τὴν ποίμνην σου.

Τὴν μνήμην
εὐφημοῦντες ἐπαξίως
τὴν σορόν σου σέβομεν,
τὰ λείψανα προσκυνοῦμεν
καὶ τὴν κόνιν γεραίρομεν πιστῶς·
δι' ὧν καὶ ἐξαιτοῦμεν,
Μάρκελλε, πάντες τὴν ἴασιν.

θεοτ. Ὁ θεῖος
τοκετός σου, παναγία,
τὴν φυεῖσαν ἔτεμεν
ἐν παραδείσῳ κατάραν
καὶ τὴν τρίβον τοῦ ξύλου τῆς ζωῆς
ἀνθρώποις ὑπανοίξας
τὴν εὐλογίαν ἐπήγασεν.

214-220 trop. deest in Ce Ao M   215 ἐκμιμήσω Vi   221-227 hoc trop., quod deest in Ce Pi Vi M, in marg. inferiore cd. Ao alia manus exaravit   222 εὐφημοῦντες] ἐκτελοῦντες Σω   223 σέβωμεν Cf Ao   224 τὴν τῶν τιμίων λειψάνων Πc   226 δι' ἧς Σω   ἐξαντλοῦμεν Πc   227 πάντες] νόσων Ao   230 ἔτεμεν] ἔκοψεν Πc   ἔκκοψον Ao

---

214-215 Dagron, *op. cit.*, 307: ... τὸ πνεῦμα τῆς πραότητος, ὡς ἐπανεπαύσατο ἐπὶ Μωϋσέα, οὕτως ἐπαναπαύεται καὶ ἐπὶ Μάρκελλον (cfr. PG 116,729).

230-231 Gal. 3,13

f. 278 Κοντάκιον.

Ἦχος δ'.

Πρός· *Ἐπεφάνης σήμερον*

(α') Ἀστὴρ μάγους εἵλκυσεν
....

(Ὁ οἶκος).

Πρός· *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

(α') Τῶν ἄνω καὶ τῶν κάτω νῦν
ὁμοῦ εὐφραινομένων
....

f. 278v Ἄλλο.

Ἦχος πλ. β'.

Πρός· *Τὴν ὑπὲρ ἡμῶν*

(β') Ἐν τῇ Βηθλεὲμ
....

Ὁ οἶκος.

Πρός· *Τὰ τῆς γῆς ἐπὶ τῆς γῆς*

(β') Τῶν ἄνω καὶ τῶν κάτω εὐφραινομένων
....

Κοντ. et οἰκ., quae om. Σω Ce Pi Πc Ao M, MR II, 722 κοντ. 1 εἵλκυσεν] ἔπεμψε MR
Ἄλλο HR 166; idem om. Σω Ce Pi Πc Vi M οἰκ. AK 216

Ἕτερον.

Ἦχος πλ. β'.

(γ') Τῷ τεχθέντι σήμερον
ἐκ τῆς παρθένου
f. 279 τῶν νη||πίων τὰ στρατεύματα
ὡς βασιλεῖ καὶ ποιητῇ
δεκτὰ προσαγαγόντες σφάγια
τοῦ φανέντος φωτίσαντος πάντας.

(Ὁ οἶκος).

Πρός· *Τῷ τυφλωθέντι Ἀδὰμ ἐν Ἐδὲμ*

(γ') Τίς οὖν ἀρκέσῃ τὸν νοῦν ἐκπλαγεὶς
ἢ τίς μὴ φρίξῃ ἀκούσας βροτῶν
τὸ ἄφατον τῆς εὐσπλαγχνίας,
ἀσπλαγχνίας δὲ τίς τοῦ Ἡρώδου τὸ ἄμετρον,
τὸ τῆς φιλανθρωπίας καὶ τῆς ἀπανθρωπίας;
τὰ γὰρ δύο ἐκπλήττει με·
Χριστὸς μακροθυμῶν
ἱερέως κτανθέντος,
Ἡρώδης κινεῖται πρὸς θυμὸν ἀδικίας
ἐξαλεῖψαι τὰ βρέφη βουλόμενος·
εὗρεν αὐγὴ
ἐλέγχοντα αὐτὸν
τὸν τῆς παρθένου υἱόν·
ἀτεκνοῖ γὰρ τὴν πόλιν
καὶ οὐκ ἔφθασε διώκων
τὸν ἐλθόντα καὶ φωτίσαντα (πάντας).

Ἕτερον tantum Cf profert 5 προσαγαγῶτες Cf
heirm. οἰκ. MR III, 165 οἰκ. 11 αὐγὴν Cf 12 ἐλέγχουσα Cf
Ce κοντ. « Ὑπομνήσκω ὑμᾶς », PAS I, 5-6 profert; Vi autem κοντ. « Ἑορτάζει σήμερον » et οἰκ. « Νεῦσον, Λόγε Θεοῦ », PAS I, 457-458, porrigit

ᾠδὴ ζʹ. *Πῦρ φλέγον ἐν καμίνῳ ἐξετινάσσετο*

Εὐφραίνεται σήμερον ἡ Βηθλεὲμ σὺν ἡμῖν·
σὲ γὰρ τὸν ἀχώρητον
ἐν σπηλαίῳ δέχεται
« εὐλογητὸς εἶ », βοῶσα,
« ὁ μόνος Θεὸς τῶν πατέρων ἡμῶν ».

Ἡ ἄκακος θυσία καὶ ἀκηλίδωτος
ὑπὲρ σοῦ προθύεται,
Θεοῦ Λόγε, κράζουσα·
« εὐλογητὸς εἶ ὁ μόνος
ὑπάρχων Θεὸς τῶν πατέρων ἡμῶν ».

Ἀστράπτει ὡς ἥλιος φαιδρὸς ἡ μνήμη σου
πάντας τοὺς κραυγάζοντας
εὐσεβῶς φωτίζουσα·
« εὐλογητὸς εἶ ὁ μόνος
ὑπάρχων Θεὸς τῶν πατέρων ἡμῶν ».

Ἀβύσσους ἰαμάτων προχέων, ὅσιε,
τοὺς πίστει προσφεύγοντας
θεραπεύεις κράζοντας·
« εὐλογητὸς εἶ ὁ μόνος
ὑπάρχων Θεὸς τῶν πατέρων ἡμῶν ».

---

heirm. ζʹ EE 105, n. 147, Andreae; heirm. integrum praebet Ce 238 βοῶσα] ὁ μόνος Σω Ce Pi Vi M post βοῶσα orat. detruncat Cf 239 ὑπάρχων Θεὸς ὁ (ὁ om. M) τῶν πατέρων ἡμῶν Ce Pi M τῶν] ὁ τῶν Ao 240-244 trop. om. Ce Vi 243 ὁ μόνος] Κύριε Ao 244 ὁ Θεὸς τῶν πατέρων ἡμῶν Ao post ὑπάρχων orat. detruncant Cf Σω 245-259 trop. in S. Marcellum dicata om. M 245-249, 250-254 trop. inverso ordine praebent Σω Πc Vi 245-249 trop. om. Ao 245 φαιδρῶς Σω Ce Pi Vi 248 εἶ om. Σω 249 post ὑπ(άρχων) orat. detruncant cdd. τῶν] ὁ τῶν Ce 250-254 trop. om. Ce Ao 251 προστρέχοντας Σω Πc Vi 252 εὐσεβῶς κατήρδευσας Σω 253 post εὐλογητὸς orat. abrumpit Cf ὁ μόνος] βοῶντας Σω 254 ὑπάρχων] ὁ μόνος Σω

Μοναστῶν ἑδραίωμα καὶ ὑποτύπωσις,
πιστῶν ἐγκαλλώπισμα
τῶν βοώντων, ὅσιε,
« εὐλογητὸς εἶ ὁ μόνος
ὑπάρχων Θεὸς τῶν πατέρων ἡμῶν ».

θεοτ. Χαίροις ὁ ἀχείμαστος τῆς μετανοίας λιμήν,
ἐν ᾧ καταφεύγοντες,
θεοτόκε, κράζομεν·
« εὐλογημένη ἡ μόνη
τεκοῦσα Θεὸν τῶν πατέρων ἡμῶν ».

f. 279v ᾠδὴ ηʹ. *Τὰ σύμπαντα, δέσποτα,*

Ἄγγελοι δοξάζουσι
τὴν ἐξουσίαν τοῦ τεχθέντος,
ποιμένες θαυμάζουσι
καὶ μάγοι προσκυνοῦσιν,
οὐρανοὶ μηνύουσι
δι᾽ ἀστέρος τὸν κτίστην,
μεθ᾽ ὧν πάντες βοῶμεν
ἀναμέλποντες·
« εὐλογεῖτε τὰ ἔργα Κυρίου
ἀπαύστως τὸν Κύριον ».

Πληθὺς ἀπειρόκακος
στρατολογεῖται τῷ δεσπότῃ

255-259 hoc trop., quod om. Pi Πc Vi, in marg. inferiore cd. Ao alia manu scriptum est et collocatur post trop. « Εὐφραίνεται » 258 post εὐλογητὸς orat. varie detruncant cdd. 262 κραυγάζομεν Vi 263 post εὐλο(γημένη) orat. abrumpunt Cf M; eam supplevi auctoritate cdd. Πc Ao; Ce autem haec praebet: εὐλογ(ημένη) εἶ ἐν γυναιξὶν et orat. abrumpit; Σω Pi Vi repetunt vv. 258-259

heirm. ηʹ EE 105, n. 147, Andreae; heirm. integrum profert Ce 269 v. om. Σω 273 post εὐλ(ογεῖτε) orat. varie detruncant cdd.

f. 280 || δι' αἵματος σήμερον
καὶ κατὰ τοῦ 'Ηρώδου
στερρῶς καθοπλίζεται,
σοῦ, Χριστέ, γεννηθέντος
ἐν σαρκὶ ἐκ παρθένου
ἀναμέλπουσα·
« εὐλογεῖτε τὰ ἔργα Κυρίου
ἀπαύστως τὸν Κύριον ».

Τὸ φῶς τὸ ἀκοίμητον
τῆς ἐγκρατείας εὐφημείσθω,
Μάρκελλος ὁ ὅσιος
καὶ φύλαξ τῆς ἁγνείας,
προσευχῆς θεμέλιος,
ταπεινώσεως στῦλος,
δι' οὗ πάντες βοῶμεν
στηριζόμενοι·
« εὐλογεῖτε τὰ ἔργα Κυρίου
ἀπαύστως τὸν Κύριον ».

'Αγγέλων συνόμιλος
ἐν βίῳ ὤφθης, θεοφόρε·
τρόπον γὰρ ἰσάγγελον
καὶ βίον ἐπεδείξω·
μεθ' ὧν εὐφραινόμενος

---

277 σήμερον δι' αἵματος Πc 281 ἐκ παρθένου Μαρίας Pi ἐκ π. ἀσπόρως Vi διὸ πάντες βοῶμεν Σω Πc v. 281 om. M 282 ἀναμέλποντες Πc Ao, om. Σω 283 post εὐλ(ογεῖτε) orat. varie detruncant cdd. -γεῖτε πάντα Ao 285-314 trop. in S. Marcellum dicata om. M 285-294 pro hoc trop. « Σκιρτάτωσαν » in marg. inferiore alia manu scriptum profert Ao 285 Τὸ] 'Ως Pi Πc Vi 291 δι' οὗ] διὸ Σω Πc 292 ἀναμέλποντες Vi 293 post εὐλ(ογεῖτε) orat. varie detruncant cdd. 295-304 trop. om. Ce 295 'Αγγέλοις Πc Ao

---

290 Dagron, *op. cit.*, 295: ... πάντες αὐτοῦ τὴν ὑψηλοτάτην ταπείνωσιν ἐκπλαγέντες ...

ὑπὲρ τῶν ἱκετῶν σου
μεσιτεύων μὴ παύσῃ
τῶν τιμώντων σου
καὶ πιστῶς ἐκτελούντων, παμμάκαρ,
τὴν ἔνθεον μνήμην σου.

Σκιρτάτωσαν σήμερον
τῶν μονοτρόπων ἀγελάρχαι,
κροτείτωσαν ἅπασαι
χορεῖαι μοναζόντων,
ἀγαλλέσθω τάγματα
τῆς σεπτῆς 'Εκκλησίας
ἐν τῇ μνήμῃ Μαρκέλλου
καὶ βοάτωσαν·
« εὐλογεῖτε τὰ ἔργα Κυρίου
ἀπαύστως τὸν Κύριον ».

θεοτ. 'Η παρθένος ἔτεκεν,
ὁ 'Ησαΐας προμηνύει,
ἡ ῥάβδος ἐβλάστησε
τοῦ 'Ιεσσαὶ ἀσπόρως,
ἡ στάμνος ἐχώρησε
τὸν τοῦ μάννα δοτῆρα·
σὲ γάρ, πάνσεμνε κόρη,
θείῳ πνεύματι
προτυποῦντες προφῆται ὑμνοῦσιν
ἀπαύστως τὸν Κύριον.

---

300 οἰκετῶν Cf Pi Vi 301 μεσιτεύω Vi 302-303 παμμακάριστε / τῶν πιστῶς ἐκτελούντων θεόφρον Πc Ao 302 σου] σε Σω Pi Vi 305-314 trop. om. Ce Pi Πc Vi 306 ἀγελάρχαι] αἱ ἀγέλαι Σω 309 ἀγάλλεσθε Cf 313 post εὐλ(ογεῖτε) orat. varie detruncant cdd. 315-324 aliud θεοτ. profert Πc: « 'Ισχυρὰν παράκλησιν », MR III, 347; Σω et Ao autem θεοτ. « Παρθένον σε, ἄχραντε », AHG V, 253 315 τέτοκε Pi Vi M 322 ὑπερένδοξε Pi μητροπάρθενε Vi v. om. M 323 ὑμνοῦσιν om. Vi 324 ἁγνὴν θεομήτορα Vi M

315-316 Is. 7,14 317-318 Is. 11,1 319-320 Ex. 16,33; Hebr. 9,4

f. 280v ᾠδὴ θ'. Ὅτι ἐποίησέ μοι
μεγαλεῖα ὁ δυνατός

Ὅλος ἐν σοὶ χωρεῖται
ὁ ἐν κόλποις ὢν τοῦ πατρὸς
καὶ τίκτεται ὁ κτίστης οὐρανῶν
καὶ κενοῦται δι' ἐμὲ
καὶ ἐν σπαργάνοις εἱλιχθεὶς
λύει πταισμάτων σειράς.

Ὁ ἐν Ῥαμᾷ ἠκούσθη
τῆς Ῥαχὴλ πολὺς ὀδυρμὸς
κλαυθμός τε καὶ οὐαὶ καὶ συντριμμός·
μιαιφόνος γὰρ ἐχθρὸς
ἐπὶ τὰ τέκνα Βηθλεὲμ
Ἡρώδης δείκνυται.

Ἀγγέλους συνεργοῦντας
ἐν τῇ ὥρᾳ σὺ τῆς εὐχῆς
καὶ τούτους ἐνισχύοντας, σοφέ,
ἐν τοῖς θαύμασιν εὑρών,
κατὰ πνευμάτων πονηρῶν
ἐστήσω τρόπαια.

---

heirm. θ' EE 106, n. 149, Andreae 327 τίκτεται] κτίζεται Πc Ao οὐρανοῦ Σω Πc Ao Vi M 328 κενοῦται] καινίζει Πc 329 εἰληθεὶς Πc Ao M εἰλιθεὶς Vi 330 σειροὰς M 331 Ὁ] Ἡ Ao M Ὅς Vi 332 Ραχιὴλ Pi πολὺς] πικρὸς Πc Ao 333 κλαυθμοὺς Cf Πc 335 Βηθεὲμ Vi 336 δείκνυτε Vi 337-354 trop. in S. Marcellum dicata om. M 337-342 trop. om. Ao 337 Ἀγγέλου συνεργοῦντος Cf Ce 338 σὺ] σου Cf Ce Pi 339 καὶ τούτου σε ἰσχύοντος σ. Cf καὶ τοῦτόν σε ἰσχύοντα σ. Ce 341 κατὰ] καὶ Vi 342 δύναμιν ἔσχηκας Σω ἔστησας Pi Πc Ao Vi τρόπαια Ce: τρόπαιον cett. cdd.

337-340 Dagron, *op. cit.*, 304-305: Ἐπὶ Μαρκέλλου δὲ καὶ αὐτοψεὶ παρόντας ἀγγέλους ἐθεάσαντο οἱ ἄξιοι ταῦτα ὁρᾶν, ὧν εἷς γέγονεν Σέργιος ... ἀπήγγειλεν (ὁ Σέργιος) τὴν φρικτὴν θέαν, ὅπως τοὺς ἀγγέλους ἐθεάσατο παρόντας καὶ ἐκ τοῦ ἐδάφους ἀνεγείροντας τὸν μακάριον Μάρκελλον (cfr. PG 116,728).

341-342 Dagron, *op. cit.*, 311: ... δέδωκεν αὐτῷ ὁ Θεὸς κατὰ δαιμόνων χάριν καὶ δύναμιν ...

---

326 Joh. 1,18 331-333 Cfr. sup. vv. 200-206

Θάλασσαν εὐσπλαγχνίας
κεκτημένος, Μάρκελλε,
τοὺς κάμνοντας τῷ κλύδωνι ποτὲ
ἐλυτρώσω μαθητὰς
καὶ εἰς γαλήνην σαῖς εὐχαῖς
τούτους καθώρμισας.

Χορεύει ἀσωμάτων
στρατιὰ καὶ γένος βροτῶν,
θεόπνευστε, τὴν σὴν τῶν ἀρετῶν
ἐν τῇ μνήμῃ σου πληθὺν
καὶ τῶν θαυμάτων τὰ φρικτὰ
ἐκδιηγούμενοι.

f. 281 θεοτ. ‖ Τῷ τόκῳ σου, παρθένε,
ἐθεώθημεν οἱ βροτοί·
Θεὸν γὰρ τὸν τροφέα τοῦ παντὸς
καὶ ὁμόδοξον Πατρὶ
καὶ βρεφουργεῖς καὶ γαλουχεῖς·
ὢ ξένον ἄκουσμα!

343-348 trop., quod om. Ce Πc, in marg. inferiore Ao tradit 344 Μάρκελλε σοφὲ Vi 345 τῷ] ἐν Ao ποτὲ] παθῶν Ao σφοδρῷ Vi 347 σαῖς] ταῖς Σω Pi Ao Vi 348 καθόρμησας Cf Vi -ώρμησας Ao 349-354 trop. deest in Ce Pi Ao Vi 350 στρατειαὶ Πc βροτῶν] τῶν β. Σω 351 θ. πατὴρ ἡμῶν σοφὲ Πc 352 πληθὺς Cf φαιδρῶς Πc 354 ἐκδιηγούμενα Σω 355-360 θεοτ. cfr. supra in canon. L, p. 652 356 βροτοὶ] πιστοὶ Vi M θνητοὶ Σω Pi Πc Ao T (in canon. L) 357 τὸν om. Σω τροφαῖα Cf M 358 Πατρὸς Σω Πc Ao Vi T (in canon. L) 360 ὢ ξένου θαύματος Ao

---

345-348 Dagron, *op. cit.*, 307-308: Ἀπέστειλέν ποτε ἀδελφοὺς εἰς Πόντον ὁ Μάρκελλος· ἐκεῖνοι δὲ ἐπανιόντες ... καί, ἀπειρηκότες πρὸς τὸν κάματον ... χωρίῳ τινὶ προσορμίζονται καὶ ἐκάθευδον ἐν αὐτῷ. Τραχύτατον δέ ἐστιν καὶ ἀλίμενον τὸ χωρίον, ὡς εἶναι ἀμήχανον σωθῆναι ἐν αὐτῷ ἢ πλοῖον ἢ ἄνθρωπον βιαιότερον πνεύσαντος ἀνέμου. Ἐπιφαίνεται δὴ ὁ Μάρκελλος καθεύδοντι ἑνὶ ἀδελφῷ ... Ἐξεγείρονται οἱ ἀδελφοὶ ... ἀνάγονται ἐκ τοῦ τόπου, εἰσπλέουσι τὸ στόμα τοῦ Πόντου, καί, ὅτε γεγόνασιν ἔνδον ἐν τῷ στενῷ ... γνόφος διέλαβεν τὸν ἀέρα, καὶ θύελλα ἐπιπεσοῦσα μεγίστη ... συνετάραξεν τὴν θάλασσαν ... (cfr. PG 116, 729).

IN OCTAVAM NATIVITATIS IESU CHRISTI ET IN SANCTOS INFANTES MARTYRES

Crypt. Δ.α. XXVII = Cv, ff. 39-41v

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄσωμεν ᾠδὴν ἐπινίκιον*

Ἡρώδην ἀνελεῖν σε βουλόμενον
ὡς Θεὸς τὸν διώκοντα
ἔφυγες, Χριστὲ ὁ Θεός·
ὁ δὲ πρὸς φόνον ἐκτραπεὶς
τῶν νηπίων τὴν χλόην ἐθέρισεν.

Εὐφραίνου, Βηθλεέμ, ⟨ἡ⟩ φοινίξασα
ἐνδόξως τῶν νηπίων
τὰ αἵματα· Χριστὸς γὰρ αὐτοῖς
φῶς ὑπάρχει καὶ ζωή·
δι' αὐτὸν γὰρ θανάτου ἐγεύσαντο.

f. 39v ‖ Κλαίουσα Ῥαχὴλ ἀπαράκλητα
τὰ τέκνα αὐτῆς,
καθὼς γέγραπται, κραυγάζουσα·
« οἴμοι, οἴμοι, οὐκ εἰσί·
τῷ Χριστῷ γὰρ θυσία προσήχθησαν ».

---

heirm. α' EE 105, n. 148, Andreae; heirm. integrum praebet cd., sed metro stropharum hic atque illic aegre aptatur 1-5 Cfr. infra in canon. LX (2), vv. 26-30 1 Ἡρώδης ... βουλόμενος 6 ἡ addidi metri causa 11 κλαίουσα: ἦν subaudias per detractionem

---

11-15 Jer. 38,15; Matth. 2,18

θεοτ. Θεοτόκε, ἡ μήτηρ τοῦ ὄντως Θεοῦ,
περιφρούρει καὶ φύλαττε
καὶ σῶζε πάντας ἐν περιστάσει
τοὺς ἐν ἀληθείᾳ καὶ φόβῳ
μητέρα σὲ Θεοῦ καταγγέλλοντας.

ᾠδὴ γ'. *Μὴ καυχάσθω ὁ καυχώμενος*

Ὅπερ ἦς οὐκ ἀποθέμενος
καὶ προσελάβου, σωτήρ, ὡς ηὐδόκησας,
ὅπερ οὐκ ἦς δι' ἄφατον
φιλανθρωπίαν σου·
εἷς Υἱὸς ἀμέριστος
ἐχρημάτισας διπλοῦς ταῖς φύσεσιν.

Ἀκατάληπτος ἡ σύλληψις
καὶ ὑπὲρ λόγον ἡ ἔνσαρκος πρόοδος
ἡ ἐκ παρθένου, Κύριε,
τῆς εὐσπλαγχνίας σου·
ἀλλὰ φώτισον καὶ ἡμᾶς
τῇ λαμπρότητι τῆς ἐπιγνώσεως.

Ὁ Ἡρώδης πάλιν μαίνεται
τὴν τῶν νηπίων θερίσαι ἄσταχυν
καὶ Ῥαχὴλ ὀδύρεται
καὶ ἡ Ῥαμὰ σὺν αὐτῇ
ἀναίρεσιν τὴν αὐτῶν
καὶ οὐκ ἤθελε παρακληθῆναι, φησίν.

θεοτ. * Ὦ γαστὴρ οὐρανὸν φέρουσα
ὕψος καὶ πλάτος, ἐν ᾗ ὁ Θεὸς ἡμῶν

---

heirm. γ' EE 106, n. 149, Andreae 27-32 trop. cfr. supra in canon. L, vv. 137-141 32 τῆς ἐ. σου secundum cd. T in canon. L 39-44 θεοτ. AHG X, 187 39 Ὦ] Ὁ cd. 40 καὶ om. cd.

33-38 Cfr. sup. vv. 11-15

ἀδαμιαῖος γέγονε
καὶ ἀγαγὼν ἡμᾶς
ἐπὶ τὴν ἀρχαίαν ζωὴν
καὶ τὸ πρόσλημμα θεώσας τὸ ἐξ ἡμῶν!

Κάθισμα.

Ἦχος δ'. *Κατεπλάγη Ἰωσὴφ*

Κατεπλάγη ἐκμαθὼν
....

f. 40 ᾠδὴ δ'. [*Εἰσακήκοα ὁ Θεὸς*
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας]

Δεῦτε συμφώνως, πιστοί,
τῶν γενεθλίων
μετ' ἐγκωμίων
τὴν ἡμέραν ἑορτάσωμεν
ἐν ψαλμοῖς γεραίροντες
τὸν ἐν σπηλαίῳ βρέφος τικτόμενον.

Μιαιφονίαν ἡ Βηθλεὲμ
τὴν τοῦ Ἡρώδου
ἀναβοῶσα
διελέγχει τὴν παράνομον·
ἀλλ' αὐτὸς ὡς θύματα
τὰ τῶν βρεφῶν συστήματα δέχου, Χριστέ.

---

41 ἀδαμιαίως 42 καὶ ἀγαγὼν] ἀνακαινίζων AHG 44 πρόσλημμα] φύραμα AHG πρόσλυμμα ὑμῶν
Κάθ. integrum vide supra in canon. LVI
heirm. δ' deest in EE sed metrum stropharum illo aptatur, qui in EE 107, n. 150, invenitur et Andreae tribuitur

Ἱερεμίας ὁ μέγας, φησί,
προφήταις πάλαι
προανεφώνει·
« ἐν Ῥαμᾷ σφαγὴ γενήσεται
διὰ τὸν τικτόμενον
ἐν Βηθλεὲμ Χριστὸν τὸν Θεὸν ἡμῶν ».

θεοτ. Χαῖρε, πύλη τῶν οὐρανῶν,
δι' ἧς διῆλθεν
ἀρρήτῳ λόγῳ
βασιλεὺς ὁ ἐπουράνιος
καὶ τηρήσας ἄμωμον
ἐσφραγισμένην πάλιν κατέλιπεν.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, Κύριε,*

Δεσποτικὴν πανήγυριν
οἱ φιλέορτοι σήμερον
ἀνακηρύττομεν τοῦ σωτῆρος,
τὰ σπάργανα ὁρῶντες
καὶ ποιμένας κήρυκας
καὶ τῶν μάγων σύστημα
δῶρα προσφέροντας Χριστῷ.

Χορεύει πᾶσα σήμερον
ἡ φύσις ἡ τοῦ θήλεος,
ὅτι τὸν γόνον ἀποδίδει
τῷ κτίστῃ καὶ δεσπότῃ
Χριστῷ τῷ Θεῷ ἡμῶν
καὶ καυχᾶται λέγουσα·
« νῦν οὐκ ἄτεκνος ἐγώ ».

---

62 ὑμῶν 68 ἐσφραγισμένη π. κατέλειπεν
heirm. ε' EE 106, n. 149, Andreae 71 ἀνακηρύττων

57-62 Cfr. sup. vv. 11-15 63 Ez. 44,2 74-75 Matth. 2,11 82 Cfr. Is. 54,1

Ἡρώδης ὁ δυσώνυμος
τὸν Φαραὼν μιμούμενος,
ὁ μὴ καμφθεὶς μητρῴοις σπλάγχνοις,
τὰ βρέφη κατασφάττει
διὰ τὸν τικτόμενον
ἐν σπηλαίῳ καὶ φάτνῃ,
Χριστὸν τὸν μόνον λυτρωτήν.

θεοτ. * Ὡς πύλην ἀδιόδευτον
καὶ βάτον ἀκατάφλεκτον
f. 40v καὶ ἀλατόμη||τόν σε ὄρος,
ἐξ οὗ λίθος ἐτμήθη
ὁ ἐκ σοῦ σαρκούμενος,
ἀνυμνοῦμεν, δέσποινα,
μήτηρ τοῦ πάντων ποιητοῦ.

ᾠδὴ ς'. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Σήμερον
χορευέτω πᾶσα ἡ κτίσις,
ὅτι τὰ γενέθλια
τηροῦνται νῦν τοῦ σωτῆρος
καὶ ἡ μνήμη ἐφέστηκε φαιδρῶς
τῶν νηπίων καὶ δεῦτε
πανηγυρίσωμεν ἅπαντες.

Φησὶ γάρ·
« ἐν Ῥαμᾷ θρῆνος ἠκούσθη·
Ῥαχὴλ γὰρ κλαίουσα
τὰ νήπια οὐ μετρίως »·

90-96 θεοτ. AHG X, 193-194 93 ἐξ οὗ] ἐκ σοῦ cd.
heirm. ς' EE 107, n. 150, Andreae 100 τηροῦντα

---

84 Ex. 1,15-22 90 Cfr. sup. v. 63 91 Ex. 3,2 92-93 Dan. 2,34
104-110 Cfr. sup. vv. 11-15

Ἱερεμίας γὰρ νῦν προφητεύει
διὰ τὸν ἐκ Μαρίας
ἐν Βηθλεὲμ γεννηθέντα Χριστόν.

Φοινίσσεται
ἡ γῆ ἅπασα τὸ αἷμα
τῶν νηπίων σήμερον
καὶ Βηθλεὲμ ἐγκαυχᾶται
ὡς τὰ τέκνα πληθύνασα αὐτῆς
καὶ δέχεται ὡς δῶρα
μιαιφονίαν τὴν ἄδικον.

θεοτ. * Ἔλυσας
τὴν ἀρὰν τῆς προγόνου·
τὴν χαρὰν γὰρ ἔτεκες
ἡ ἐν μητράσι παρθένος,
τὸν ἀναλλοίωτον Λόγον ἐν σαρκί·
αὐτόν, θεογεννῆτορ,
ὑπὲρ τοῦ κόσμου ἱκέτευε.

Κοντάκιον.

Ἦχος πλ. δ'. *Τὸ προσταχθὲν μυστικῶς*

Τὸν γεννηθέντα ἐπὶ γῆς
βασιλέα Θεὸν
Ἡρώδης σφάττειν δολερῶς
διεπρίετο καὶ κινεῖται εἰς ἔχθραν
καθωπλισμένος
καὶ σφάττει βρέφη ὡς ἄρνας τῆς Βηθλεὲμ

118-124 θεοτ. AHG X, 239 119 πρωτογόνου AHG 121 ἐκ μήτρας τῆς σῆς, παρθένε AHG ἐν] ἐκ
heirm. κοντ. HR 223 Κονδ. ut κάθ. traditur nonnullis variantibus cf. sup. canon. LVI p. 710
Κοντ. 3 σφάττειν scripsi: φάττει cd. δολερὸς 6 σφάζει

118-119 Gen. 3,16; Gal. 3,13

μητέρων ἄγων εἰς αἷμα τοὺς ὀχετούς·
θρῆνον δὲ ἐπεδείκνυντο
οὐρανὸς καὶ ἡ γῆ
τὸ ἄτοπον θεώμενοι·
Χριστὸς δὲ πάντας σώζει
ὁ πατὴρ τῶν αἰώνων.

(Ὁ οἶκος).

Πρός· *Ταχεῖαν καὶ σταθηρὰν*

Ἀμπέλου ἀληθινῆς
βότρυς ἡγιασμένος
προῆλθες, Λόγε Θεοῦ,
ἐκ μήτρας ἀμιάντου,
Χριστὲ ἐλεῆμον·
οὐ γὰρ ἔφλεξας τὴν ἄκανθαν πύρινος,
ἀλλ' ἀνέδειξας ἀλόχευτον καὶ ἀδιάφθορον
ἣν ἀσπόρως διώδευσας·
ταύτην προσανεφώνησεν Ἰεζεκιὴλ
πύλην τὴν ἀπαράνοικτον καὶ ἀσφαλῆ,
f. 41 ἣν ὁ ἡγού||μενος οὗτος
διελεύσεται ἀτρέπτως
δείξας τὴν πανόλβιον ἀμίαντον, ἁγνήν,
⟨Χριστὸς⟩ δὲ πάντας σώζει,
ὁ πατὴρ τῶν αἰώνων.

ᾠδὴ ζ'. *Εὐλογητὸς εἶ ὁ Θεός,*
[ὁ] ἐν τῇ καμίνῳ

Ἐπέστη σήμερον ἡμῖν
τῶν γενεθλίων ἡμέρα
καὶ ὕμνον πάντες κροτήσωμεν, πιστοί·

---

8 θρηνῶν δὲ ἐπεδείκνυτο
heirm. οἶκ. HR 70 cum variis lectionibus   οἶκ. 6 ἔφλεξεν   7 ἀλόγχευτον
14 Χριστὸς addidi sensus et metri causa
heirm. ζ' EE 105, n. 148, Andreae
heirm. 2 ὁ expunxi; idem om. EE

οἶκ. 6 Cfr. sup. v. 91   9-10 Cfr. sup. v. 63

ἤδη εἰσηκούσθη
ἡ δέησις ἡμῶν.

Ἱερεμίας ὁ σοφὸς
τὴν τῶν ἀώρων νηπίων
προφητεύσας γὰρ εἶπεν τὴν [μέλλουσαν] σφαγὴν
διὰ τὸν τεχθέντα
ἐν κώμῃ Βηθλεέμ.

Ὁ παλαιὸς τῶν ἡμερῶν,
ὁ νηπιάσας ὡς βρέφος
τῶν νηπίων προσδέχεται σφαγὴν
καὶ τὴν τῶν μαρτύρων
ηὐτρέπισεν ὁδόν.

θεοτ. * Χαῖρε, ναὲ θεϊκέ·
χαῖρε, κατάσκιον ὄρος·
χαῖρε, λυχνία χρυσῆ· χαῖρε, τράπεζα
καὶ θεῖε κιβωτέ·
χαῖρε, παναγία θεογεννῆτορ.

ᾠδὴ η'. *Ἐν πυρὶ φλογὸς παρίστανται*

Τῶν ἀγγέλων τὰ στρατεύματα
Χερουβίμ, Σεραφίμ,
Κύριε, μετὰ ποιμένων
ὕμνον ᾄδουσι τερπνὸν
ὑμνοῦντες καὶ βοῶντες

---

129 ὑμῶν   132 μέλλουσαν expunxi metri causa   140-144 θεοτ. in Theot. Marc. 254 ed. invenies, sed secundum heirm. *Εὐλογητὸς εἶ, Χριστέ, / ὁ τοὺς ὁσίους σου παῖδας,* Theot. Marc. 252, modulatum; cfr. etiam AHG VIII, 271 et X, 198   142 χαῖρε τρ.] καὶ τρ. Theot. Marc. AHG   144 θεογεννῆτορ] θεοχυῆτορ Theot. Marc. AHG X 198   καὶ θεομῆτορ AHG VIII 271
heirm. η' EE 106, n. 149, Andreae   heirm. 1 Ἐν φλογὶ πυρὸς π. EE

130-134 Cfr. sup. vv. 11-15   135 Dan. 7,9   141 Hab. 3,3
142 λυχνία Zach. 4,2   τράπεζα Ez. 41,22   143 Ex. 25,10-11; Hebr. 9,4

σὲ τὸν γεννηθέντα
σπηλαίῳ ὑπογαίῳ σαρκὶ
εἰς πάντας τοὺς αἰῶνας.

Φωνὴ ὡς ἠκούσθη ἐν Ῥαμᾷ
καὶ κλαυθμὸς τῶν βρεφῶν
σήμερον οἱ τῶν ἀγγέλων
ἐξεπλήχθησαν χοροὶ
ὑμνοῦντες καὶ βοῶντες
Χριστὸν τὸν ἐκ Μαρίας
τεχθέντα ἐν σπηλαίῳ
εἰς σωτηρίαν κόσμου.

Ἡ γῆ ἐπορφύρετο τοῖς αἵμασι
καὶ ὡς ῥόδα ἀγροῦ
ἔπιπτον ἐκ τῶν ἀγκάλων
τῶν μητρῴων τὰ βρέφη,
πατέρων καὶ μητέρων
ὀλολυγμὸς βιαίως
εἰς τοῦτο μόνον ἀφορῶντες
τὸ ἐκ Μαρίας βρέφος.

θεοτ. * Τίς ἀκούων οὐκ ἐξίσταται
ὅτι μήτραν Θεὸς
ᾤκησε καὶ βρέφος ὤφθη
ἄνευ πάθους καὶ φθορᾶς;
ὢ πλούτου εὐσπλαγχνίας,
ὢ βάθους μυστηρίου, -
ὁ πάντα περιέπων
f. 41v || σαρκὶ ἐφανερώθη!

---

155 οἱ] ἡ 156 ἐξεπλήσθησαν 163 ἀγκάλων: cfr. supra in hoc vol. canon. IV, v. 6 167 τοῦτον 169-176 θεοτ. AHG X, 204; cfr. etiam in hoc vol. canon. L, vv. 392-399 173 πλοῦτος AHG 174 βάθος AHG βάθου cd.

---

153 Cfr. sup. vv. 11-15

ᾠδὴ θ'. *Τὴν ὑπερένδροσον πάλαι κάμινον*

Προφητεύειν μήπω μαθόντες παῖδες
τὴν σκιώδους μανίαν ἐφαύλισαν
καὶ τὸν φθόνον ἔρρηξαν
τούτου τὸν παράφρονα.

Τὸν νηπιάσαντα Λόγον ἐκ παρθένου
καὶ τὰ νήπια δόντα ἀγήρῳ ζωῇ
καὶ ἀβραμιαίοις κόλποις
οἰκίσας μεγαλύνομεν.

Τὸν Ἡρώδην μανίαν ἐκτακέντα,
τῶν νηπίων τὴν χλόην ἐθέρισε
καὶ νῦν ζῆν ἀποσπάσας
τούτους εἰσοικίζει Χριστῷ.

θεοτ. Τὴν πορφύραν σου, Λόγε, αἵμασι
τῆς παρθένου ὑφανθεῖσαν καὶ βαφεῖσαν
δίχα φθορᾶς δι' ἡμᾶς καθ' ἡμᾶς
φορέσας ἐνηνθρώπησας.

---

heirm. θ' EE 106, n. 148, Andreae; heirm. integrum profert cd. heirm. 1 Τὴν πυρένδροσον EE 178 σκιόδου 179 ἔρριξαν 184 οἰκήσας 185 Τὸν Ἡρώδην μανίαν ἐκτακέντα sic cd., acc. absolutus 187 ζῆν scripsi: ζῶν cd. 189-192 θεοτ. cfr. infra in canon. LX (2), vv. 385-389 189 αἵμασι] ἄμασιν Cv 191 δι' ἡμᾶς καθ' ἡμᾶς scripsi secundum cd. Σc (cfr. infra in canon LX (2), v. 388); ὁ υἱὸς τοῦ θεοῦ cd. 192 ἐνηνθρώπησας Σc: ἐνιθρώπισεν cd.

---

183 Luc. 16,22

29 DEC. *CANON* LVIII

IN SANCTOS INFANTES MARTYRES

Crypt. Δ.α. XIV = Cf, ff. 273-281

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

* Τὸν γεννηθέντα ἀχρόνως
ἐκ πατρὸς ἀμήτορα,
ἐν Βηθλεὲμ τεχθέντα σαρκὶ
ἐκ μητρὸς ἀπάτορα
Χριστὸν δοξολογήσωμεν.

Τῇ τοῦ Χριστοῦ παρουσίᾳ
καὶ τοῖς νηπίοις δύναμις
ἀνδρείας καταπέμπεται
τῶν ἀθέων ἅπασαν
ἐλέγξαι τὴν ἀσέβειαν.

Ἡ τοῦ Ἡρώδου μανία
ἐμφανῶς ἐλέγχεται
ὑπὸ νηπίων σήμερον
τὴν τῆς κακίας ἄνοιαν
ἀκάκως στηλιτεύουσα.

Ἀντὶ κλαυθμοῦ εὐφροσύνην,
Ῥαχιήλ, ἀνάλαβε

tit. Ἕτερος κανὼν et in marg. nomen hymnographi Γερμ(ανοῦ) indicatur heirm. α' ΕΕ 226, n. 324, Germani 1-5 trop. NS 26 (1932), 731
17 ἀνέλαβε

1-5 Hebr. 7,3 16-20 Cfr. Jer. 38,15; Matth. 2,18

τὰ τέκνα σου τῇ πίστει Χριστοῦ
θεωμένη σήμερον
προθύμως τελειούμενα.

f. 274 ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Ἤκουσται
ἐν Ῥαμᾷ εὐφροσύνη
καὶ ἀγαλλίασις·
ὑπὲρ Χριστοῦ γὰρ τοὺς παῖδας
Ῥαχιὴλ ἐθυσιάσατο.

Μετάστρεψον
εἰς χαρὰν εὐφροσύνης
τὸν ὀδυρμόν, Ῥαχιήλ,
τοὺς ἐκ σοῦ γεννηθέντας
τῷ Θεῷ παῖδας προσφέρουσα.

Παράδεισος
νοητὸς ἀνεδείχθη
ἡ Βηθλεὲμ ἀληθῶς,
ἐξανθήσασα παῖδας
ἁγίους εἰς εὐτυχίαν Θεοῦ.

Προσήγαγεν
ἡ Βηθλεὲμ τῷ ποιμένι
καὶ σαρκωθέντι Θεῷ
ὡς ἀρνία προβάτων
τοὺς παῖδας ὁμοῦ καὶ μάρτυρας.

Προσκέκληται
ὁ Ἡρώδης τοὺς μάγους
ἀνερευνῶν τὸν Χριστόν,
ἀλλ' ἡ τῶν παίδων ἀνδρεία
καθεῖλεν αὐτοῦ τὴν ἔρευναν.

heirm. β' ΕΕ 226, n. 324, Germani 32 νοητῶς 33 ἡ] ἐν cd.

36-39 Jer. 11,19 41-43 Matth. 2,8

f. 275 ᾠδὴ γ'. *Στερέωσον ἡμῶν*

Ἀστέρος αἰσθητοῦ
τοὺς μάγους ὁδηγοῦντος
ἀστέρες νοητοὶ
ἀνέτειλαν οἱ παῖδες·
οὓς ὁ Ἡρώδης ἠθέλησεν ἀποκρύψαι
καὶ διὰ ξίφους κατελάμπρυνεν.

Ἄλλος Φαραὼ
ὁ ἄνομος Ἡρώδης
τοῦ νέου Ἰσραὴλ
τὰ βρέφη ἀποκτέννει
διὰ Χριστὸν τὸν τεχθέντα ἐκ τῆς παρθένου
καὶ ὡς Θεὸν ἐνανθρωπήσαντα.

Ῥαχὴλ μὲν ἐκκοπὴν
νηπίων ὠδυνᾶτο,
ἀγάλλεται δὲ νῦν
φαιδρῶς ἡ Ἐκκλησία
στολιζομένη τοῖς αἵμασι τῶν ἁγίων
καὶ ἑορτάζουσα δοξάζει Χριστόν.

f. 276 ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Νῦν πεπλήρωται
ἡ προφητεία Ἱερεμίου
τῶν νηπίων τὴν τελείωσιν
ἐν τῇ Ῥαμᾷ προαγγέλλουσα.

---

heirm. γ' EE 229, n. 328, Germani 50 ἀποκρύψαι: fort. scribendum ἀποκόψαι 57 ἐνανθρωπίσαντα 59 ὠδυνᾶτο] ὀδυρᾶτο cd.

heirm. δ' deest in EE; eisdem verbis sed ad alios modos pertinens in EE 95, n. 134 (modi δ'); 168 n. 235, et 172 n. 242 (modi πλ. β'); 203 n. 287 (modi gravis) heirm. datur

---

50-51 Matth. 2,16 52 Ex. 1,15-22 64-67 Jer 38,15; Matth. 2,18

Νῦν ἀγάλλεσθε
ἐν παραδείσῳ, ἅγιοι παῖδες,
τὴν τελείωσιν δι' αἵματος
ὑπὲρ Χριστοῦ ἐνδειξάμενοι.

Θρῆνος ἤκουσται
ἐν Βηθλεὲμ μητέρων καὶ τέκνων,
f. 276v || ἀλλὰ γέγονεν οὐράνιος
δι' αὐτῶν ἀγαλλίασις.

f. 277 ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Νεανικὸν ὁρῶντες
ὑπὲρ Χριστοῦ ἀθροιζόμενον στάδιον
πάντες θείοις ᾄσμασι
τοὺς παῖδας εὐφημήσωμεν σήμερον.

Ἡ τῶν νηπίων πίστις
τὴν παλαιὰν τοῦ Ἡρώδου κατήργησεν
ἀθεΐαν σήμερον
καὶ Χριστοῦ τὴν ποίμνην ἐφώτισεν.

Ἐν Βηθλεὲμ ὁ κτίστης
καὶ βασιλεὺς τῶν αἰώνων τεχθεὶς ἐν σαρκὶ
στέφος ἀνεδήσατο
τὴν τῶν νηπίων ἄθλησιν σήμερον.

f. 277v ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Εὐφραίνεσθε, λαοί, πνευματικῶς·
χορὸς γὰρ συνήθροισται
f. 278 || νηπίων οὐ γάλακτι
ἐκτραφέντων, ἀλλ' ἐν πίστει εὐωχούμενοι.

---

68 ἀγάλλεσθαι 71 ἐνδειξάμενοι: fort. scribendum ἐνδεξάμενοι

heirm. ε' EE 226, n. 323, Germani et 229, n. 329, Andreae

heirm. ς' EE 224, n. 321, Joannis

Μαζῶν ἀποσπασθέντες μητρικῶν
οἱ παῖδες οἱ ἅγιοι
Χριστῷ ἐνηρμόσθησαν
καὶ στεφάνους ἀφθαρσίας ἐκομίσαντο.

Λειμῶνα εὐσεβείας λογικῶν
ἀνθέων πληρούμενον
ὁρῶμεν τοὺς παῖδάς σου,
Ῥαχιήλ, εὐωδιάζοντας τὰ πέρατα.

f. 279 ᾠδὴ ζ'. *Ὁ τοὺς παῖδας δροσίσας ἐν καμίνῳ*

Ὁ τοὺς παῖδας στεφάνους καταπέμψας
f. 279v καὶ Ἡ||ρώδην αἰσχύνης
ἀπεράντου ἀναπληρώσας
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Εὐφραθᾶ εὐφροσύνης ἐπληρώθη
καὶ βοᾷ καθορῶσα
τὴν τελείωσιν τῶν ἁγίων
νηπίων ὕμνους ᾄδουσα
τῷ Θεῷ τῶν πατέρων ⟨ἡμῶν⟩.

Μετὰ δώρων προσφόρων ὡς οἱ μάγοι
ἐκ παρθένου τεχθέντι
καὶ ἡ φύσις τῶν θηλαζόντων
τὸν βασιλέα Κύριον
θεοπτικῶς προσεκύνησεν.

f. 280 ᾠδὴ η'. *Οἱ θεορρήμονες παῖδες ἐν καμίνῳ*

Οἱ θεορρήμονες παῖδες ἐν σπηλαίῳ
τῷ ἐκ παρθένου τεχθέντι
μαρτυρικῶς ἀνεβόησαν·

---

95 ἐκομήσαντο
heirm. ζ' EE 226, n. 324 et 229, n. 328, Germani 103 post εὐλ(ογητὸς) orat. abrumpit cd. 105 Ἐφραθᾶ 109 ἡμῶν ipse scripsi
heirm. η' EE 227, n. 325, Joannis

« εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον ».

⟨Ο⟩ἱ ἐκτραφέντες γάλακτος τοῦ μητρῴου
καὶ ποτισθέντες τὸ πόμα
τοῦ μαρτυρίου ἐκραύγαζον·
« εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον ».

Οἱ τὴν ἐγκόσμιον δόξαν μὴ ἰδόντες
διὰ Θεὸν δοξασθέντες
ὡς νεομάρτυρες ἔψαλλον·
« εὐλογεῖτε τὰ ἔργα
Κυρίου τὸν Κύριον ».

f. 281 ᾠδὴ θ'. *Μεγαλύνομέν σε*

Εἰς θυσίαν ζῶσαν
προσηνέχθη ἀληθῶς εὐφροσύνης πλήρης
τῶν μαρτύρων τὸ αἷμα
εἰς ὀσμὴν εὐωδίας
διὰ παντὸς τῷ Θεῷ.

Εὐφροσύνης πάσης
ἐνεπλήσθη Εὐφραθᾶ καὶ χορεύει πίστει
Ῥαχιήλ, τὰ παιδία
ὡς Ἀβραὰμ εἰς θυσίαν
Θεῷ προσφέρουσα.

Ῥαχιὴλ τὰ τέκνα
θρηνοῦσα τὰ ἑαυτῆς καὶ Βηθλεὲμ σὺν αὐτῇ
θρῆνον μέγα βοῶσι,
τῶν νηπίων ἀνόμως
σφαττομένων αὐτῶν.

118, 123, 128 post εὐλ(ογεῖτε) orat. detruncat cd. 120 littera initialis non delineata in cd.
heirm. θ' EE 228, n. 326, Andreae 130-131 θυσίαν ... πλήρης pro θ. πλήρη; cfr. sup. pp. 23 v. 274, 452 v. 90 et 618 v. 162

130-134 Ex. 29,18; Eph. 5,2 138 Gen. 22,1 sqq.

IN OCTAVAM NATIVITATIS IESU CHRISTI

Crypt. Δ.α. XIV = Cf, ff. 273-281^v et ff. 243^v-251 (= Cf^1)
Crypt. Δ.α. IV = Ce, ff. 220-223^v
Vat. gr. 2069 = Vb, ff. 107^v-109^v

Ὁ κανὼν μεθεόρτιος.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

* Ὁ ἀνατείλας πρὸ ἑωσφόρου
ἐκ τοῦ Πατρὸς μονογενὴς
νῦν διὰ σαρκὸς ἐπιφανεὶς ἐκ παρθένου μητρὸς
ἀνέπλασε τὸν Ἀδάμ·
αὐτὸν δοξάσωμεν εἰς τοὺς αἰῶνας.

Ὁ ὑπεράρχιος Θεὸς Λόγος
ἀρχὴν λαμβάνει χρονικήν,
οὐ τῆς πατρικῆς ἀϊδιότητος ὅλως ἐκστάς,
ἀλλ' ὥσπερ ἦν καὶ ἐστὶ
καὶ διαμένει τεχθεὶς ἐκ τῆς παρθένου.

---

tit. Ἕτερος κανὼν μεθεόρτιος Cf Ἕτερος κανὼν τῆς θεοτόκου Cf^1 Τῇ ἑσπέρᾳ κανὼν μεθεόρτ(ιος) Ce Τῷ αὐτῷ μηνὶ κθ' εἰς τὸ Ἀπόδ(ει) π(νον) κανὼν τοῦ μεθεόρτου τῆς Γεννήσεος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Vb

heirm. α' EE 229, n. 328, Germani; heirm. integrum profert Ce 1-5 trop. ed. in NS 26 (1931), 731 5 εἰς τοὺς αἰῶνας] ὡς εὐεργέτην Cf^1 8 ὅλος Cf^1 9 ὥσπερ] ὅπερ Cf^1 Ce Vb

---

1-2 Ps. 109,3

Εὐηγγελίσθησαν καὶ ποιμένες
τὴν τοῦ ποιμένος καὶ ἀμνοῦ
ἐκ τῆς θεοτόκου ὑπερκόσμιον γέννησιν
καὶ εἶδον φῶς νοητὸν
τῇ τοῦ ἡλίου Χριστοῦ φωτοφανίᾳ.

Ἀνανεούσθω πᾶσα ἡ κτίσις,
ὅτι ὁ κτίστης τοῦ παντὸς
κτίζεται καὶ κτίζει καὶ σαρκοῦται καὶ πλάττεται
καὶ μένει ὅλος Θεὸς
τὴν ἀνθρωπίνην μορφὴν ἠμφιεσμένος.

f. 273^v || Ἡ ὑπερκόσμιος τῶν ἀγγέλων
τάξις ἐπέστη τοῖς ἐν γῇ
« δόξα ἐν ὑψίστοις τῷ Θεῷ » ἀνακράζουσα
« τεχθέντι ἐν Βηθλεέμ·
αὐτὸν δοξάσωμεν εἰς τοὺς αἰῶνας ».

τριαδ. * Τὴν ἐν Τριάδι καὶ ἐν μονάδι
ἀνυμνουμένην εὐσεβῶς
ἄναρχον θεότητα πιστῶς προσκυνήσωμεν,
ὡς τρία οὖσαν καὶ ἓν
διῃρημένως ὁμοῦ καὶ ἡνωμένως.

θεοτ. Τὸν ἀπερίγραπτον ἐν γαστρί σου
κυοφορήσασα Θεὸν
ἔτεκες διπλοῦν τὸν ἀδιαίρετον ὄντα Υἱὸν
καὶ ἔμεινας ὅπερ ἦς
καὶ μετὰ τόκον παρθένος, θεοτόκε.

---

14 ἴδων Cf^1 15 τὴν..... φωτοφανίαν Cf τὴν τοῦ ἡλίου φωτοφανίαν ὄντως Cf^1 16-35 trop. desunt in Cf^1 16-20 trop. om. Cf 21 Ἡ] Ὁ Ce Vb 26-30 τριαδ. AHG I, 73 26 Τριάδι] μονάδι Ce Vb μονάδι] τριάδι Ce Vb 27 ἀνυμνουμένην] δοξαζομένην AHG προσκυνουμένην Ce Vb 28 πιστῶς] πιστοὶ Ce Vb AHG προσκηνοῦμεν Vb 30 διῃρημένην Ce ἡνωμένην Ce Vb 31-35 aliud θεοτ. praebent Ce Vb: « Τὴν ὑπὲρ λόγον Θεὸν τεκοῦσαν », Anth III, σζ'

11-15 Luc. 2,8-20 21-25 Luc. 2,13-14

f. 274 ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Πρόσσχες μοι
ὁ τεχθεὶς ἐκ παρθένου
καὶ ἀναπλάσας με
καὶ τὴν φθαρεῖσάν μου φύσιν
καινίσας τῇ σῇ γεννήσει, σωτήρ.

Σήμερον
ἡ πυρίνη ῥομφαία
ὑποχωρήσασα
τὸ τῆς ζωῆς ἡμῶν ξύλον
γνωρίζει τὸν γεννηθέντα Χριστόν.

Ἤνοικται
ἡ Ἐδὲμ γεννηθέντος
ἐν Βηθλεὲμ τοῦ Χριστοῦ
καὶ ὁ παράδεισος πάλιν
ἐδείχθη τῷ πρωτοπλάστῳ Ἀδάμ.

Δοξάσατε
τὸν ἀμνὸν καὶ ποιμένα,
ποιμένες ἅγιοι·
τὰς ἁμαρτίας γὰρ αἴρει
τοῦ κόσμου καὶ σπαργανούμενος.

Τὸ σπήλαιον
οὐρανὸς ἀνεδείχθη
τοῦ γεννηθέντος Χριστοῦ
καὶ ἡ θεόδεκτος φάτνη
ὡς θρόνος Χριστοῦ τετίμηται.

---

heirm. β' EE 226, n. 324, Germani **36-100 ode β' desideratur in Cf¹ Ce Vb**

---

44 Gen. 2,9

f. 274ᵛ Εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ πρὸ τῶν αἰώνων

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὃν ἐν τῷ σπηλαίῳ
ἡ θεόπαις Μαριὰμ
βρέφος σπαργανούμενον ἐν φάτνῃ ἔκλινε
καὶ ὕμνησαν τῶν ἀγγέλων
οἱ ἀσώματοι χοροὶ
« δόξα » κραυγάζοντες.

Ἔγνωμεν, ἔγνωμεν
ὅτι Θεὸς ἡμῶν σὺ εἶ, Κύριε,
ὁ δι' εὐσπλαγχνίαν
καταβὰς ἐξ οὐρανοῦ
καὶ τὴν γαιωθεῖσαν τοῦ Ἀδὰμ οὐρανώσας μορφὴν
καὶ ταύτην ἀναβιβάσας
τῇ θεότητι πρὸς σὴν
ἀιδιότητα.

Δεῦτε θεάσασθε
σήμερον, ἄνθρωποι, καὶ θαυμάσατε
ἐσπαργανωμένον
τὸν ἀχώρητον παντὶ
καὶ τῇ τῶν ἀλόγων ἀνακείμενον φάτνῃ σαρκί,
ὃν τρέμουσι τῶν ἀγγέλων
οἱ ἀσώματοι χοροὶ
καὶ πᾶσα κτίσις ὑμνεῖ.

τριαδ. * Πάτερ ἀγέννητε,
Υἱὲ συνάναρχε τοῦ γεννήτορος,
Πνεῦμα τὸ ἀνάρχως
συνεκλάμψαν τῷ Υἱῷ,
ἄναρχε Τριάς, ἀπερινόητε, σύνθρονε,

---

heirm. β' ἄλλος EE 226, n. 323, Germani 85-92 τριαδ. AHG V, 417-418 87 ἀνάρχως] ἀχρόνως AHG

ἀμέριστε τῇ οὐσίᾳ,
ἀδιάχυτε τῇ φύσει,
σῶσον πάντας ἡμᾶς.

θεοτ. Ἄχραντε, ἄμεμπτε,
πανύμνητε μῆτερ ἔνδοξε,
τὸν ἐκ σοῦ τεχθέντα
ἐκτενῶς ὑπὲρ ἡμῶν
τῶν ἀκαταπαύστως σε ὑμνούντων ἱκέτευε
ῥυσθῆναι ἀπειλῆς πάσης
τοὺς ὑμνοῦντάς σε,
ἁγνὴ ἀειπάρθενε.

f. 275 ᾠδὴ γ′. *Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς*

Ὁ ποιητὴς τῆς φύσεως τοῦ Ἀδὰμ
σαρκωθεὶς ἐκ μήτρας ἐδείχθης νέος Ἀδὰμ
καὶ ἔμεινας κατ' οὐσίαν
ὅπερ ἧς Θεὸς πρὸ σαρκώσεως.

Ἀγαλλιάσθω σήμερον Βηθλεέμ,
ὅτι πόλις ὤφθη τοῦ βασιλέως Χριστοῦ,
δι' οὗ οἱ γῆν κατοικοῦντες
οὐρανοπολῖται γεγόναμεν.

f. 275v || Τὸ ἀνατεῖλαν ἄστρον ἐξ Ἰακώβ,
Ἰησοῦς ὁ ἥλιος τοῦ ἀστέκτου φωτός,
ἐν Βηθλεὲμ τὰς ἀκτῖνας
πᾶσιν ἀπαστράπτει τοῖς πέρασιν.

---

91 ἀδιάχυτε] ἀδιαίρετε AHG

heirm. γ′ EE 226, n. 324, Germani; heirm. integrum praebent Ce Vb heirm. 1 Ὁ om. Vb 102 ἐδείχθη Ce Vb 103 ἔμεινεν Cf¹ Ce Vb 104 ὅπερ ἧς] ὥσπερ ἦν Ce Vb ὅ. ἦν Cf¹ 105 Βηθλεέμ] πᾶσα γῆ Cf¹ 106-108 pro his vv. Cf¹ vv. 110-112 profert 107 δι' οὗ] διὸ Cf Cf¹ Ce 108 γενόναμεν Cf 109 ἐξ Ἰακὼβ] ἐν Βηθλεὲμ Cf¹ 110-112 pro his vv. Cf¹ vv. 106-108 utitur 110 ἀστέκτου] ἀσβέστου Ce Vb φωτὸς] πυρὸς Vb

Τὴν Ἐδὲμ ἠνέῳξε Βηθλεέμ,
τὴν τρυφὴν ὑπέδειξεν ἐν κρυφῇ ὁ Χριστός·
αὐτὸς γὰρ ἦν καὶ τὸ ξύλον
τῆς κρυφιομύστου ζωῆς καὶ τρυφῆς.

τριαδ. Σὺν τῷ Πατρὶ δοξάσωμεν τὸν Υἱὸν
καὶ τὸ Πνεῦμα, πάντες πιστοί, τὸ ἅγιον
ὑμνήσωμεν ὁμοφρόνως,
ὅτι εἷς ὑπάρχει Θεός, ἡ Τριάς.

θεοτ. Ὑψηλοτέρα ὤφθης τῶν οὐρανῶν,
ἐπὶ γῆς τεκοῦσα φῶς τὸ οὐράνιον,
τὸ ὑπὲρ ἥλιον λάμψαν,
ἄχραντε παρθένε, τῷ τόκῳ σου.

f. 276v ᾠδὴ δ′. *Μυστικῶς ὁ προφήτης προορῶν*

Ἐν ἀρχῇ ἦν ὁ λόγος τοῦ Θεοῦ
καὶ Θεὸς ἦν ὁ λόγος, ὡς γέγραπται,
ἀλλ' ἐσαρκώθη ὁ Λόγος,
ὃν θεολογοῦσι τὰ πέρατα.

Ἀνατολὴ ἐπέφανεν ἡμῖν
ἐκ Θαιμὰν Ἰησοῦς ὁ Θεὸς ἡμῶν
ἐν Βηθλεὲμ ἐκ παρθένου·
τοῦτον οἱ πιστοὶ προσκυνήσωμεν.

113-124 trop. desunt in Cf¹ 113 ἀνέωξε Ce Vb 115 αὐτῶς Vb 117-120 τριαδ. deest in Ce Vb 121-124 aliud θεοτ. « Ὡς οὐρανὸν καὶ θρόνον σε τοῦ Θεοῦ » (quod invenies in MR I, 29 et in AHG I, 77), praebent Ce Vb

heirm. δ′ EE 226, n. 323, Germani; heirm. integrum profert Ce 127 ἐσαρώθη Vb 128 πέρατα] σύμπαντα Ce Vb 129 ἐπέφανεν] νῦν ἐ. Ce Vb 130 Θεμᾶν Cf Cf¹ Vb et sup. lin. Θαιμᾶν Vb 132 τοῦτον] τὸν αὐτὸν Cf¹

115-116 Cfr. sup. v. 44 125-126 Joh. 1,1 129-130 Hab. 3,3

Τοὺς οὐρανοὺς ἐκάλυψας, Χριστέ,
γεννηθεὶς ἐκ παρθένου τῇ σῇ ἀρετῇ,
καὶ τὸν περίγειον κόσμον
ὅλον τῷ φωτί σου κατέλαμψας.

Τῇ ὑπὲρ νοῦν γεννήσει σου, Χριστέ,
διεθρύβησαν βίᾳ τὰ ὄρη ποτέ,
αἱ κορυφαὶ τῶν δαιμόνων
κόπους αἰωνίους εὑράμεναι.

Φάτνῃ ἀλόγων, Λόγε καὶ Θεέ,
γεννηθεὶς ἀνεκλίθης ἑκὼν δι' ἐμέ,
ἵνα τῆς πρὶν ἀλογίας
τὴν ἀλογευθεῖσαν λυτρώσῃ ψυχήν.

τριαδ. * Χερουβικῶς ὑμνήσωμεν, πιστοί,
ἐν μονάδι Τριάδα ἀσύγχυτον,
ἕνα Θεὸν προσκυνοῦντες
ἐν Πατρί, Υἱῷ καὶ θείῳ Πνεύματι.

θεοτ. * Χαῖρε, παρθένε, πύλη νοητή,
δι' ἧς ἄσαρκος Λόγος Θεὸς εἰσελθὼν
σεσαρκωμένος προῆλθεν,
ἄφθορον φυλάξας τὴν μήτραν σου.

133-136 hoc trop. ut θεοτ. praebet Cf[1] 136 κατέλαμψας] κατηύγασας Cf[1] 137-152 trop. om. Cf[1] 137-140 pro hoc aliud trop. praebent Ce Vb: Πράξεις ὀρθὰς καὶ βίον καθαρὸν / καὶ ὀρθόδοξον πίστιν προσάξωμεν, / ὥσπερ οἱ μάγοι τὰ δῶρα / τῷ ἐν Βηθλεὲμ γεννηθέντι Θεῷ. 139-140 αἱ κορυφαὶ..... εὑράμεναι: nomin. absol. 142 δι' ἐμὲ] δι' ἡμᾶς Ce Vb 144 ἀλογωθεῖσαν Ce Vb 145-148 τριαδ. AHG III, 67 145 ὑμνήσωμεν] δοξάσωμεν Vb AHG 146 ἐν τριάδι μονάδα θεότητος Ce Vb AHG 148 ἐν] σὺν AHG θείῳ] τῷ Ce AHG; idem illegibile est in Vb 149-152 θεοτ. BMC 149; AHG III, 67 149 πύλη ἡ νοητὴ Ce Vb 150 ἄσαρκος] ὁ ἄ. BMC ὁ ὕψιστος AHG ἄναρχος Ce Vb Θεὸς om. AHG Θεοῦ Ce Vb 151 ἐξῆλθεν BMC

---

138 Hab. 3,6 149 Ez. 44,2

f. 277 ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Νυκτερινοῖς σε ὕμνοις
δοξολογῶ καὶ ὑμνῶ καὶ δοξάζω, Χριστέ,
τὸν ἀνατείλαντα ὄρθρον
τῇ ὑπερκοσμίῳ γεννήσει σου.

Δικαιοσύνης ὤφθης
πλῆθος εἰρήνης καὶ φῶς ἀνατέλλων ἡμῖν
τῇ λαμπρότητι, Λόγε,
τῆς φωτοφανοῦς σου γεννήσεως.

Δόξαν ἐκ δόξης λάμψας
τῇ ἐκ παρθένου γεννήσει σου, Κύριε,
τὴν πατρικήν σου οὐσίαν
πᾶσι τῷ φωτί σου παρέδειξας.

Οἱ τῷ ἀστέρι μάγοι
f. 277v ὁδηγηθέντες ἀνεῦρον τὸ βρέ||φος Χριστόν,
ὥσπερ ἐν θρόνῳ πυρίνῳ
κόλποις τῆς μητρὸς βασταζόμενον.

τριαδ. Τὴν ὑπὲρ νοῦν οὐσίαν
καὶ τρισυπόστατον φύσιν ὑμνήσωμεν
σὺν τῷ Υἱῷ τὸν Πατέρα
καὶ τὸ Πνεῦμα πάντες τὸ ἅγιον.

θεοτ. * Ἄνευ φθορᾶς τεκοῦσα,
θεογεννῆτορ, τὸν ἄσπορον τόκον σου
μόνη ὤφθης παρθένος
βρέφος ὑπομάζιον φέρουσα.

---

heirm. ε' EE 226, n. 323, Germani; heirm. integrum profert Ce 153-156 trop. om. Cf Cf[1] 161 λάμψαν Cf[1] 164 πᾶσαν Cf παρέδειξας] κατηύγασας Cf[1] 168 βασταζόμενος Cf Vb 169-176 trop. om. Cf[1] 169-172 pro τριαδ. hoc trop. ponunt Ce Vb: Τοὺς ἀπλανεῖς ἀστέρας / μάγους, πιστοί, μιμησάμενοι δράμωμεν / τὸ φῶς τὸ προαιώνιον / ἔνδον τὸν Χριστὸν εἰσδεξάμενοι. 173-176 θεοτ. MR III, 394 173 φθορᾶς] σπορᾶς Ce Vb 174 ἄσπορον] ἄφραστον Ce Vb

---

165-166 Matth. 2,9-11

f. 278 ᾠδὴ ς′. *Ὡς τὸν προφήτην ἐῤῥύσω*

Τίς τῶν ᾀσμάτων ὁ ἦχος.
Ὁ Δαβὶδ ἀνακράζει τρανῶς μελῳδῶν·
« ἃ ὤμοσε Κύριος
πεπλήρωκε σήμερον,
ἀναστήσας μοι
τὸν προφητευθέντα Χριστόν ».

Ἡ Βηθλεὲμ ἑορτάζει,
ἡ Σιὼν συγχορεύει καὶ πᾶσα ἡ γῆ,
τεχθέντος σου σήμερον,
Χριστὲ ὁ Θεὸς ἡμῶν,
καὶ ἑνώσαντος
Θεῷ τὸ ἀλλότριον.

Ἐνειλημένον σπαργάνοις
τὸν τὸ πᾶν περιέχοντα εἶδον ποτέ
κυκλοῦντες οἱ ἄγγελοι
ὡς θρόνον τὸ σπήλαιον
καὶ ἐκραύγαζον·
« δόξα ἐν ὑψίστοις Θεῷ ».

Οἱ ἀγραυλοῦντες ποιμένες
τῷ ἀστέρι ποτὲ κατελάμποντο
ἀγγέλων τε ἤκουον
ὑμνούντων τὸν Κύριον
τὸν ἐγείραντα
κέρας σωτηρίας ἡμῖν.

---

heirm. ς′ EE 226, n. 323, Germani; heirm. integrum praebet Ce 177 ἀσωμάτων Vb 181 μοι] νῦν Cf[1] 187 ἑνώσαντι Ce Vb 188 σαυτῷ τὸ ἀνθρώπινον Cf[1] 190 τὸν περιέχοντα πάντα ἰδῶτες Χριστὸν Cf[1] τὸ πᾶν] τὰ πάντα Cf ἴδον Cf 191 κυκλοῦντα Ce Vb 192 ὡς θρόνον τὸ] τὸ ἅγιον Ce Vb 193 ἀνεκραύγαζον Cf[1] 195-212 trop. desunt in Cf[1]

179-182 Ps. 109, 3-4; 131,11 189-194 Luc. 2,12-14

τριαδ. * Τὴν τρισυπόστατον φύσιν
ἐν Τριάδι προσώπων κηρύττοντες
Πατέρα δοξάσωμεν,
Υἱὸν προσκυνήσωμεν
καὶ τὸ ἅγιον
Πνεῦμα ἀνυμνήσωμεν.

θεοτ. * Τῶν Χερουβὶμ ὑπερτέραν
καὶ τῆς κτίσεως πάσης ὑμνοῦμέν σε,
τὴν μόνην ἐν μήτρᾳ σου
τεκοῦσαν τὸν Κύριον
καὶ ἀνοίξασαν
πύλας παραδείσου ἡμῖν.

f. 279v ᾠδὴ ζ′. *Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας*

Ὁ οὐρανὸν
ποιήσας τὴν παρθένον
καὶ ἐξ αὐτῆς
ὡς ἥλιος ἐκλάμψας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
Κύριε, ὁ Θεὸς
τῶν πατέρων ἡμῶν.

Ἦχος ᾠδῶν
ἠκούσθη τῶν ἀγγέλων,
φῶς νοητὸν
ὠράθη τοῦ τεχθέντος
καὶ οἱ ποιμένες μετὰ τῶν μάγων
τὸν γεννηθέντα Χριστὸν
εὐηγγελίσθησαν.

201-206 τριαδ. AHG III, 68-69 201 Τὴν om. Cf 207-212 θεοτ. AHG III, 69 210 τεκοῦσαν τὸν] δεξαμένην AHG Κύριον] κτίστην σου Ce Vb 211 καὶ ἀνοίξαντα Cf

heirm. ζ′ EE 226, n. 323, Germani 213-219 trop. deest in Vb 217 post εἶ orat. varie detruncant cdd. 222 φῶς] τὸ Cf 225 τὸν τεχθέντα Ἰησοῦν Ce Vb

---

220-226 Luc. 2,13-20

Ἐν Βηθλεὲμ
ἐτέχθης ἐκ παρθένου
καὶ τὴν Ἐδὲμ
ἀνέῳξας τῷ κόσμῳ·
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
Κύριε, ὁ Θεὸς
τῶν πατέρων ἡμῶν.

Οἱ τὴν πηγὴν
διψῶντες τῆς σοφίας
δεῦτε Χριστὸν
ἀντλήσωμεν καρδίαις·
ζωῆς γὰρ ῥεῖθρον ὑπάρχων βρύει
ἐκ παρθένου τεχθεὶς
τῆς ἀιδίου πηγῆς.

Νέος Ἀδὰμ
ἐτέχθη ἐκ παρθένου,
τὸν παλαιὸν
Ἀδὰμ ἀνακαινίσας,
Χριστὸς ὁ Λόγος, ὃν εὐλογοῦσιν
ἄγγελοι καὶ στρατιαὶ
καὶ πᾶσα γλῶσσα βροτῶν.

Τί ἐκβοᾷς,
προφῆτα Ἡσαΐα,
κράζων « ἰδοὺ
παιδίον ἐγεννήθη,
Υἱὸς ἐδόθη ὁ ἐκ παρθένου,
ὁ προνομεύων ταχὺ
σκῦλα τοῦ πάντων ἐχθροῦ »;

227-240 trop. desunt in Cf Cf[1]   241-247 trop. om. Ce Vb; idem ut θεοτ. profert Cf[1]   246 ἀγγέλων αἱ στρατιαὶ Cf[1]   248-268 trop. om. Cf[1]   250 φράζω ὁμοῦ Cf   253 προνομεύσας Vb   254 τοῦ... ἐχθροῦ] τῷ...Θεῷ Ce Vb

---

250-252 Is. 9,5   253-254 Is. 8,1

τριαδ. Εἷς ὁ Θεός,
Πατήρ, Υἱὸς καὶ Πνεῦμα,
φῶτα καὶ φῶς
ὡς ἐξ ἑνὸς ἡλίου·
ἡ μία φύσις τρισὶ προσώποις
δοξολογείσθω ἀεί,
Τριὰς μονὰς ἡ αὐτή.

θεοτ. * Ὁ μυστικὴν
εἰκόνα τῆς παρθένου
τὴν ἐν Σινᾷ
προεκτυπώσας βάτον
τὴν καιομένην οὐ φλεγομένην
εὐλογητὸς εἶ, Χριστέ,
ὁ τῶν πατέρων Θεός.

f. 280 ᾠδὴ η′. *Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων γεννηθέντα*

f. 280v ‖ Τὸν ἐν σπηλαίῳ τεχθέντα ἐκ παρθένου
καὶ ὑμνῳδίαις ἀγγέλων δοξασθέντα
ἱερεῖς ὑμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Πνευματικῆς πανηγύρεως ἡμέρα
τῆς ἐκ παρθένου γεννήσεως ἐπέστη
τοῦ πρὸ ἑωσφόρου

255-261 τριαδ. valde differt in Ce Vb: Εἷς ὁ Θεὸς / Πατὴρ ὁ παντοκράτωρ / εἷς ὁ Υἱός, Χριστὸς ὁ ἐπὶ πάντων. / ἓν καὶ τὸ Πνεῦμα / δι' οὗ τὰ πάντα· / Τριὰς μονὰς ἡ αὐτὴ / καὶ εἰς τὰ τρία Θεὸς (ὁ Θεὸς Vb).   262-268 θεοτ. PG 90, 212   265 προετύπωσας Cf   σὺ προτυπώσας PG

heirm. η′ EE 226, n. 324, Germani et 229, n. 329, Andreae; heirm. integrum profert Ce   269-273, 274-278 trop. inverso ordine collocant Ce Vb   269 Τὸν ἐκ παρθένου τ. ἐν σ. Cf[1]   271 post ἱερεῖς orat. varie detruncant cdd.   274 Πνευματικὴ πανήγυρις ἡμέρα Ce Vb   275 τοῦ ἐκ μ..... σαρκωθέντος Vb

---

262-266 Ex. 3,2   275-278 Cfr. sup. vv. 1-2

ἐκλάμψαντος ἡλίου,
Χριστοῦ τοῦ φιλανθρώπου.

Νῦν ἡ ὁδὸς τῆς ζωῆς ἡμῶν ἐπέστη,
τοῦ Ἰησοῦ γεννηθέντος ἐκ παρθένου·
ὁ αὐτὸς γάρ ἐστι
ζωὴ καὶ σωτηρίας
ὁδὸς εἰς τοὺς αἰῶνας.

Ἆσμα καινὸν τῷ τεχθέντι ἐν σπηλαίῳ
ᾄσωμεν πάντες σαρκὶ ἐνειλημένῳ·
ἐν σπαργάνοις ὄντως
βρέφος Θεὸς ἐτέχθη
ὁ πάντων πρὸ αἰώνων.

Πλῆθος ἀγγέλων ὡράθη ἐν σπηλαίῳ
ἦχος ποδῶν τε τῶν μάγων συνελθόντων
καὶ φωνὴ ἠκούσθη
ποιμένων ἀγραυλούντων,
ὑμνούντων τὸν τεχθέντα.

τριαδ. Ἕνα Θεὸν τὴν Τριάδα προσκυνοῦμεν
χερουβικὴν ὑμνῳδίαν ἐκβοῶντες·
« ἅγιος εἶ, Πάτερ,
ἅγιος ὁ Υἱός σου,
ἅγιον καὶ τὸ Πνεῦμα ».

θεοτ. Ἐν γυναιξὶν οὐκ ἐγέννησε παρθένος,
οὐκ ὤφθη πάλιν μήτηρ, εἰ μὴ σὺ μόνη,
παναγία κόρη,
Θεὸν σεσαρκωμένον
τεκοῦσα, θεοτόκε.

279-283 in loco huius trop. θεοτ. « Ἐν γυναιξὶν » praebent Ce Vb   279 ἐπέστη] ἐφάνη Cf¹   284-293 trop. om. Cf Cf¹   287 βλέφος Ce   294-303 trop. om. Cf¹   295 χερουβικῷ Cf   297 ἅγιος εἶ Λόγε Ce Vb   299-303 θεοτ. ut tertium trop. praebent Ce Vb, cum iidem ut θεοτ. dant « Πύλη Θεοῦ ἀνεδείχθης, θεοτόκε », cfr. AHG III, 70   299 οὐ γεγέννηκεν Ce Vb   300-301 καὶ ἐν παρθένοις οὐκ ὤφθη πάλιν μήτηρ / εἰ μὴ σὺ ἡ μόνη Ce Vb   303 θεοτόκε] θεομῆτορ Ce Vb

f. 281 ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Ἡ βασιλικὴ ἁλουργίς, ἐκ σοῦ προϋφάνθη
ἡ ἀδαμιαία μορφή,
ἥν, ἁγνὴ θεοτόκε,
ὡς πορφύραν ἀμφιασάμενος σάρκα
ὁ Χριστὸς προῆλθε βασιλεὺς τοῦ παντός.

Ἄσαρκος εἰσῆλθεν ἐν σοὶ ὁ ἄναρχος Λόγος
καὶ σεσαρκωμένος ἐκ σοῦ,
θεοτόκε, προῆλθεν
οὐ φαντάσας τὴν προσληφθεῖσαν οὐσίαν·
Θεὸς γὰρ καὶ ἄνθρωπός ἐστιν ὁ αὐτός.

Σπήλαιον ἐδέξατό σε ὡς πύρινος θρόνος
καὶ οἱ μάγοι δῶρα, Χριστέ,
προσήγαγόν σοι πίστει
καὶ ἀνοίξαντες θησαυροὺς τῆς καρδίας
ὡς χρυσὸν καὶ λίβανον προσέφερόν σοι.

Τίς ὁ ὁδηγήσας ὑμᾶς διδάξατε, μάγοι·
τί τὴν Βηθλεὲμ σπεύδοντες
μετὰ δώρων ζητεῖτε;
« ὁ ἀστὴρ ἡμᾶς ὁδηγῶν ἐκ Περσίδος
πρὸς τὸν βασιλέα κατεπείγει Χριστόν ».

Σοὶ ὡς βασιλεῖ τὸν χρυσὸν προσήγαγον μάγοι
καὶ τὸν λίβανον ὡς Θεῷ,

---

heirm. θ' EE 226, n. 324, Germani   304-308 hoc trop. ut θεοτ. odes θ' praebent Ce Vb   305 ἀδαμαία Vb   306 ἁγνὴ θεοκυῆτορ Cf   307 ἠμφιασάμενος Cf¹   σάρκα] ὤφθη Cf¹   308 ὁ Χ. πρ. τοῦ παντὸς βασιλεὺς Cf¹   311 θεοτόκε] θεομῆτορ Ce Vb   312 προσλειφθεῖσαν Ce Vb -λειφθῆσαν Cf¹   313 Θεὸς γάρ ἐστιν καὶ ἄνθρωπος ὁ αὐτὸς Cf¹   316 προσέφερόν σοι Ce Vb   317 καρδίας] σοφίας Ce Vb   318 προσέφερον] προσήγαγον Ce Vb   πίστιν προσέφερόν σοι Cf   319-343 trop. desunt in Cf¹   320 σπεύδετε Cf   321 ζητοῦντες Cf   323 κατεπήγει Cf   324 ὡς in marg. ostendit Vb

---

315-318 Matth. 2,11

ὡς θνητῷ δὲ τὴν σμύρναν,
f. 281v || τῷ ζωώσαντι νεκρωθεῖσαν τὴν φύσιν
τὴν ἐν παραδείσῳ τῆς ἀρχαίας φθορᾶς.

Βηθλεέμ, ἀγάλλου καί, σπήλαιον, εὐτρεπίζου·
φάτνη, ὑποδέχου σαρκὶ
τὸν νηπιάσαντα Λόγον
σπαργανούμενον δι' ἐμέ, ἵνα λύσῃ
τὰς σειρὰς τῆς πάλαι ἁμαρτίας ἡμῶν.

τριαδ. Ἄκτιστε, ἀκτίστου Υἱοῦ προάναρχε Πάτερ,
ἄναρχε, ἀνάρχου Πατρὸς
Υἱὲ καὶ Θεὲ καὶ Λόγε,
ὁμοδύναμον καὶ συνάναρχον Πνεῦμα,
ὦ Τριὰς μονὰς ἁγία, δόξα σοι.

θεοτ. * Χαῖρε, τὸ ἀείζωον ῥεῖθρον τῆς ἀφθαρσίας·
χαῖρε, ἡ ὁλόφωτος
τοῦ ἡλίου νεφέλη·
χαῖρε, ὄχημα τῆς θεότητος ὅλης·
χαῖρε, κιβωτὲ τοῦ ἁγιάσματος.

---

326 θνητῷ] νεκρῷ Vb 328 τῆς ἐκ παραβάσεως ἀρχαίας ἀρᾶς Ce Vb 329-333 pro hoc aliud trop. proferunt Ce Vb: Μάγοι καὶ ποιμένες, ὑμνήσατε τὸν τεχθέντα / καὶ προφῆται πάντες Θεοῦ / καὶ ἡ σύμπασα κτίσις, / τὸν ἀστέρα τοῦ γεννηθέντος ὁρῶντες / « δόξα ἐν ὑψίστοις Θεῷ » κράξατε. 334-338 τριαδ. deest in Ce Vb 339-343 θεοτ., quod in MR I, 35 et AHG I, 87 invenies, deest in Ce Vb, quia primum trop. « Ἡ βασιλικὴ ἁλουργίς » ut θεοτ. ponunt 339 τὸ ἀ.]ω τὸ ἀ. Cf

---

341 Is. 19,1 343 Ps. 131, 8

IN OCTAVAM NATIVITATIS IESU CHRISTI

Crypt. Δ.α. IV = Ce, ff. 228v-230v
[Sinait. gr. 578 = Σc, ff. 90v-93]

Canon secundum traditionem Ce

Ὁ κανὼν μεθεόρτιος· ποίημα Ἀνδρέου.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄσωμεν ᾠδὴν ἐπινίκιον*

Σκιρτάτωσαν τὰ σύμπαντα χαίροντα
καὶ χεῖρας μυστικῶς
ἀγαλλόμενα κροτείτωσαν·
ἐτέχθη γὰρ ἐν Βηθλεὲμ
Ἰησοῦς ὁ Χριστός, ἡ ἀλήθεια.

Φάτνῃ ἐσπαργανώθης, ὁ κτίστης μου,
γεννηθεὶς ἐν σπηλαίῳ
δι' ἄκραν ἀγαθότητα
ἐν γῇ Ἰούδα Βηθλεέμ,
ἐκ μητρὸς θυγατρὸς βασιλέως Δαβίδ.

---

tit. Τῇ ἑσπέρᾳ κανὼν μεθεόρτιος· ποίημα Ἀνδρέου Ce Κανὼν εἰς τὴν γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὰ ἅγια νήπια et in marg. Ἀνδ(ρέου) Σc
heirm. α' EE 105, n. 148, Andreae; heirm. integrum servant cdd. 6 ἐσπαργανώθη Σc 8 ἀγαθότητα] συγκατάβασιν Σc

ᾠδὴ γ'. *Ἐστερεώθη*
ἡ καρδία μου ἐν Κυρίῳ

Ἐτέθη σπέρμα
ἐπὶ θρόνου Δαβίδ, παρθένε,
τὸ βρέφος, ὅπερ ἐν τῷ σπηλαίῳ
σαρκὶ Θεὸν ἑνωθέντα μοι ἀπεγέννησας.

Ἡ γῆ τὰ νῶτα
ὑφαπλώσασα τὸν δεσπότην
τεχθέντα ἄτρεπτον ἐκ παρθένου
f. 229 || ὡς ποιητὴν ὑποδέχεται πάσης κτίσεως.

θεοτ. Τὸν ἐν γαστρί σου
ἀναπλάσαντα τοὺς ἀνθρώπους
ἀπαύστως πρέσβευε, θεοτόκε,
τοῦ εἰρηνεῦσαι, δεόμεθα, τὴν ζωὴν ἡμῶν.

ᾠδὴ δ'. *Τί ἐκβοᾷς,*
ὦ προφῆτα Ἀμβακούμ;
τί ἀκούσας ἐξέστης, τί ἐθαμβήθης
Θεὸν ἀπὸ Θαιμὰν ἥξοντα
καὶ τὸν ἅγιον ἐξ ὄρους
κατασκίου δασέος;
διὸ καὶ ἀνέκραζον·
δόξα τῇ δυνάμει,
δόξα, Χριστέ, τῇ συγκαταβάσει.

Τί σοί ἐστιν
ὅτι κράζεις, ὦ Δαβίδ

heirm. γ' EE 107, n. 150, Andreae 11-18 trop. desunt in Σc
heirm. δ' EE 123, n. 169, Andreae; heirm. in Σc has varias lectiones habemus: heirm. 3 ἐξέστις cd. ἐθαμβήθης] ἐφοβήθης EE 4 ἥξαντα EE 7 ἀνέκραζε EE 8 δυνάμει σου EE 9 συγκαταβάσει σου EE

11-12 Ps. 131,11

« εἶπε Κύριος πρός με· υἱός μου εἶ σύ »;
Ὁ κτίστης καὶ Θεὸς σήμερον
ἐκ γαστρὸς πρὸ ἑωσφόρου
γεννηθεὶς ἐσαρκώθη·
διὸ καὶ ἀνέκραζον·
« ἥξει ὁ Θεὸς ἐμφανῶς,
ἥξει καὶ ἐλεήσει ἡμᾶς ».

Δεῦτε, πιστοί,
ἑορτάσωμεν φαιδρῶς·
ἐπεφάνη ἡ χάρις ἡ τοῦ σωτῆρος·
ὁ ἄναρχος Θεὸς ἄρχεται,
ὁ ἀχώρητος χωρεῖται
ἐν γαστρὶ τῆς παρθένου,
ὁ ἄκτιστος κτίζεται,
ὁ πλούσιος πτωχεύει σαρκί,
ὁ πλήρης κενοῦται ὅλως ἡμῖν.

Τίς γηγενῶν
μὴ θαυμάσῃ σε, σωτήρ,
τὸν ἀπέραντον ἢ τίς μὴ φρίξῃ
Θεὸν ψηλαφητὸν βλέπων σε
καὶ Θεὸν σεσαρκωμένον
καὶ κτιστὸν καὶ ἐν χρόνῳ
σαρκὶ φανερούμενον;
δόξα τῇ σοφίᾳ σου,
δόξα, Χριστέ, τῇ οἰκονομίᾳ σου.

ᾠδὴ ε'. *Ἐκ νυκτὸς ὀρθρίζοντες*
πάντες ἀσιγήτως
f. 229ᵛ || *σὲ τὸ ἀνέσπερον*

42 θαυμάσει Ce σε] σου Ce 43 φρίξει Ce
heirm. ε' EE 105, n. 148, Andreae; heirm. integrum ostentant cdd. heirm. 3 ἀνέσπερον] ἀπρόσιτον EE

25 Ps. 2,7 26-28 Ps. 109, 3 30 Ps. 49,2 34 Tit. 2,11 39 II Cor. 8,9

ἀνυμνοῦμεν φῶς·
ὁ Θεὸς ὡς οἰκτίρμων
τὴν σὴν εἰρήνην, Χριστέ, δώρησαι ἡμῖν.

Ἐκ Πατρὸς ἐξέλαμψας,
Χριστέ, πρὸ αἰώνων
μήτραν δὲ ᾤκησας
ἐπ' ἐσχάτων τῶν καιρῶν,
ἀρραγεῖς τὰς σφραγῖδας
τῆς παρθενίας συντηρήσας τῆς μητρός.

Ὁ Δαβὶδ ὑπέψαλλε
τοῖς ᾄσμασι λέγων·
« πάντες ἀχθήσονται
ἐξ Ἀράβων καὶ Σαβᾶ
βασιλεῖς μετὰ δώρων
θαρσὶς καὶ νῆσοι προσκυνῆσαι τῷ Χριστῷ ».

θεοτ. * Τὴν παρθένον ἅπαντες
ὡς μόνην τεκοῦσαν
ἄνευ συλλήψεως
τὸν ἀχώρητον Θεὸν
ἀνυμνήσωμεν πίστει
σὺν τῷ ἀγγέλῳ χαιρετίζοντες αὐτήν.

ᾠδὴ ϛ'. *Κλύδων με πταισμάτων περιέχει, σωτήρ,*

Τάξεις οὐρανίων στρατευμάτων ἐπὶ γῆς
τοῦ Χριστοῦ γεννηθέντος ἐν σαρκὶ
ἐπέστησαν κύκλῳ φαεινῶς
τῆς φάτνης, ἔνθα τὸ πῦρ
τῆς θείας ἀνέκειτο φύσεως
καὶ « δόξα » ἐκραύγαζον.

heirm. 4 ἀνυμνοῦμεν] ἱκετεύομεν EE 50-61 trop. desunt in Σc 61 θαρσεῖς Ce 62-67 θεοτ. AHG V, 396-397
heirm. ϛ' EE 105, n. 148, Andreae; heirm. integrum minime discrepantem servant cdd.

56-61 Ps. 71,10

Ἄγγελοι καὶ μάγοι καὶ ποιμένες μυστικῶς
τὸν τεχθέντα ἀνύμνησαν Χριστόν·
f. 230 ‖ οἱ μὲν ὡς Θεὸν καὶ ποιητὴν
δοξάζοντες τοῦ παντός,
οἱ δὲ δόματα φέροντες,
οἱ δὲ ἐκπληττόμενοι.

θεοτ. * Ἄφραστος ἡ σύλληψις τοῦ τόκου σου, ἁγνή,
τοῦ Πατρὸς γὰρ ἀσπόρως τὸν Υἱὸν
ἐν μήτρᾳ ἐχώρησας σαρκί,
ὡς οἶδεν ὁ γεννηθείς·
διὸ ἔμεινας ἄφθορος,
παρθένε, κἂν τέτοκας.

ᾠδὴ ζ'. *Πῦρ φλογίζον κάμινον ἐξετινάσσετο*

Σπηλαίῳ ὑπογαίῳ σήμερον τίκτεται
ὁ φέρων τὰ σύμπαντα
τῇ δρακὶ τοῦ πνεύματος
καὶ σπαργανοῦται ὡς βρέφος
καὶ φάτνῃ ἀλόγων ἀνακλίνεται.

Οἱ μάγοι τῷ ἀστέρι καθοδηγούμενοι
ἑῴαν κατέλιπον,
Ἰουδαίαν ἔφθασαν·
ὑφ' ὧν τὰ δῶρα ἐδέξω
καὶ προσεκυνήθης, ἀνερμήνευτε.

θεοτ. * Παρθένον σε πρὸ τόκου καὶ μετὰ τόκον, ἁγνή,
πάντες μακαρίζομεν

78 δώματα Σc 80-85 θεοτ. AHG V, 398 80 τόκου] τοκετοῦ Ce 82 χωρήσασα AHG 84 διέμεινας ἄφθορος πάναγνε AHG 85 παρθένος AHG
heirm. ζ' EE 105, n. 147, Andreae; heirm. integrum profert Ce heirm. 1 Πῦρ φλέγον ἐν καμίνῳ ἐ. Σc EE 86-90 trop. omnino differt in Σc 91 καθοδηγούμενοι] κ. σωτὴρ Σc 93 φθάσαντες Σc 95 ἀνερμήνευται Σc ἀνερμηνεύτως Ce 96-100 θεοτ. AHG V, 400-401 96 τόκον] γέννησιν Ce

91-95 Matth. 2,1-12

ὡς Θεὸν κυήσασαν,
ἐκ σῶν ἀχράντων λαγόνων
τὴν σάρκα φρικτῶς προσλαβόμενον.

ᾠδὴ η΄. *Τὸν ἐκτείναντα Θεόν*

f. 230v ‖ Τὸν ἐκλάμψαντα Θεὸν
πρὸ ἑωσφόρου ἐκ Πατρὸς
καὶ ἐν ἐσχάτοις καιροῖς
σάρκα προσλαβόντα ἐκ μητρός,
ἱερεῖς καὶ δοῦλοι
Κυρίου, τὸν Κύριον εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν ἐν κόλποις τοῦ Πατρὸς
καὶ ἐν ἀγκάλαις τῆς μητρός,
τὸν ἐν ὑψίστοις Θεὸν
καὶ ἐν τῷ σπηλαίῳ χωρητόν,
ἱερεῖς καὶ δοῦλοι
Κυρίου, τὸν Κύριον εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

θεοτ. Τὸν ποιήσαντα Θεὸν
τόμον τὴν μήτραν σου καινὸν
καὶ ἐν αὐτῷ ἐγγραφέντα
οὐ διὰ μέλανος, ἁγνή,
ἀλλὰ τῇ ἐμπνεύσει
τοῦ Πνεύματος, ἄχραντε θεοτόκε,
ὑπὲρ πάντων ἡμῶν
ἱκέτευε ἀπαύστως.

---

100 φρικτὸς Σc προσλαβόμενος Ce
heirm. η΄ EE 105, n. 148, Andreae; heirm. integrum profert Ce
101 Θεὸν] Υἱὸν Σc 103 ἐν] ἐπ' Σc 105 post δοῦλοι orat. abrumpit Σc
107 post ὑπερυψοῦτε orat. abrumpit Ce 111 Θεὸν] φρικτὸν Σc 112 τῷ om. Σc 114 post Κύριον orat. varie abrumpunt cdd.

101-102 Cfr. sup. vv. 26-28 109 Joh. 1,18 117-120 Is. 8,1-4

ᾠδὴ θ΄. *Τὴν πυρένδροσον πάλαι*

Ἐν σπηλαίῳ γεννᾶται
σήμερον ἐκ παρθένου
ὁ συνάναρχος ἀεὶ συνὼν τῷ Πατρὶ
καὶ ποιμένας μετὰ τῶν μάγων
συγκαλεῖται φαιδρῶς.

Ἐκ παρθένου ὁ Λόγος
τίκτεται ὑπὲρ λόγον,
ἐν σπηλαίῳ ὑπὸ γῆν γεννᾶται Χριστός,
ὃν ὑμνοῦντες πιστοὶ συμφώνως
μεγαλύνομεν.

θεοτ. * Ἐξ ἀχράντων λαγόνων
ἔτεκες, θεοτόκε,
τὸν συνάναρχον Πατρὶ καὶ Πνεύματι·
διὸ πάντες σε πόθῳ ὕμνοις
μεγαλύνομεν.

---

heirm. θ΄ EE 106, n. 148, Andreae; heirm. integrum invenies in cdd.
126 σήμερον] σὰρξ παγεὶς Σc 128 τῶν om. Ce 129 καταστράπτη τὸ φῶς Σc 132 ἐν σπ. ὑπογαίῳ σὰρξ γεγονὼς Σc 135-139 θεοτ. AHG V, 403 136 τέτοκας AHG θεομῆτορ Σc AHG 138-139 διὸ πάντες, σεμνὴ παρθένε, / ἀνυμνοῦμέν σε Σc AHG

IN OCTAVAM NATIVITATIS IESU CHRISTI ET IN SANCTOS INFANTES MARTYRES

Sinait. gr. 578 = Σc, ff. 90v-93

Ὁ κανών.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Ἄσωμεν ᾠδὴν ἐπινίκιον*

1-5 Σκιρτάτωσαν τὰ σύμπαντα χαίροντα
.... = Ce 1-5

6-10 Φάτνῃ ἐσπαργανώθης, ὁ κτίστης μου
.... = Ce 6-10

Τοὺς δήμους τῶν ἀγγέλων παρέστησας
ἐκ παρθένου ἀτρέπτως
σαρκὶ δι' ἡμᾶς βοῶντας·
« δόξα σοι, Χριστέ,
τῷ φανέντι καὶ κόσμον φωτίσαντι ».

Μάγους ἐκ τῆς Περσίδος ἐκάλεσας
τὰ ἔθνη δι' αὐτῶν
προτυπούμενος, ὡς ψάλλει Δαβίδ·
Αἰθιοπία γάρ, φησί,
τῷ Θεῷ αὐτῆς χεῖρα προφθάσει πιστῶς.

heirm. αʹ EE 105, n. 148, Andreae; heirm. integrum porrigunt cdd.
19 ἐθιοπία cd.

16-20 Ps. 67,32

Τὴν Εὔαν τῶν ὠδίνων ἀπήλλαξας,
τοῦ Ἀδὰμ τὴν ἀρχαίαν
ἀπόφασιν κατήργησας,
τεχθεὶς ἐν πόλει Βηθλεὲμ
ἐκ παρθένου ὁ φύσει Θεὸς τοῦ Ἀδάμ.

Ἡρῴδην ἀνελεῖν σε βουλόμενον
ὡς Θεὸς τὸν διώκοντα
ἔλαθες, Χριστὲ ὁ Θεός,
ὁ δὲ πρὸς φόνους ἐκτραπεὶς
τῶν νηπίων τὴν χλόην ἐθέρισεν.

τριαδ. Φῶς ζωὴν τὸν Πατέρα δοξάσωμεν,
φῶς ζωὴν τὸν Υἱὸν προσκυνήσωμεν
καὶ φῶς καὶ ζωὴν
τὸ Πνεῦμα πάντες τοῦ Θεοῦ
ἀνυμνήσωμεν, ἓν φῶς καὶ μίαν ζωήν.

θεοτ. Ὑμνοῦμέν σου τὴν ἄσπορον σύλληψιν,
τιμῶμεν καὶ τὸν ἄφθορον τόκον σου,
παρθένε ἁγνή·
ἐλύθημεν γὰρ τῶν δεσμῶν
τῆς ἀρχαίας ἀρᾶς τοῦ προπάτορος.

ᾠδὴ βʹ. *Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος*

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
ὁ δι' ἀστέρος ὁδηγοῦ

26-30 hoc trop. vide supra in canon. LVII, vv. 1-5 35 ἓν] ἐν
heirm. βʹ EE 104, n. 147, Andreae

39-40 Gal. 3,13

μετὰ τῶν δώρων τοὺς μάγους
συγκαλέσας ἐμαυτῷ
καὶ τὴν κλῆσιν τῶν ἐθνῶν
ἐν αὐτοῖς προτυπώσας
καὶ παρέχων τὸ μέγα ἔλεος.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ ἐκ τῆς παρθένου
ἐν τῷ σπηλαίῳ γεννηθεὶς
καὶ νηπιάσας σαρκὶ
καὶ ἀναπλάσας τὸν Ἀδὰμ
καὶ τὸ φύραμα αὐτοῦ
f. 91 || ἐνωθέν μοι θεώσας
καὶ παρέχων τὸ μέγα ἔλεος.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὃν Ἡρώδης ζητῶν
ὁ μιαιφόνος ἀνελεῖν
τῶν θηλαζόντων τὰ ἄνθη
ἐξεθέρισεν·
ἀπερίδρακτος ὢν
οὐκ ἐφθάσθην ἐν τόπῳ,
οὐκ ἐγνώσθην τῷ ἐχθρῷ διώκοντι.

